Digitized by Google

IOANNIS CINNAMI
DE REBUS GESTIS
Imperat. Constantinop.
IOANNIS & MANUELIS,
COMNENORUM,
***HISTORIAR. LIBRI* IV.**

CORNELIUS TOLLIUS
Primus edidit, vertit, castigavit.

TRAJECTI AD RHENUM,
Typis THEODORI AB ACKERSDYCK, & GISBERTI à ZYLL,

ANNO M. DC. LII

Ex dono auctoris possi[...]
Johannes Georgius Graev[...]

Ex dono auctoris possid

Johannes Georgius Grae

ILLUSTRISSIMIS ET PRÆPOTENTIBUS

PROVINCIÆ ULTRAIECTINÆ ORDINIBUS

CORNELIUS TOLLIUS D.D.

SI quid omnino, hoc necessario facere me officio arbitror, PATRIÆ MEÆ PRIMORES VIRI, quod prodeuntem hic Scriptorem vere regium, sed incognitum ignoratumque hactenus, Magnifico atque amplo nobis Nomini vestro in clientelam omni pietatis genere circumventus addico & consecro. Quoties

* 2 enim

enim in contemplationem redii munificentiæ veſtræ & in Patrem meum, totamque adeo domum noſtram, meritorum, quorum nos menſuram implere gratiis non poſſumus; quoties intra me ipſum, id quod maximum & potentiſſimum eſt, volvi, in veſtro me ſolo conceptum & natum eſſe, veſtro ſub cælo animam ac vitæ ſpiritum hauſiſſe; quoties ab animo & natura ipſa admonitus ſum, multum eſſe quod Parentibus debeamus, plus quod Patriæ, plurimum autem quod Patriæ Patribus, juſtis, clementibus, bene meritis, quorum utpote majeſtati

patria

patria etiam auctoritas vires ſuas & pleniſſima liberorum obſequia ſubjecerit : toties exagitavit me immenſi debiti exactor & exprobrator animus, ut gratias aliquando tantæ agerem liberalitati tantiſque beneficiis; & Dignitates veſtras, ſi non paribus, ſaltem quas bona conſcientia atque ipſum ſe probandi naturæ ſtudium exprimerent, laudibus officiiſque venerarer. Sed enim difficile imprimis atque arduum videbatur, è ſterili agro meſſem facere, cujus dignæ primitiæ eſſent, quas tanta decora præferentibus Patronis cultor

non parcus, nec temerarius, litarem. Quid enim esse magnificum in juvene potest vix primam ætatem ferente? quæ ubertas? quod ingenium? quæ eloquentiæ vis? quæ denique inducendi muneris gratia comitasque orationis? Hæc dum me cura & sollicitudo circumstat, MAGNATES; dum carceribus quasi pudoris inclusus, occasionem anhelo, ad quam velut dato signo & libertate prosilirem; peropportune in manus nostras venit JOANNES CINNAMUS, vetere sane Græcia dignissimus homo; quem Latina nunc etiam toga indutum

dutum, proque ingenii mei modulo notis illuſtratum, velut omnium officiorum, quæ, ſi poſſem, libentiſſime exſolverem, promtiſſimique animi pignus & ſignatorem, Magnitudini veſtræ nuncupãdum cenſui. Vereor autem, INCLITISSIMI PROCERES, ne alieno nunc tempore incommodus obverſer; quo trucis ſcilicet & mox ſævituræ tempeſtatis nubes conſurgit, bellumque & arma nobis non ſine motu magno ac pernicie generis humani decernunt, quibus nihil ſancti eſſe oportet, non fidem, non pietatem, non religionem: Qui

Qui nullo Dei immortalis; nullo ejusdem nobiscum fidei sacramenti; nullo arctissimorum fœderum habito respectu; nobis ante alios legem odiorum dicentes, animæ imperii nostri funus ac tenebras minitantur: Qui nihil concedendo, nihil tot obsequiis mitigati, acerbius se & intolerabilius in dies gerunt: Quos apud nihil patientia profecistis, nisi ut graviora, & quæ Marte cogi non possetis, tanquam ex facili tolerantibus imperaverint: Quibus denique intestino suo bello occupatis, nos summæ federum religionis memores quievimus,

mus,uti adverſus vacuos jam,& novi operis materiam quærentes, majus negotium haberemus. Non diu itaque deliberandum hoc tempore fuit, an juſta, an neceſſaria arma indueretis: ut deliberaveritis tamen, juſtitiæ & patientiæ veſtræ fuit, hoſtiſque & fortuna populi veſtri monuere. Teſtis erit univerſus ergo terrarum orbis, vos, tot acceptis injuriis, quas æquo animo tuliſtis, totiens tentatis nequicquam pacis conditionibus; non pro decore,ſed pro ſalute;non pro vano honoris aut dominii titulo, ſed libertate, ſed fortunis ve-

ſtris purum piumque bellum ſuſcipere. Ubi nunc igitur invictus ille hactenus Belgarum animus? ubi integra illa & immobilis virtus? ubi arma, quibus tot hoſtium legiones procubuerunt? ubi tot litoribus terribiles claſſes? ubi maritima gloria incliti triumphi? ubi illa præſidia, quæ fuere ſemper eruntque in poſterum fundamenta libertatis noſtræ, domi concordia, integritas, continentia, animus in conſulendo liber, nullius ſibi delicti gratiam faciens; foris induſtria, alacritas, conſtantia, fortitudo? His namque

vir-

virtutibus in tantum potentiæ faſtigium Belgarum nomen evexiſtis: his imbuti artibus, parva à ſede profecti diſparſiſtis cum ſole manus: his domi militiæque, terra ac mari, tot & præclara adeo facinora feciſtis: iiſdem vos & rempublicam ſervabitis magiſque attolletis; cives & honeſtiſſimos ordines à vi & injuria prohibebitis: & quod ominari, quod ſperare licet, inexplebilem hunc ſanguinis hoſtem, novorumque motuum avidum & jejunum, coërcebitis, profligabitis. Sed quid ego diutius apud vos ea, quæ

nec officii, nec consilii mei, sed vestræ prudentiæ sunt? Unum rogo, PATRES, cujus gratia accessi, ut inter strepitus armorum, & ruentis belli procellam, vestro dignum præsidio & tutela habeatis maximis quondam imperatoribus carum JOANNEM hunc CINNAMUM, scriptorem industrium, elegantem, magni Xenophontis æmulum; satis ingenio suo indulgentem, satis temperantem; laudantem Comnenos Principes suos, ubi ratio & locus & merita postulant, non res & fortunas eorum immodice adulantem; omnibus denique

nique, quæcumque illo sæculô viguerunt ingenia, lumine ac claritate sua tenebras obducentem. Condit se autem vestra in sacraria eo alacrior, eo plenior animorum fiduciæque, GLORIOSISSIMI ORDINES, quod nunquam vel in maximis bellis pretia apud vos ceciderint Musarum; sed, (rem admirabilem perpetuisque laudibus deprædicandam!) integro atque illibato media inter arma honore studia foveritis, auxilia & fulcra reipublicæ, neque pacis magis, quam bellorum, ornamenta. Ille Vo-

bis gratias aget, PROCERES MAGNIFICI, in quibus obligata eſt domus noſtra. Ille animos teſtabitur devotos addictoſque veſtræ reverentiæ, quos præter offerre nihil poſſumus. Illum accipietis, ſpero, monumentum & obſidem mei Patriſque (neque enim illicitum filio in cauſſa tam pia, tam honeſta, pro officioſiſſimo etiam Patre ſpondere) æterni erga inclitum Nomen veſtrum obſequii & indefatigabilis obſervantiæ. Deus faxit, ut quantum debeamus, quantum agere velimus gratiarum, videa-

deamur retulisse. Eum veneror & obsecro, quanta quis pro Patriæ suæ & Procerum salute debeat ac possit fide, ut stabilem & firmam vobis rempublicam faciat: ut eorum, quibus præestis, commodis atque utilitatibus diu tam bene serviendi facultatem duit: ut omnibus rebus, quas statuitis, quas decernitis, quas agitis, suo numine & spiritu intersit: ut auctor & stator Belgarum nominis, imperium hoc, quod in amplissimum fastigium extulit, custodiat, servet, protegat: utque adeo duellum, quod

quod novo cum hoste sumendum est, libertati atque incolumitati nostræ, classibus exercitibusque vestris, bene ac feliciter eveniat; neque alii unquam ejus cladem sentiant, quam qui moverunt. HARDERVICI, VI. KAL. Julias, CIↃ IↃ CLII.

AD LECTOREM.

EXſolvo nunc promiſsi fidem, quam ante biennium, cum Palæphatum ederem, de publicando etiam Cinnamo dedi, Lector amice & benevole. Scriptor is, ſeu regius, ut ſe ipſe vocat, Grammaticus, memoria ſane & poſteritate digniſsimus, vitam Ioannis Comneni, imperatoris Conſtantinopolitani, brevi compendio tradidit: ſed imperium ac res geſtas filii ejus & ſucceſſoris Manuelis, cui per Aſiam atque Europam bellanti adoleſcens admodum comes adfuit, cujus facta pleraque oculis ſuis vidit, longa ſerie proſecutus eſt. Dictio ejus pura ac terſa ſatis, Herodoti, Xenophontis, aliorumque veteris Græciæ in hiſtoria principum, æmula: ut vel hac ſolum virtute immenſo poſt ſe ſpacio relinquat Glycam, Conſtantinum Manaſſem, Tzetzem, Chonia-

tem Nicetam, & qui alii ejus ævo, aut paullo post, scripsere tumidi homines & salebrosi. Fidem profitetur incorruptam, sine amore cujusquam, sine odio; quamquam indulgentior visus est quibusdam in laudando Manuele, deprædicandoque magnis ausis, sæpe etiam temerariis, promtum ejus animum; cum tamen hanc à se & principe suo avertere suspicionem conetur, producta ad exemplum Alexandri Magni & reliquorum audacia, qui gloria sublati, pericula in præliis sua esse, non militum, voluerunt. Quidquid sit, habes certe erutum tenebris ac carcere cæco omnibus æqualibus ingenio & claritate sua prælucentem scriptorem; &, quod habes, gratias hoc ages nomine industriæ & liberalitati Amplissimi atque incliti nominis viri ISAACI VOSSII, *qui eum è codice Vaticanæ bibliothecæ exscriptũ majoribus*

joribus distentus curis mihi, ut juris facerem publici, donavit: meum si in vertendo illustrandoq; studium modo agnoveris, amplum satis collocatæ operæ præmium videbor retulisse. Omnibus enim bonis & amantibus eorum, qui laudem assequi ex studiis connituntur, satisfecisse me pro mediocritate mea spero. Si qui supercilium induere volent, & in vitia tam cernere acutum, quam aut aquila, aut serpens Epidaurius, illi suam sibi austeritatem scævitatemque magis fore vitio sciant, quam errorem aut lapsum juveni; cui, subacto nondum ad remotissima quæque per ætatem ingenio, ut est errare inter homines facillimum, ita primus quoque ante omnes veniam indulgentiamque meretur. Accedit, quod pars magna operis conficienda fuerit vixdum firmatis ex longo ac gravissimo morbo viribus. Simul namque prodire è funebri quasi lecto, & manum

 admo-

admovere tabulæ potui, exercui me & defatigavi, ne quo alio, ut nonnulli metum admovebant, præveniente, oleum & operam atque aliquod fortaßis inde meritum perderem. Nunc vero ſpem noſtram utcumque exſecuti, damus hic tibi quidquid hoc libri aut laboris eſt, utque æquus ac libens fruare, humanitatem tuam rogamus. Vale Lector, & quantum mihi Dei benignitate vitæ deinceps dabitur, illud omne publico me bono, ſi qua prodeſſe potero, crede tranſmiſſurum.

AD
CLARISSIMVM VIRVM
CORNELIUM TOLLIUM,
CUM
CINNAMI HISTORIAS
Primus in lucem ederet.

Πᾶσιν ὁ σεῖο πόνος, φίλ', ὀνήσιμος, ἀλλὰ μάλιστα
Ἤδε σοι ἔσσεται χρήσιμος ἐργασίη.
Αἰὲν ἐὸν γὰρ κλέος ὀνήσεαι, ὅττι θεουδὲς
Τοῦ καμάτου πλέθει αἰνεσίμοιο γέρας.
Ἔστι τὰ λοιπὰ τύχη ποτ' ἀφαίρετα, καὶ ἅμα κηρὶ
Οἴχεται ἡμερίου κτήματα πάντα βίου.
Ἐξ ἐρέβους δὲ σαώσας ἱστορίην, σελίδεσσιν
Ἀθανάτοισιν ὁμοῦ ἔσσεαι ἀθάνατος.

ANT. ÆMILIUS.

CLARISSIMO VIRO

D. CORNELIO TOLLIO,

CINNAMUM HISTORICUM GRÆCUM EDENTI.

Nclite vir, priscis ingens decus addite Gelris
Nuper, & Aonii lux memoranda chori:
Hactenus in tacitis latuit penetralibus ævi
Cinnamus, *haud populo cognitus antè suo;*
Quem nisi fecisses hominum volitare per ora,
Ex animis poterat tollere longa dies.
Ergo tibi ut vitam & mansuros debeat annos,
Hunc tua charta vetat non moritura mori.
Scilicet hanc laudem scriptis, patriæque, sibique
Ingenium potuit conciliare tuum.
Nunc sapiens Danaus viget, æternumque vigebit,
Et Latio, & populis cognitus ipse suis.
Sed propriè tuus est, quem Lethes eripis undis,
Artis & ingenii rarus honore, liber;
Qui posthac, Momo licet indignante, superstes
Semper erit gratæ posteritatis amor:
Quin tibi, dum vitam post tot modò secula reddis,
Morte vel in mediâ, ne moriare, dabit.

TH: VERHOEVEN.

Thielæ, a. d. x.
Iun. cIↃ. IↃc. LI.

ΕΠΙΤΟΜΗ ΤΩΝ ΚΑΤΟΡΘΩΜΑΤΩΝ
ΤΩ ΜΑΚΑΡΙΤΗ ΒΑΣΙΛΕΙ ΚΑΙ ΠΟΡΦΥΡΟ-
ΓΕΝΝΗΤΩ ΚΥΡΙΩ ΙΩΑΝΝΗ ΤΩ ΚΟΜΝΗΝΩ.
ΚΑΙ ΑΦΗΓΗΣΙΣ ΤΩΝ ΠΡΑΧΘΕΝΤΩΝ ΤΩ ΑΟΙ-
ΔΙΜΩ ΥΙΩ ΑΥΤΟΥ ΤΩ ΒΑΣΙΛΕΙ ΚΑΙ ΠΟΡΦΥ-
ΡΟΓΕΝΝΗΤΩ ΚΥΡΙΩ ΜΑΝΟΥΗΛ ΤΩ ΚΟ-
ΜΝΗΝΩ, ΠΟΙΗΘΕΙΣΑ ΙΩΑΝΝΗ ΒΑΣΙΛΙ-
ΚΩ ΓΡΑΜΜΑΤΙΚΩ ΚΙΝΝΑΜΩ.

ΙΩΑΝΝΟΥ ΚΙΝΝΑΜΟΥ
ΒΑΣΙΛΙΚΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ,
ΙΣΤΟΡΙΩΝ
Λόγος Πρῶτος.

JOANNIS CINNAMI
REGII GRAMMATICI,
HISTORIARUM
Liber primus.

A ΟΥ δὲ τὸ τῆς ἱστορίας ἔργον ἀφιλότιμον τοῖς πάλαι ἐνομίσθη σοφοῖς. πλείστους μὲν οὖν αὐτῶν καὶ ἐντεῦθεν εὐδοκιμηκέναι ξυνέβη. Ὁ μὲν γὰρ τὰ Ἑλλήνων εἰς ἱστορίαν ἔλαβεν ἔργα. ὁ δὲ Κύρου διεξῆλθεν ἀγωγήν τε τὴν ἐκ παίδων καὶ πράξεις, ὅσαι εἰς ἄνδρας ἥκοντι τούτῳ ἐξεπονήθησαν. καὶ καθάπερ ὀπίσω τοῦ χρόνου φανέντα, εἰσαῦθις ἐπικρυβήσεσθαι κίνδυνον εἶχον· ταῦτα ἐκεῖνοι καθάπερ ἐν ἀθανάτοις στήλαις τοῖς βίβλοις ἐντυπωσάμενοι, τῷ ἑξῆς παρέδοσαν βίῳ. Τὸ μὲν δὴ ἔργον τοιοῦτον. χρὴ γὰρ οἶμαι, τούς γε μὴ πάνυ ἀναξίως τούτῳ ἐπιχειρήσοντας, εἰδήσεώς τε τῆς περὶ ἕκαστα δεῖ ἥκειν, καὶ πραγμάτων ὡς ἐπίπαν ἀφεστάναι, ὅσα βίῳ τῷδε συνέζευκται

HAUT inglorium esse Historiæ scribendæ opus, sapientes olim judicarunt. quorum plurimi famam inde sibi & claritudinem circumdedere. Alius enim res Græcorum consignandas suscepit: alius Cyri tradidit à puero institutionem & res, quas ubi maturuisset gessit. &
B quando periculum erat, ne cuncta in lucem prolata rursum memoria cederent: illi libris ea, tanquam perennibus insculpta columnis, venturæ posterorum ætati reliquerunt. Hujuscemodi quidem operis res est. Oportere autem existimo, ut qui aliqua cum laude ei dare se volent, scientia etiam singulorum instructi sint, omnium, quæ vitæ huic perpetuo conjunctæ, expertes cura-

 δημε-

διηνεκές· ὧν οὐδέτερον ὅπως οἶμαι χρεὼν ἡμῖν πάρεστιν. Οὐκοῦν οὐδὲ διὰ τοῦτο παντάπασιν ἔργα σιγητέον, ἃ τῷ ἡμετέρῳ δήπου συνέπεσεν αἰῶνι. ἐπιμελητέον δὲ, ὅπως μὴ καὶ τῆς ἐνεστώσης ἄρα ἀκαιρίας κατόπιν ἡμῖν ἐλθεῖν γένοιτο. Γένοιτο δ' ἄν, εἰ τῶν ἄλλων καθάπαξ ἁπάντων, καὶ ὅσα ἐς τὸν κοινὸν ἥκει τῶν ἀνθρώπων βίον, τὴν ἀφήγησιν ὑπερβάντες, δυοῖν ἔργα παραστησόμεθα βασιλέοιν· ὧν ὁ μὲν ἔφθη πρὸ τῆς εἰς τὸν βίον ἡμῶν προόδου τὸ ζῆν ἀπολιπών· ἅτερος δὲ ἤκμασέ τι ἐφ' ἡμῶν, καὶ ἀπῄει τοῦ βίου τὴν βασιλείαν ἀνήβῳ λιπὼν τῷ παιδί. Ἰωάννης οὗτοι καὶ Μανουὴλ οἱ Κομνηνοί. Ὅπως μὲν γὰρ εἶχεν ἐξ οὗπερ ἄμφω ἐγενέσθην (ὁ μὲν ἐς πατέρα, ὁ δὲ ἐς πάππον αὐτὴν ἀναφέρων, τὴν βασίλειον ἀνεζώσατο ἀρχὴν) καὶ ὡς τὰ κοινὰ Ῥωμαίων διῴκησε πράγματα, ἱκανῶς οἶμαι διηγηθέντα ἐπὶ τῶν τὰ ἐκείνου ἀναγραψαμένων, οὐ χρὴ καὶ πάλιν ἀναλαμβάνοντας ἐκτεθέναι. Ἀλλ' οὐδ' ὅπως ἐκεῖνος Νικηφόρῳ ἐπανέστη, τῷ τηνικάδε τὴν βασιλείαν διέποντι, ἀνδρὶ πόρρω τῆς ἡλικίας ἥκοντι, καὶ ἐπὶ δυσμαῖς βίου γεγονότι. Πάντα γὰρ ἐς τὸ ἀκριβὲς ἤδη, καθάπερ ἔφην, διήγηται τοῖς γε μὴ πρὸς ἀπέχθειαν ἐκείνῳ συγγεγραφόσιν. Εἰρήσεται δέ μοι τὰ μὲν τοῦ Ἰωάννου κατ' ἐπιτομὴν καὶ ὥσπερ ἐν κεφαλαίῳ, ὅτι μηδ' ἐν τοῖς κατ' ἐκεῖνον, ὅπερ ἤδη ἔφην, γέγονα χρόνοις.

A rum. quorum neutrum, uti video, nobis quantum opus est suppeditat. Neque ea propter silentio obvolvenda, quæ nostro evenerunt seculo: curandum vero, qua ratione & inter præsentia utcumque incommoda pervenire ad posteros possint. Poterunt autem fortassis, si rerum aliarum, communi mortalium vitæ obvenientium, omissa narratione, gesta duorum imperatorum perscribemus, Joannis &
B Manuelis Comnenorum. quorum alter ante nos vixit, alter nostra ætate & floruit & decessit, filio adhuc impuberi imperio relicto. Qualis autem fuerit, ex quo uterque sunt prognati (eidem enim, hic ut patri, ille avo, acceptum referentes, imperium adepti sunt) utque rem Romanam administraverit; satis hæc, ut videtur, enarrata ab iis, qui memoriam illius prodiderunt, non est necesse hic iterum expo-
C ni. Uti nec memorabo, quemadmodum in Nicephorum, regnum tum temporis obtinentem, ætate autem longè provectum ac naturæ jamjam concessurum, insurrexerit. Omnia enim ea tradiderunt utique illi, quibus odium atque inimicitiæ in scribendo procul fuerunt. De Joanne quidem, quod ætate illius non vixi, (de quo à nobis supra dictum) breviter & quasi summatim agam.

Τάγε

Τάγε μὴν τὰ μετ' ἐκεῖνον Μανουὴλ A οὐκ οἶδα εἴ τις ἐμοῦ κάλλιον ἐξιστορήσειν ἔχει. Ἐπεὶ καὶ οὕτω μειρακίῳ γε ὄντι μοι πλείστας συνεκδεδημηκέναι οἷς τὴν εἰς ἤπειρον ἑκατέραν συνέβαινεν ἐκστρατειῶν· ἡ μὲν οὖν προέκθεσις αὕτη· καιρὸς δ' ἂν εἴη λοιπὸν εἰς ἀρχὴν τὸν λόγον ἀναγαγόντας, ἐντεῦθεν τῆς ἱστορίας ἀπάρξασθαι.

Ἀλεξίου τὸν βίον καταλύσαντος, Ἰωάννης καὶ πρότερον παρὰ τοῦ πατρὸς αὐτῷ μνηστευθεῖσαν τὴν βασιλείαν παρέλαβεν. ἐφ' ὅσον τε ὁ καιρὸς ἐπι- B μέτρει τοῖς πολιτικοῖς ἑαυτὸν ἐπιδοὺς πράγμασιν, ἐπὶ τὴν Ἀσίαν ἐξώρμησεν. Ἔστι δέ τις ἀγχοῦ Λύκου καὶ Κάπρου τῶν Φρυγίων ποταμῶν κειμένη πόλις ὄνομα Λαοδίκη. ταύτην δὲ χρόνῳ τινὶ Πέρσαις ἁλοῦσαν τῇ Ῥωμαίων ἀνασώσασθαι ὁ βασιλεὺς διανοηθείς, ἀξιόλογον ἐπ' αὐτὴν στρατείαν ἤλασεν. Ἐπεὶ δ' ἡ τῆς πόλεως ἀγχοῦ Φιλαδελφείας ἦν, αὐτὸς μὲν αὐτῇ που χάρακα περιβαλὼν ἐστρατοπεδεύετο. Τῶν δέ τινα εὐνουστάτων αὐτῷ C Ἰωάννης ἐς Πέρσας τὸ γένος ἀναφέροντα ἅμα στρατεύματι τῆς πόλεως ἀποπειρασόμενον ἔπεμψε. δεῆσαν δὲ ὀλίγῳ ὕστερον πανστρατιᾷ καὶ αὐτὸς ἐπιστάς, αὐτοβοεὶ ταύτην εἷλεν. Ἔνθα βαρβάρων τε ἄλλων πλεῖον τι τετύχηκεν ὅμιλον εἶναι, καὶ τῶν ἐν σφίσιν ἐπιφανεστέρων οὐκ ἐλάττους τῶν ὀκτακοσίων, ἐν οἷς καὶ Πιχαρὰς ἦν πολέμων εἰς ἄγαν πολλῶν ἔμπειρος. Τότε μὲν οὖν φρουρὰν ἀποχρῶσαν τῇ

At vero historiam Manuelis successoris, haut scio an quisquam melius me tradere possit, qui vixdum adolescens plurimis in utramque continentem expeditionibus interfui. Hoc nobis exordium esto: tempus jam reliquam narrationem, atque historiæ hinc initium expedire.

Alexio vita functo, destinatum jam ante sibi à patre regnum Joannes suscepit, & posteaquam rebus urbanis, quantum tempus permitteret, totum sese dedisset, expeditionem in Asiam fecit. Proxime autem ad Lycum Caprumque Phrygiæ fluvios sita est civitas nomine Laodice, quam à Persis antea captam Romano reciperare imperio constituens imperator, maximum & fortissimum ei exercitum admovit. Et quandoquidem in propinquo urbs erat Philadelphia, ipse quidem illic castra posuit & vallo circumdedit. Deinde ex intimis aliquem à Persis oriundum misit cum exercitu ad urbem explorandam, atque ut oportebat, paulo post cum universis copiis ipse adortus, primo impetu cepit. Ingens ibi aliorum barbarorum cœtus inter se misceri, adesseque ex illustrissimis eorum non pauciores octingentis, quos inter multa exercitus militia Picharas. Itaque relicto ad continendam urbem valido

A πόλει καταλιπὼν, τῶν ἐπιτηδείων τε διαρκῶς ἐμπλησάμενος, ἐς Βυζάντιον ἐπανέζευξε. Χρόνῳ δὲ ὕστερον Σωζόπολιν ἐπιστρατεύσας, πόνῳ οὐδενὶ καὶ ταύτην ὑπὸ Ῥωμαίοις ἔθετο. τὸ δὲ ὅπως, αὐτίκα καὶ δή μοι λελέξεται. Σωζόπολις αὕτη πόλις μέν ἐστι τῶν ἐν Ἀσίᾳ πάλαι ἐπισήμων. ἐφ' ὑψηλοῦ δέ τινος καὶ ἀποκρήμνου ἱδρυμένη χωρίου, τῷ μὲν ἄλλῳ ταύτης μέρει πανταχόθεν ἄβατος γίνεται, μίαν δέ τινα κομιδῇ στενωτάτην περιέχεται εἴσοδον. B ἐφ' ἣν οὔτε μηχανὴν ἑλκύσαι δυνήσεται, οὔτε τι τῶν εἰς τειχομαχίαν εὐτρεπίσασθαι, καὶ ἀνθρώποις γὰρ οἷς μὴ κατ' ὀλίγους πορευομένοις μόλις ἐπὶ τὴν πόλιν εἰσιτητὰ γίνεται. Ἡ μὲν δὴ πόλις οὕτως εἴληχε θέσεως. βασιλεῖ δὲ Ἰωάννῃ τὸ μὲν πρῶτον ἀπέγνωστο τὰ τῆς ἐπιχειρήσεως. ἔπειτα ἔννοιά τις ἐπῆλθεν αὐτῷ, ἣ τήν τε πόλιν Ῥωμαίοις οὐ σὺν πόνῳ παρεστήσατο, καὶ αὐτὸν μέγα κλέος ἐς ἀνθρώπους πάντας περιβαλέσθαι πεποίηκεν. C Ἥτις δὲ αὕτη, δηλώσω. Δύο δὴ δορυφόρων προσκαλεσάμενος τῶν αὐτοῦ, ὧν ὁ μὲν Πακτιάριος, ἅτερος δὲ Δεκανὸς ἐπεκέκλητο, ἐκέλευεν ἅμα τῷ ἀμφ' αὐτοὺς στρατεύματι εὐθὺ τῶν τῆς πόλεως ἰόντας πυλῶν, ἀκροβολίζεσθαι πρὸς τοὺς ἐν τῷ τείχει. Ἐπεξιόντων δὲ αὐτῶν, φεύγειν μηδὲν αἰσχυνομένους, ἕως ἐπὶ πλεῖστον ἐκπεσόντες εἰς δίωξιν, τὸ στενὸν ἀπολίποιεν. τὸ δὲ ἀπὸ τοῦδε ἀγχιστρόφῳ

præsidio, Byzantium rediit, quidquid ad usus requiritur necessarios abunde submissurus. Exercitum deinde Sozopolin duxit, eamque nullo labore Romanis subjecit. qua ratione, etiam jam à me dicetur. Sozopolis & ipsa inter civitates Asię quondam præcipuas, excelso præruptoque sita loco atque ab aliis quidem partibus undique inaccessa, unicum duntaxat, sed angustum admodum, aditum habet: in quem aut machinam ducere, aut quidquam eorum, quæ ad oppugnationem muri pertinent, apparare nemo poterit; quippe nisi raro agmine incedentibus negato ad urbem introitu. Et civitatem quidem situm hujusmodi sortitam quo modo impugnaret, inscius primò incertusque hæsit Joannes: mox divinitus quid ei inspiratum, quo & urbem ad deditionem Romanam absque difficultate compulit, sibique apud omnes homines gloriam peperit ingentē. Hoc cujusmodi fuerit expediam. Duobus ex satellitibus ad se vocatis, quorum alteri Pactiario nomen, alteri Decano erat, jussit ut confestim portis urbis cum parte copiarum succedentes, levi eos certamine provocarent, qui in mœnibus essent. quod si erumperet hostis, terga verterent nullo pudore, usque dum longius ad persequendum effusus, excessisset angustiis:

ἐπελάσαι

ἐπελάσει τῇ τῶν πυλῶν προτερήσοντες διακληρῶσθαι χώραν. Οἱ μὲν οὖν ἀπῄεσαν ὡς ἐπὶ τὴν πόλιν. Οἱ δὲ βάρβαροι ἐπειδὴ προσιόντας αὐτοὺς εἶδον, τὰς πύλας εὐθὺς ἀνακλίναντες ὡς εἶχον τάχους ἐξέθεον ἐπ' αὐτούς. Τῶν δὲ νῶτα διδόντων αὐτοῖς ξυνέβαινε τὴν δίωξιν ἐπὶ πολὺ γίνεσθαι. ἅτερος τοίνυν τοῖν εἰρημένοιν αὐτίκα ὀπίσω ἐχώρει, καὶ Ῥωμαίων αὐτῷ πλεῖστοι εἵποντο. Ἐπειδή τε πρὸς ταῖς πύλαις ἐγένοντο, τῶν ἵππων ἀποβάντες αὐτοῦ ἵσταντο· ἑξῆς δὲ καὶ τὸ ἄλλο Ῥωμαίων στράτευμα τῶν πραττομένων αἰσθόμενοι δρόμῳ πολλῷ ἐχώρουν, καὶ οἱ πολέμιοι ἐν μέσῳ λοιπὸν ἐναπειλημμένοι, ἄλλος ἀλλαχῇ κατὰ τῆς προκειμένης ἔθεον πεδιάδος. ἥ τε πόλις ἡλίσκετο. Βασιλεὺς δὲ ἐκεῖθεν μεταβὰς Ἱερακορυφίτην τε εἷλε τὸ φρούριον, καὶ πλείστων ἄλλων, ἃ τῇδε ἵδρυται τῇ Ἀτταλοῦ ἐπὶ πλεῖστον ἀγχιθυροῦντα, οὕτω τε λοιπὸν ἐς Βυζάντιον ἀνακομίζεται. οὐδ' ἐπ' ὀλίγον διατρίψας ἐπὶ τὴν Μακεδονικὴν ἐχώρει. Σκύθαι γὰρ πανστρατὶ τὸν Ἴστρον διαβάντες εἰς τὰ Ῥωμαίων εἰσέβαλον ὅρια. ἀλλὰ τότε μὲν χειμῶνος ἐπιλαβομένου, ἐνταῦθά που περὶ πόλιν Βερόην διεχείμαζε. τὰ μὲν τὰ πρὸς τὸν πόλεμον ἐξαρτύων, τὸ δὲ πλέον ἤθελε τῶν ἐν σφίσι φυλάρχων τινὰς ἐποικειώσασθαι, ὡς ἂν οὕτω τοὺς ἄλλους χωρὶς ἀπολαβὼν, οὐ σὺν πόνῳ καταγωνίσηται. ἔαρος δὲ

A tum conversis inde equis viam ad portam ferentem preciperent, eumque locum occuparent. Profectos itaque quasi ad urbem oppugnandam, jamque advenientes simulac conspexerunt barbari, apertis è vestigio portis, quantum celeritate poterant in illos irrumpere. Terga dantibus Romanis, instantiusque barbaris insequentibus, alter eorum, quos dixi, cum magna sequentium manu à tergo circumgredi, &
B portis postquam appropinquassent, descendere omnes equis & consistere. Mox & qui fugerant, intellecto quid ab sociis gereretur, retroactis equis citatum impetum in hostes fecerunt, qui in mediis insidiis interclusi alius alia per circumjacentes campos fugerunt, & urbs in fidem venit Romanam. Digressus inde Imperator castellum Hieracoryphiten (cacumen accipitris) aliaque plurima regioni Attalię ma-
C xime contermina cepit, posteaque Byzantium reversus est. Nec multum ibi commoratus, in Macedoniam movit. nam Scythæ ingentibus copiis Istrum transgressi in fines irruperant Romanorum. Sed enim, quod hiems suberat, ad Beroën civitatem in hibernis militem collocat, cuncta tum interea ad bellum instruens, tum imprimis tentans quosdam ex illorum Phylarchis sibi conciliare, ut cæteros ab his divisos

πολλοὺς ἤδη διὰ πρεσβειῶν αὐτοῦ
προσχωρῆσαι ἀναπείσας ἐπὶ τοὺς
λοιποὺς ἐχώρει, πολέμῳ κρῖναι θέ-
λων τὰ πράγματα. συῤῥαγέντων τοί-
νυν ἀλλήλοις τῶν στρατευμάτων, μέ-
χρι μέν τινος ἰσοπαλὴς ἡ μάχη
ἐγίνετο. ὅτε καὶ αὐτὸς βασιλεὺς βέ-
λει τὸν πόδα ἐπλήγη. Τῶν δὲ Ῥω-
μαίων εὐθύμως ἀγωνιζομένων ἡτ-
τῶνται κατὰ κράτος οἱ Σκύθαι, καὶ αὐ-
τῶν οἱ μὲν ἔπεσον, οἱ δὲ ζωγρείᾳ ἑά-
λωσαν. μοῖρα δέ τις οὐκ ἀγεννὴς ἐπὶ
τὸ στρατόπεδον ἐπανιοῦσα οὐκέτι φυ-
γὴν ἠξίου, ἀλλ' αὐτοῦ σὺν γυναιξὶ καὶ
τέκνοις τοῖς αὐτῶν τὸν κίνδυνον ὑπο-
στῆναι εἵλοντο, περιπηγνύμενοι τὰς ἁ-
μαξῶν, ἃς βοείοις ἄνωθεν βύρσαις
περιλαβόντες, ἐς τὸ ἀκριβές τε ἁρ-
μοσάμενοι ἐπ' αὐτῶν τὰς γυναῖκας
καὶ τὰ τέκνα ἐνέθεσαν. Αὖθις οὖν μά-
χη συνίσταται καρτερά, καὶ φόνος ἀμ-
φοτέρωθεν γίνεται. Σκύθαι γὰρ ὥσπερ
ἐπιτειχίσματι ταῖς ἁμάξαις χρησά-
μενοι μεγάλα Ῥωμαίους ἐλύπουν. ὁ
βασιλεὺς ἐννοησάμενος, ἤθελε μὲν
αὐτὸς τοῦ ἵππου ἀποβὰς πεζῇ σὺν τοῖς
στρατιώταις τὸν ἀγῶνα διαθλεῦσαι.
Ῥωμαίων οὐδαμῇ ἐπαινούντων, ἐκέλευε
τοῖς ἀμφ' αὐτὸν πελεκυφόροις (ἔ-
θνος δὲ ἐστὶ τοῦτο Βρεττανικὸν βασι-
λεῦσι Ῥωμαίων δουλεῦον ἀνέκαθεν)
πελέκεσιν ἐπιστάντας διακόπτειν αὐ-
τάς. Τῶν δὲ αὐτίκα ἔργον ἐχομένων,
οὕτω δὴ καὶ αὐτοῦ τοῦ Σκυθῶν στρατοπέ-
δου ἐγκρατὴς βασιλεὺς γίνεται. ὅτε καὶ
τῶν ἄλλων, ὅσοι φυγῇ τὴν σωτηρίαν

A tanto facilius debellaret. Primo ve-
re, cum jam plurimos donis honori-
busque ad partes adduxisset suas, in
cæteros profectus est, de re summa
prælio certaturus. Concurrentibus
utrimque exercitibus aliquamdiu
æquo pugnatum Marte, & regium
crus sagitta percussum: donec for-
titer insistentium Romanorum ro-
bore Scythæ superabantur. quorum
alii ceciderunt, alii vivi capti sunt.
Pars verò non degener ad castra re-
B versa fugere nequaquam voluit; at
sustinere periculum cum conjugi-
bus & liberis pariter animata, plau-
stris se circumdederunt, quæ bovil-
lis intecta pellibus & apte inter se
connexa, conjuges liberosque illo-
rum impositos habebant. Ergo rur-
sum pertinax conseritur pugna &
utrimque fit multa cędes. nam Scy-
thæ curribus, velut munitione,
utentes, plurimum officiebant Ro-
manis. Quæ postquam Imperatori
C comperta sunt, & ipse ad pedes de-
scendere & cum militibus periculi
partem capessere voluit. Minime id
adprobantibus suis, jussit omnes cir-
ca eum bipenniferi (genus est Bri-
tannorum à multis ætatibus princi-
pibus Romanis serviens) instarent
superne securibus currusque disse-
carent. Illi ubi dictum factum rem
exsecuti sunt, castris Scytharum
potitus est Imperator, ac plerique
eorum, qui fuga sibi consuluerant,

ἐπρα-

ἐπραγματεύσαντο, οἱ πλείους τῶν φιλτάτων τῶν ἑαλωκότων αὐτόμολοι βασιλεῖ γεγονότες, εἰς ἤθη τε τὰ Ῥωμαίων ἀπήχθησαν, καὶ στρατιωτικοῖς ἐγγραφέντες καταλόγοις ἐπὶ μακρὸν διετέλεσαν. Ἡ μὲν οὖν τῶν Σκυθικῶν ἐθνῶν ἐς Ῥωμαίων διάβασις ταύτῃ πῃ ἔσχε. Βασιλεὺς δὲ καὶ αὖθις τῶν κατὰ τὴν Ἀσίαν εἴχετο πραγμάτων. ἀπροσδόκητος γὰρ τοῖς τῇδε βαρβάροις χειμῶνος μάλιστα ἐπιτιθέμενος ἄρδην ἠνδραπόδιζετο, πλείστους τε αὐτῶν ἐπὶ τὴν εὐσεβῆ μεταφέρων δόξαν, αὔξησιν στρατευμάτων ἐντεῦθεν Ῥωμαίοις πεποίηκε. Οὔπω γὰρ γεωργικοῖς ἐνησκημένοι ἔργοις, γάλακτός τε ἀπερρόφουν καὶ κρεῶν ἐσιτοῦντο, κατὰ τοὺς Σκύθας ἀεὶ σποράδες τε ἀνὰ τὸ πεδίον ἐσκηνωμένοι ταύτῃ τοῖς βουλομένοις αὐτοῖς ἐγχειρεῖν προχειρότατοι ἐγίνοντο. Πέρσαις μὲν δὴ συνέβαινε βιοῦν πρότερον. Ῥωμαίοις δὲ καὶ Οὔννοις οἱ ἐπὶ τὸν ὑπὲρ τὸν Ἴστρον χώραν οἰκοῦσι, πόλεμος ἀπ' αἰτίας ἀνερράγη τοιᾶσδε. Λαδισθλάβῳ τῷ Παννονίας ῥηγὶ παῖδες ἄρρενες ἤστην δύο, Ἀλμούζης καὶ Στέφανος. Ἀλλὰ Στέφανος μὲν, ἐπειδήπερ ὁ πατὴρ αὐτοῖς ἀποθάνοι, τὴν ἀρχὴν αὐτὸς ἀναλαμβάνει, πρεσβύτερος ὤν. ἅτερος δὲ φυγὰς ἐπὶ βασιλέα παραγίνεται. Ἔθος γὰρ Οὔννοις ἐστὶ τοῖς ἐν σφίσιν ἄρχουσιν ἐπὶ παισὶ τετελευτηκότος, ἕως μὲν ὁ τὴν ἡγεμονίαν ἐκ τούτων παραλαβὼν ἄρρενος οὐκ εἴη πατὴρ παιδὸς, ξυνεῖναι τε ἀλλήλοις τοὺς ἀδελφοὺς, καὶ τῆς παρ' ἀλλήλων τυγχάνειν

A captivorum popularium desiderio transfugæ ad eum confluebant; qui in mores ivere Romanos, numerisque militaribus inserti, diutissime in fide perseverarunt. Atque hoc quidem modo se habuit gentium Scythicarum ad Romanos transgressio. Regem deinceps Asiæ res detinuere, ubi barbaris inexspectatus, maximè rigore hiemis, alios in servitutem redegit, plures ad Christianam fidem perductos exercitus B Romani accessionem fecit. Agricultura enim nondum exerciti, lacte sorbillato & carnibus vivebant, sparsique per camporum æquora, Scytharum more, ac sub pellibus agentes cum satis opportuni aggressuris viderentur, promtiores longe existebant. Prima quidem contigit hæc Persis quies. Inter Romanos verò, quique trans Istrum incolunt Hunnos, bellum hac de causa concitatum. Filii duo erant C Ladislavo Pannoniæ regi, Almuzes & Stephanus, ereptoque ipsis patre, regnum natu major Stephanus accepit, quare alter aufugiens Joanni sese adjunxit. Moris est Hunnis, defuncto rege liberisque relictis, ut quamdiu prolis masculæ exsors est qui in imperium succedit, conveniant inter se fratres, mutuamque benevolentiam exer-

νεν εὔνοιαν, ἐπειδὰν δὲ ἤδη παῖς αὐτῷ γένηται, οὐκέτι ἄλλως ἢ ἐπὶ τῆς χώρας ξυγχωρεῖν αὐτοῖς διατρίβειν, ἀλλ' ἢ τὰς ὄψεις ἐκκεντηθεῖσιν. Ἀλμούσης μὲν οὖν τούτου δὴ ἕνεκα παρὰ βασιλέα ἦλθεν. Ὁ δὲ ἀσμενός τε τὸν ἄνθρωπον εἶδε, καὶ ξὺν φιλοφροσύνῃ ἐδέξατο. Ἐτύγχανε γὰρ δὴ βασιλεὺς Ἰωάννης Εἰρήνην τὴν Βλαδισλάβου παῖδα γυναῖκα γαμετὴν ἤδη πεποιημένος, σωφρονεστάτην τε εἴπερ τινά, καὶ ἀρετῆς ἐς τὰ μάλιστα μεταποιουμένην. Ὅσα γοῦν ἐκ βασιλέως τε ξυνοίκου καὶ τῆς βασιλείας ἐπεπόριστο, οὔτε τοῖς παισὶν εἰς κλήρους ἀφώρισεν, οὔτε περιττότητι κόσμου ἠνάλωσε καὶ τρυφῇ. εὖ δὲ ποιοῦσα διετέλει τὸν πάντα τῆς ζωῆς αἰῶνα, τοὺς ὅσοι ἐφ' ὁτῳοῦν ἐκείνης δεόμενοι ἦσαν. ἣ δὲ καὶ φροντιστήριον ἐπ' ὀνόματι τοῦ παντοκράτορος ἐν Βυζαντίῳ συνεστήσατο, ἐς κάλλος καὶ μέγεθος ἐν τοῖς μάλιστα τῶν ἐπισημοτάτων ὄν. Ἡ μὲν δὴ Αὐγοῦστα τοιάδε τις ἦν. Ὁ δὲ τῶν Οὔννων ῥὴξ ἐπειδὴ τὰ κατὰ τὸν ἀδελφὸν ἤκουσε, πρέσβεις ἐς βασιλέα πέμψας, χώρας τῆς Ῥωμαίων ἀπελαύνεσθαι τοῦτον ἠξίου. ὡς δ' οὐκ εἶχε πείθειν, ποταμὸν Ἴστρον περαιωθεὶς Βελεγράδα πόλιν παρ' αὐτῷ κειμένην ἐκπολιορκήσας εἷλεν, εἰς ἔδαφός τε αὐτὴν καθελὼν ναυσὶ τοὺς λίθους ἐκεῖθεν μετήνεγκε, δι' ὧν Ζεύγμην ἐν Σιρμίῳ πόλιν ἀνήγειρεν, ἣ πολλοῖς μὲν ἔκτοτε διήρκεσε χρόνοις. Ἐπὶ δὲ τοῦ Μανουὴλ βασιλέως αὐτοκρατορίας ἐκ βάθρων κατενεχθεῖσα, ὡς ἐκ περιτροπῆς τινος ὅλη πρὸς

A ceant: simulac vero natus filius, habitationem in regione nisi oculis excæcatis non permittant. Ea propter ad regem confugit Almuzes, à quo & visus libenter & benigne susceptus. Quippe jam uxorem duxerat Joannes Bladislabi filiam Eirenen, castissimam, si quæ alia, & virtutis studiosissimam mulierem. Ergo quid sive mariti imperatoris liberalitate, sive ex regia fortuna fructuum habuit, neque B ad liberos hæredes transmisit, neque ornatu superfluo aut luxu insumsit, sed, more per omnem vitam servato, in subsidia illorum, qui quodcumque demum ab ea peterent, largiendo & bene faciendo erogavit, atque in nomine Omnipotentis Scholam Byzantii erexit, elegantia & mole nulli vel celeberrimarum secundam. Hujusmodi quidem moribus erat Augusta. Rebus de fratre cognitis Hunnorum C rex per legatos Joannem rogavit, ut finibus expelleretur Romanis. quod ubi non persuasit, superato Istro civitatem propinquam Belegrada pugnando cepit, & funditus eversæ lapides navibus avexit; quibus longo postea consistentem tempore urbem condidit in Sirmio, nomine Zeugmen. At verò sub imperio Manuelis ex ipsis eruta fundamentis, tanquam vicissitu-

τύχο-

τειχοδομίαν πόλει τῇ Βελεγράδων ἐγένετο. Ἀλλὰ ταῦτα μὲν εἰς ἔπειτά μοι λελέξεται, ἐπειδὰν ὁ λόγος βαδίζων ἐπ' ἐκείνους ἔλθῃ τοὺς χρόνους. Βασιλεὺς δὲ τούτων ἀκούσας, πανστρατιᾷ ἐπὶ τὸν Ἴστρον ἐφέρετο, συμμαχικὸν ἐπαγόμενος ἔκ τε Λιγέρων ἱππέων, (οὓς Λαμπάρδους ἡμῖν ὀνομάζουσιν ἄνθρωποι) καὶ Περσῶν. καὶ ὁ μὲν αὐτοῦ τε ἐπὶ ταῖς ὄχθαις ηὐλίζετο τὰ πρὸς τὴν μάχην εὐτρεπιζόμενος. Στεφάνῳ δὲ ξυνέπεσε τὸ σῶμα μαλακισθέντι ἐπὶ τὰ τῆς χώρας αὐτοῦ μέσα νοσοκομεῖσθαι. οὐ μέντοι οὐδὲ ὡς καταμελεῖν ἤθελεν, ἀλλὰ δυνάμεις ὅπως εἶχε τάχους ἐξέπεμπεν ἐμποδὼν βασιλεῖ, ἐς τὴν περαίαν στῆσαι σφίσιν ἐγκελευσάμενος. Οὖννοι μὲν οὖν κατὰ τὸ κελευσθὲν ἐποίουν. Βασιλεὺς δὲ ὅπως αὐτῷ μὴ ξὺν βίᾳ τὰ τῆς ἀποφάσεως γένοιτο, ἐννενόει τοιάδε. τὸ ξυμμαχικὸν ἀποτεμόμενος ἅπαν, ἐκέλευε τοῦ ποταμοῦ κατόπιν ὡς ἐπὶ χωρίον Τέμπην οὕτω καλούμενον ἐλθόντας, ἔνθα βουνός τις ἐκ τῆς τῶν Οὔννων φυόμενος χώρας ἄχρι ἐς τὸν ποταμὸν διήκει, ἐντεῦθεν περαιοῦσθαι. Ὁ δὲ σὺν τῷ ἄλλῳ Ῥωμαίων στρατῷ ἀντικρὺ φρουρίου Χράμη ἑστὼς, δόκησιν παρεῖχεν, ὡς ἐκεῖθεν αὐτίκα μάλα περαιωθησόμενος. οὗ δὴ γεγονότος ἀμογητὶ Ῥωμαῖοι διέβαινον, Οὖννοί τε μηδὲ τὴν πρώτην αὐτοὺς ὑποστάντες ἀνακρατὸς λοιπὸν ἔφευγον, καὶ ἡ δίωξις ἄχρι ἐς ποταμὸν ἐγένετο, ἔνθα τῶν Οὔννων τῇ

A dine quadam, mœnium Belegradensium ædificationi tota inservit. Verum ista deinceps commemorabuntur, cum ad ea usque tempora historia pertigerit. Hæc postquam cognovisset Imperator, Istrum versus cum exercitu magno profectus est, Ligerum equitibus (quos nostri Lampardos vulgo appellant) & Persarum in commilitium ascitis, cuncta quæ ad prælium usui instruens, ripas fluminis insedit. Stephanus
B autem etsi corpore invalidus in interioribus regni partibus curationi incumbebat; non tamen iccirco negligere quidquam voluit, sed quas celerrime contrahere potuit vires ad inhibendum regem misit, suis hoc in mandatis dato, in transistriana regione manerent. Dicto paruerunt Hunni. Joannes vero ut absque labore & vi meditata exsequeretur, hujusmodi usus commento, separata sociorum auxilia jubet retro à flu-
C mine veluti ad Tempam regionem procedere, & qua collis ex Hunnorum terra enatus ad fluvium usque protenditur, amnem superare. Ipse cum reliqua parte exercitus ex adverso Chrami castelli consistens, speciem præbuit, ibi sese confestim suos transportaturum: quo facto, impune statim transivere Romani, ac ne primum quidem eorum impetum Hunni sustinentes, totis deinde viribus fugam capesserunt. Inse-

γεφύρᾳ ἀθρόον ἢ τὸν ποταμὸν ἐζεύγνυ, ξυμπεπτωκότων, αὐτὴν μὲν καταπαθῆναι ξυνέβη, τῶν δὲ πλείστους μὲν τῷ ποταμῷ παρασυρρέντας, ἐνταῦθα δὴ τὰς ψυχὰς ἀπερρήξασθαι, πολλοὺς δὲ καὶ χερσὶν ἁλῶναι Ῥωμαϊκαῖς, ἐν οἷς Ἀκοῦσης καὶ Κελαδῆς ἤστην, ἄνδρες ὀνομαστότατοι παρ' Οὔννοισι. Ταῦτα κατορθωκὼς ὁ βασιλεὺς τὸ Χράμοντε αὐτοβοεὶ παραστησάμενος φρούριον, αὐτίκα ἐπὶ τὴν Ῥωμαίων αὖθις μετέβαινε, πόλιν τε Βρανιτζοβὰν στρατιωτῶν ἀσφαλείᾳ κρατυνάμενος, ὧν Κουρτίκιος ἦρχεν, ἐς Βυζάντιον ἦλθεν. Οὖννοι δὲ οὐ πολλῷ ὕστερον Βρανιτζοβάν τε περικαθίσαντες εἷλον, καὶ τῶν ἐν αὐτῇ Ῥωμαίων οὓς μὲν ἔκτειναν, οὓς δὲ ἐζώγρησαν, ἦσαν δὲ καὶ φυγῇ οἳ τὴν σωτηρίαν ἐπραγματεύσαντο. ἐφ' οἷς χαλεπήνας ὁ βασιλεὺς, Κουρτίκιον μὲν προδοσίας ἐγκλήματι ὑποδικάζει, καὶ πολλὰς ξαίνει κατὰ τῶν νώτων αὐτοῦ. Καίτοι οὐ πρότερον ἐκεῖνος τειχέων ἀφίστατο, πρὶν ἤ φασιν οἱ πολέμιοι εἰσερρέοντο πανστρατὶ ἐπὶ τὴν πόλιν, καὶ πυρὶ τὰς οἰκοδομὰς ἔφλεγον. Ὑπὸ τοῦτον τὸν χρόνον καὶ Σέρβιοι, ἔθνος Δαλματικὸν, ἐς ἀποστασίαν ἰδόντες τὸ Ῥάσον κατεστρέψαντο φρούριον. Οὗ δὴ ἕνεκα καὶ Κριτόπλον βασιλεὺς ἀμυνόμενος, ὃς τὴν τοῦ φυλακτηρίου τοῦδε ἐπετρέψατο τήρησιν, γυναικείαν ἐνδεδυκότα στολὴν διὰ τῆς ἀγορᾶς ἦγεν ὄνῳ ἔποχον. ὁ δὲ ἐν Βρανιτζόβῃ τὸ δεύτερον γεγονὼς ἀνοικοδομεῖν αὐτὴν σπουδῇ ἐποιεῖτο.

A quentibus ad flumen Romanis, omnique Hunnorũ turba in pontem, qui Istrum jungit, confluente, atque eo præ multitudine distracto, complures in amnem dejecti & suffocati, plurimi manibus capti Romanis, quos inter viri apud Hunnos celeberrimi Akuses & Kelades. His rebus feliciter gestis, & Chramo vel clamore tantum in deditionem accepto, conversus in regiones suas Imperator, civitatem Branitzobam
B præsidio, cui Curticius præfuit, muniit, atque inde Byzantium se recepit. Branitzobam haut multo post Hunni circumsederunt & occuparunt, quique in ea Romani partim occidebantur, partim capiebantur; multi in fuga salutem invenerunt. Id factum graviter accipiens Imperator, Curticium die indicta proditionis reum peragit & virgis percuti jubet, licet non prius ille, quam hoste in urbem ingresso atque o-
C mnibus ędificiis incensis, muris cessisset. Eodem fere tempore & Serbii Dalmatiæ populi rebellionem cœptantes, Rasum castellum subigerunt. Qua de causa Imperator in Critoplum, cui erat demandata arcis custodia, animadvertit, eumque muliebri stola indutum & asino impositum per forum traduxit. Tum Branitzobam iterum expeditione sumta, instaurare urbem magnopere

A το. Χρόνου γοῦν ἐς τὸ ἔργον τριβομένου ξυνέβαινε χειμῶνι καὶ σπάνει τῶν ἀναγκαίων δυσπαθοῦν τὸ στρατιωτικὸν ἐς ἄγαν ταλαιπωρεῖσθαι. Ὁ πυθόμενος ὁ τῶν Παιόνων Ῥὴξ ἔγνω τὴν ταχίστην τὸν Ἴστρον διαβὰς οὐδὲν προϊδομένοις ἐπιθήσεσθαι τούτοις. Ἦν δέ τις ἐν τῇ τῶν Οὔννων χώρᾳ γυνὴ Λατίνα μὲν γένος, πλούτῳ δὲ καὶ τῇ ἄλλῃ περιφανείᾳ διαφέρουσα, αὕτη παρὰ βασιλέα πέμψασα δῆλα καθίστησι τὰ μελετώμενα. Ὁ δὲ ἐπειδὴ μὴ εἶχεν ἐξ ἀντιπάλου B δυνάμεως αὐτοῖς συμπλακήσεσθαι, ἅτε νόσῳ καὶ σπάνει τῶν ἀναγκαίων ἤπερ εἴρηται προκατεργασθέντος αὐτῷ τοῦ στρατεύματος, τὴν πόλιν ὅσῃ δυνατὰ τειχισάμενος ὀπίσω ἐχώρει. Ὅπως μέντοι μὴ τῷ τῶν Οὔννων στρατεύματι συμμῖξαι αὐτῷ γένοιτο, διά τινων ἐρυμνῶν καὶ ἀποκρήμνων χωρίων τὴν πορείαν ἐτίθετο. ἀμέλει καὶ Κακὴ σκάλα ἐγχωρίοις ὁ τόπος ὠνόμασται, ἔνθα ὁ τῶν Οὔννων στρατὸς αἰφνίδιος ταῖς οὐ- C ραγούσαις ἐπιστρατεύων φάλαγξιν, ἄλλως μὲν οὐδενὶ Ῥωμαίους ἐζημίωσαν, τεμμάχια δὲ τῶν τὴν βασιλικὴν ξυμπληρούντων αὐλὴν παραπετασμάτων, ὑποζυγίων ἀπορίᾳ περιορασθέντα ἀνελόμενοι ἀνεχώρησαν, καὶ τὸ Ῥωμαίων στράτευμα ἀσινὲς ἐκεῖθεν διαγέγονεν. Ὀλίγῳ δὲ ὕστερον ἐπὶ τὴν Ἀσίαν ὁ βασιλεὺς διέβη, πόλιν Καστάμονα Παφλαγόσι πρόσοικον ἐξελεῖν ἐπειγόμενος. Πέρσαι γὰρ

A studuit. Diebus verò compluribus in opere consumtis, hieme & penuria rerum necessariarum laborare exercitus ac vehementer affici. Quod ut Pæoniæ regi compertum est, statuit Istro quam citissime superato, inopinantes ac nihil tale metuentes opprimere. Erat autem apud Hunnos mulier Latina genus, divitiis & multo splendore super ceteras eminens, ea cogitata hostium certis indiciis Principi aperuit. Qui cum B viribus impar signa conferre cum hoste non auderet (quippe morbi & inopia necessariorum, ut demonstratum est, admodum imminuerant ejus exercitum) urbe utcumque munita retro cessit; neve cum Hunnorum copiis congrediendum sibi esset, locis impeditis ac præruptis iter facere instituit. Mala autem scala incolis pars ea vocatur, in quam ex improviso cum novissimi agminis cohortibus irruentes C Hunni, cetera quidem nihil Romanis nocuerunt, raptis solum velorum fragmentis, quæ tabernaculum Imperatoris confecerant, atque inopia jumentorum relicta erant, pedem retulerunt, indeque incolumis pariter & nullo periculo agmen Romanum evasit. Haut multo post in Asiam contendit Imperator, civitatem Castamona Paphlagonibus finitimam expugnatum: quod qui eam tenebant Persæ aliam vici-

οἱ ἐνταῦθα ᾠκημένοι ἐπὶ τὴν πλησιόχωρον καὶ βασιλεῖ κατήκοον ἐξορμώμενοι, ἐκεῖθεν ἀεὶ κακῶς τοὺς τῇδε Ῥωμαίους διετίθεσαν. Ἐκπλήξας τοίνυν αὐτοὺς τῷ μεγέθει τῆς ἐς τὸν πόλεμον παρασκευῆς, τήν τε πόλιν καὶ σφᾶς αὐτοὺς προδοῦναι Ῥωμαίοις ἠνάγκασεν, οὕτω τε ἐς Βυζάντιον ἐπανιὼν μεγαλοπρεπέστερα ἐπόμπευσεν. ὅτε καὶ ἅρμα ἀργύρου μὲν πεπηγμένον, χρυσῷ καταχόρως ἀληλειμμένον, ἡτοίμασε μὲν ὡς ἐπιβησόμενος, οὐ μέντοι καὶ ὠχήσατο τούτῳ δι' ὑποψίας ἴσως παραίτησιν. ἀμέλει καὶ εἰκόνα τῆς θεοτόκου ἐνθέμενος αὐτῷ, ὁ μὲν σὺν τῷ σταυρικῷ προῆλθε σημείῳ. Τὸ δὲ ἐχώρει, θαῦμά τε ἦν Βυζαντίοις ὁρᾶν, ὅπερ οἶμαι οὔπω μέχρι καὶ τότε κατεῖδον, ἐξ ὅτου Ἡράκλειοι καὶ Ἰουστινιανοὶ τὴν Ῥωμαίων διεῖπον ἀρχήν. Ῥωμαίων οὖν ὁ δῆμος ἐν τούτοις ἦν. Τανισμὰν δὲ, ὃς Καππαδοκίας ὑπὸ τοῦτον ἦρχε τὸν χρόνον, Κασταμόνα στρατεύματι περιλαβὼν ἐπολιόρκει. ἐπειδή τε βασιλεῖ ἐς τὸν πόλεμον ἤδη καθισταμένῳ τύχη τις ἐμποδὼν ἐγένετο, (ἥ τε γὰρ ξύνοικος Εἰρήνη ἐξ ἀνθρώπων ἠφάνιστο, ὁ δὲ νόσῳ ἁλοὺς ἐς Βυζάντιον ἀνεκομίσθη) λιμῷ τὸ πρότερον αὐτὴν κατατρίψας, εἶτα καὶ τειχομαχήσας εἷλεν. ὁ δὴ ξυνενεχθὲν μεγάλα τῆς βασιλέως καθίκετο ψυχῆς. Ἐπειδὴ γοῦν τύχῃ τινὶ Τανισμὰν μεταξὺ τὸν βίον καταστρέψαντος, Μαχούμετ ἐπὶ τῆς ἀρχῆς καταστὰς διάφορος τῷ φυλάρχῳ τῆς Ἰκονίου γένοιτο πόλεως. ὃν δὴ

Σουλτὰν

A nam item, & Regi parentem, incursionibus impeterent, ac variis Romanos incommodis afficerent. Hos magnitudine apparatus bellici exterritos, & se & urbem dedere adegit, dein Byzantium reversus speciosissime triumphavit. Currum argento compactum, auroque plus satis obductum, tanquam illo vecturus, confecit: neque ascendit tamen, evitandæ fortassis suspicionis caussa, sed imagine Deæ genitricis im-
B posita, ipse crucem manu gestans pedes antecessit. Sic procedentem conspicere currum miraculo erat Byzantinis. quod non vidisse me arbitror, ex quo Romanum imperium Heraclei & Justiniani obtinuere. His populi Romani constitutis rebus, Tanisman, qui tum Cappadociæ imperitabat, Castamonem exercitu circumdato oppugnabat. Posteaquam autem Imperatori jam modo in bellum insistenti fortuna
C intervenit (nam & Eirene Augusta vita concesserat, atque ipse morbo correptus Byzantium reportatus est) urbem fame prius attritam, deinde & vi expugnando cepit. Quod cum accidisset, graviter animum Principis affecit. Tanisman casu quodam mortuo, Machumet imperio potitus cum Iconii præside simultates contraxerat: quem a-

Σουλτὰν τῶν ἄλλων ὑπερληθέντες ὀνομάζουσι Πέρσαι, πρέσβεις εἰς Ἰκόνιον στείλας, ἐπειδήπερ ἐς τὸ φίλιον αὐτῷ ξυνεληλύθει, Ῥωμαίοις ξυμμαχήσειν κατὰ Μαχούμετ ἀνέπεισεν. Ἧκε τοίνυν οὐκ ἐς μακρὰν τῶν παρ' αὐτῷ τις ἐπιφανῶν ἅμα στρατεύματι, ὁμηρεύων τε ἅμα καὶ τοῦ πολέμου συνεφαψόμενος. Βασιλεὺς μὲν οὖν οὕτω ξὺν τοῖς εἰρημένοις ἐπὶ Γάγγραν ἐλθὼν, πρὸ τοῦ ταύτης περιβόλου τὴν στρατοπεδείαν ἐπήξατο, ἐν παρασκευῇ ὢν ὡς ἐς νέωτα τειχομαχήσων. ἀλλὰ Μαχούμετ οὐκ ὢν ἀξιόμαχον ἑαυτὸν βασιλεῖ ἐπιστάμενος, δεῖν ἔγνωκε τὸν Σουλτὰν ἑταιρίσασθαι, ἄλλως τε καὶ κατὰ γένος αὐτῷ προσήκοντα. καὶ τοίνυν τὰ διάφορα λύσαντες, κατὰ Ῥωμαίων ἤδη ἄμφω ξυνεπνευσάτην. Οἵ τε ξύμμαχοι Πέρσαι μετάπεμπτοι πρὸς τοῦ Σουλτὰν γεγονότες νυκτὸς ᾤχοντο φεύγοντες. Γνοὺς οὖν τὴν ἐπιβουλὴν ὁ βασιλεὺς ἐν ἀθυμίᾳ πολλῇ ἦν, καὶ βεβούλευται παρ' αὐτὰ ἐκεῖθεν ἀναζευγνύειν. ἀλλά τινες μοναχοὶ κατά τινα τύχην ἐνταῦθα παρόντες, ἀπέλεγον πρὸς τὴν ἐγχείρησιν μονονουχὶ θαρσεῖν τὰ ἐπὶ τῆς Γάγγρας ἁλώσεσθαι διατεινόμενοι. Οἷς ἀναπεισθεὶς τῇ ὑστεραίᾳ τῷ περιβόλῳ προσέβαλεν, ἐκεῖθέν τε ἀποκρουσθεὶς ἐπὶ Ῥυνδακηνὴν μετέβη. ἐνταῦθά τε παντὶ τῷ στρατῷ διεχείμαζεν. Ἔνθα Ῥωμαίοις πολύν τινα διατρίβουσι χρόνον, ἐπειδὴ μὴ εἶχον ὅθεν χειμῶνος ἐσκομίσονται ἐπιτήδεια, ξυνέβαινεν

A liis superpositum Sultanum vocant Persæ. Ad hunc imperator Iconium missis legatis, ut secum amicitiam & societatem adversus Machumetem jungeret, homini persuasit. Itaque haut longo post aliquis eorum, quos habebat circum se illustrissimos, cum exercitu accessit, & obses & pariter belli socius futurus. Imperator cum dictis copiis Gangram profectus, castra ante mœnia urbis communit, seque interea componit, B tanquam anno demum sequenti oppugnationem incepturum. At vero Machumet cum se imparem principi videret, necessarium putavit ad studium sui perducere Sultanem, tum aliis rebus, tum genere sibi conjunctum. Itaque diremtis simultatibus, in Romanos una conspirant, ac Persæ auxiliares revocati à Sultane noctu fuga digrediuntur. Dolo cognito vehementer animo affectus imperator movisset inde ex- C templo castra, nisi forte præsentes monachi adhortati fuissent, in opere proposito perduraret modo, & cunctis ad capiendam urbem viribus anniteretur. Iis auditis, mœnia secundo adoritur; repulsus autem ad Rhyndacenem secedit, legiones in hiberna collocat, quas longo istic tempore commorantes atque ab re frumentaria, duris per hiemem subvectionibus, laborantes, fames

ἤδη λιμῷ πιέζεσθαι. ἄρας τοίνυν ἐκεῖθεν ἐπὶ Κασάμονα ἦλθεν, ὁμολογίᾳ τε ταύτην ἑλὼν ἐπὶ Γάγγραν μετῆγε τὸ στράτευμα. Πέρσαι τοίνυν οἱ τὴν πόλιν κατεῖχον δυνάμεις ἐπὶ Ῥυνδακηνῆς ἀθροιζομένας καὶ πάλιν μεμαθηκότες, τὸ μὲν πρῶτον ὤκνουν βασιλεῖ τὴν πόλιν ἐνδοῦναι, ἐλπίσιν ἐπικουρίας εἰς τοῦτο φερόμενοι. Ἐπειδὴ δὲ αἱ μὲν εἰρημέναι δυνάμεις οὔπω ἔτι ἐς ταυτὸν ξυνελθοῦσαι διελύοντο αὖθις, (χειμῶνος γὰρ ὥρᾳ στρατεύειν ἀδύνατα εἶχον, καθάπερ ἐν τοῖς ἔμπροσθέν μοι δεδιήγηται,) ὑπ᾽ ἀνάγκης ἀπειρηκότες τὴν πόλιν αὐτῷ παρέδοσαν, ἐπὶ ὁμολογίᾳ τοῦ αὐτούς τε καὶ τοὺς ὅσοι Τανισμὰν ἔτι περιόντος δορυάλωτοι Ῥωμαίοις ἐγένοντο, ἀθῴους τῆς Ῥωμαϊκῆς ἀπαλλάξαι χειρός. Ἀλλὰ Πέρσαι ἀντὶ τῆς ἐν χερσὶν ἐλευθερίας αὐθαίρετον προελόμενοι δουλείαν, εὐνοίας τε τῆς παρὰ βασιλέως ἔτυχον, καὶ προσθήκη δυνάμεως οὐκ ἀγεννὴς Ῥωμαίοις ἐγένοντο. Τὸ δ᾽ ἐντεῦθεν τὰ τῶν Ἰσαυρικῶν πολέμων ἀρχὴν Ῥωμαίοις εὕρετο. Λεβούνης γὰρ ἀνὴρ Ἀρμένιος ἄλλας τε ὡς πλείστας τῶν Ῥωμαίοις κατηκόων πόλεις εἷλεν Ἰσαυρικάς, καὶ δὴ καὶ τὴν Σελεύκου πολιορκεῖν ἐπεβάλετο. ὁ πυθόμενος βασιλεύς, τὰς δυνάμεις ἀγείρας τάχει πολλῷ ἐπ᾽ ἐκεῖνον ᾔει. Τούτου δὴ ἕνεκα βασιλεὺς ἐπὶ τὴν Κιλίκων ἐστέλλετο, καὶ ὅπερ ἄρτι δηλώσω. Βαϊμούνδου, ὃς Ἀντιοχέων ἦρχεν, ἐξ ἀνθρώπων ἠφανισμένου, οἱ τῆς χώρας προύχοντες ἐπὶ βασιλέα πέμψαντες ἔφασαν,

A tandem opprimit. Itaque Castamone inde petita & certis recuperata conditionibus, Gangram exercitum reduxit. Persæ autem, qui civitatem tenebant, iterum edocti congregatas prope Rhyndacenem copias, eaque auxilii spe erecti, urbem tradere primo quidem detrectarunt. Sed ubi non subvenirent dictæ copiæ, dissipatæ rursum, quod est hieme anni, ut supra commemoravi, difficilis expeditio; adacti B necessitate, hac eam conditione dediderunt, ut & ipsi, & qui superstite adhuc Tanismane bello capti erant, integri & intacti è manibus Romanis dimitterentur. Sed enim Persæ, quam habebant, libertate servitium potius ducentes, impetrata principis gratia, haut indignum agminis Romani additamentum fuere. Exinde res Isauricæ initium belli dederunt. nam Lebunes Armenius complura oppida parentium C Romanis subegerat ipsique jam Seleuciæ imminebat. Quæ postquam Cæsari comperta sunt, contracto quod erat militum obviam ei quam celerrime proficiscitur. Hac partim de causa in Ciliciam contendit, partim etiam alia, quam nunc dicam. Mortuo Bæmundo Antiochiæ regulo, primores regionis ad imperatorem mittunt; rem Antio-

ὡς

ὡς εἴπερ βουλομένῳ αὐτῷ εἴη, θυγατέρα τὴν Βαϊμούνδου τῷ ὑστάτῳ τῶν παίδων ξυνοικιεῖν τῷ Μανουήλ, αὐτίκα μετὰ κήδους τὰ Ἀντιοχέων ὑπ' αὐτῷ πράγματα ἔσται. ἀλλ' οὔπω ἔφθη τῇ Κιλίκων αὐτοὺς ἐπιβῆναι· καὶ τοῦ σκοποῦ μεταθέμενοι, ἀντὶ φίλων τε καὶ ξυμμάχων πολεμιώτατοι τούτῳ καθεστήκασιν. Οὐκ ἀξιομάχους γε μὲν ἑαυτοὺς τῇ Ῥωμαίων εἰδότες στρατιᾷ, δεῖν ἔγνωσαν καὶ Λεβούνην σφίσιν ἐπισπάσασθαι. ἀμέλει καὶ τῆς φρουρᾶς τὸν ἄνθρωπον ἐξελόντες, ἔνθα ἐπειδὴ πολέμῳ περιγεγόνασι καθείρξαντες εἶχον. Τὰ πιστά τε παρ' αὐτοῦ λαβόντες, ἐφ' ᾧ φίλον καὶ σύμμαχον κατὰ βασιλέως αὐτοῖς ἔσεσθαι, ξὺν φιλοφροσύνῃ ἀπέλυσαν. Βασιλεὺς δὲ ἐς Κιλίκων παρελθὼν Μοψουεστίαν τε εἷλε, καὶ Ταρσοῦ καὶ Ἀδάνης περιγεγονὼς, περὶ Ἀνάζαρβον τὸν χάρακα πήγνυται. Ἐν ᾧ δὲ ταῦτα ἐγίνετο ξυνέπεσέ τι τοιοῦτον. Τῷ κόμητι Πετόης, ἣ περὶ κόλπον ἵδρυται τὸν Ἰόνιον, παῖδες γίνονται δύο. ὧν ὁ μὲν, πατρὸς τετελευτηκότος, εἰς τὴν πατρῴαν καθίσταται ἀρχὴν, ἅτερος δὲ ἐν πένητος σχήματι ἐς τὸν ἐν Ἱεροσολύμοις νεὼν παραγίνεται. Ἐπειδή τε αὐτὸν ὁ νεωκόρος ἴδοι, κάλλους τε καὶ μεγέθους ἐκπεπληγμένος, ἐπυνθάνετο προσιὼν, ὅστις εἴη δηλῶσαι αὐτῷ. ὁ δὲ συνείρει μὲν ἐξ ὧν ἥκιστα δηλωθήσεσθαι ᾤετο, πείθειν δ' οὐκ ἔχων, ἐκφορεῖ λοιπὸν τὰ περὶ ἑαυτοῦ καθιστᾶ. Ὁ δὲ ταῦτα ἀκούσας δρομαῖος ἐς τὸν ῥῆγα παρελθὼν, παραυτὰ τὸν ἄνδρα ἐμήνυσε, καὶ

A chensem secundum affinitatem sub ipsius potestate fore, si filiam Bæmundi cum Manuele, minimo ex liberis, jungi pateretur. Sed vero in Ciliciam venire ipse noluit; atque illi ubi quod intenderant efficere non potuere, pro sociis & amicis hostes facti sunt infensissimi. Viribus autem inferiores se Romanis videntes, in partes suas perducendum Lebunem putarunt. quem tandem bello superatum atque ex B arce protractum tenuerunt in vinculis; at fide accepta ipsum amicum & adversus Romanos adjutorem fore, benigne solverunt. Princeps Ciliciam ingressus Mopsuhestiaque & Tarso & Adana potitus, ad Anazarbum castra ponit. Hæc dum fiunt, interea & hoc accidit. Pictaviæ, quæ ad sinum Ionium, Comes filios habebat duos, quorum alter patre defuncto imperium adipiscitur, alter vilissimo habitu assumto C templum adit Hierosolymitanum. Eum simulac conspexit æditiuus, admiratus staturam viri & formam, accessit ac percunctatus est, quis esset. Ille vero ea respondit, è quibus minime sese agnitum iri arbitraretur, atque ubi fidem non faceret, quemadmodum se haberent vere tandem omnia de se retulit. Quibus cognitis ad regem confestim perrexit, virumque patefecit. qui

ὃς

ὃς ὡς ἑαυτὸν τὸν Ῥαίμουνδον μεταπεμψάμενος, τοῦτο γὰρ αὐτῷ ὄνομα ἔκειτο, τῇ Βαιμούνδου ξυνοικήσειν ἀνέπεισε θυγατρὶ, οὔπω ἔτι εἰς ἡλικίαν ἀφιγμένῃ. Ὁ μὲν οὖν ἀπῄει ὡς τῇ Ἀντιόχου λοιπὸν ἐπιβησόμενος, καὶ τύχῃ τινὶ τοῖς Ῥωμαϊκοῖς σκοποῖς ἐμπεσὼν, ἐγγὺς μὲν ἁλῶναι ἐγένετο. τῶν γάρ τις στρατιωτῶν ἐπιόντα τοῦτον ἐπιστὰς παίει κατὰ τῆς κεφαλῆς, καὶ εἰ μὴ ἀμφοτέραις τοῦ ἱππείου ἐπιλαβόμενος αὐχένος ἐπέσχε τὸν ὄλισθον, πλείστων τε ἤδη τῶν ἐπιμαχομένων συνεστηκότων, ὕπτιος B ἂν παραυτὰ ἐξεκυλίσθη. Ὁ μὲν οὖν τὸν κίνδυνον διαφυγὼν ἐς Ἀντιόχειαν ἦλθε. βασιλεὺς δὲ Ἀνάζαρβον ἐνέκειτο πολιορκῶν. Ἀλλ' οἱ ἔνδον ἀπρακτῆσαι οἱ μηχανώμενοι τὴν ἐγχείρησιν, σιδήρια ἱκανῶς τῷ πυρὶ διακαίοντες, ἐπὶ τὰ πετροβόλα τῶν μηχανημάτων ἠφίεσαν. τὰ δὲ τοῖς ἐμπροσθίοις αὐτῶν ξυλίναις πελάζοντα κιόσιν, ἐνεπίπρων αὐτίκα. τοῦτο πολλάκις γινόμενον εἰς ἀθυμίαν ἐνῆγε τὸν βασιλέα. Ὀψὲ γοῦν ἀλύοντι C προσελθὼν Ἰσαάκιος, ἀλλὰ ἄγε ὦ πάτερ, πλίνθοις, ἔφη, περιειλῆφθαι κέλευε τὰ ξυλώματα. οὗ γεγονότος, οὐκέτι ταῖς συχναῖς προσβολαῖς οἱ ἔνδον ἀντέχειν δεδυνημένοι, τὰς πύλας ἀναπετάσαντες τὸν Ῥωμαίων εἰσεδέχοντο στρατηγόν. Ἀνάζαρβος μὲν οὖν τοῦτον τὸν τρόπον ὑπὸ Ῥωμαίοις ἐγένετο. Ῥαίμουνδος δὲ καὶ Βαλδουῖνος, ὃς Μαρασίου κατ' ἐκεῖνον τὸν χρόνον ἡγεμονεύων ἦν, ἕως μὲν οὔπω ἐπὶ θύραις ὁ κίνδυνος ἵστατο, στράτευμα

A accito ad se Raimundo (id enim ipsi nomen) auctor fuit, uxorem duceret Bæmundi filiam adhuc impuberem. Igitur is Antiochiam concessit, ac forte in speculatores Romanos incidens, quin captus fuisset parum sane abfuit. nam appropinquanti miles quidam galeam percussit, ut, nisi utraque manu comprehensa equi cervice præcavisset lapsum, pluribus jam aliis supervenientibus, pronus haud dubie ad terram defluxisset. Ita demum periculo evitato Antiochiam venit. Princeps interea oppugnationi Anazarbi totus incumbebat. Sed enim oppidani irritos facere impetus hostiles conantes, candentia igne ferramenta machinis injiciunt, quæ anteriores è ligno comprehensas columnas extemplo incenderunt. Ea sæpius res repetita animum imperatoris contraxit. donec hoc modo sollicitum accessit filius Isaacius, & quin jubes, inquit, pater, lignamenta obduci limo ac lapidibus? quod ubi factum, frequentem depellere vim non amplius idonei, portis apertis exercitum Romanum recepere. Sic Anazarbus Romanis dedita. Raimundus interea & Balduinus, Marcsiæ tum temporis præfectus, dum nondum præ foribus discrimen erat, exercitum conscribere sufficientem,

Κύπρῳ εἰς κλῆρον ἀποδώσεσθαι τῷ A Μανουήλ. ὅθεν δὲ ἐπὶ ταύτην τὴν ἔννοιαν ἦλθεν, ἐρῶν ἔρχομαι. Φθάνει μὲν Ἀλεξίῳ, ὃς πρεσβύτατος αὐτῷ παίδων ἐγένετο, τὰ Ῥωμαίων ἐκ πολλοῦ μνηστευσάμενος σκῆπτρα. Ἐπεὶ δὲ καὶ Μανουὴλ ἔσχατος αὐτῷ γένοιτο, φάσεις αὐτίκα ἐφοίτων, καὶ ξύμβολα βασιλείας εἰς τὸν παῖδα ἐγνωρίζετο, ὧν ἑνὸς ἢ δυοῖν ἐπιμνησθῆναι, οὔ μοι ἔδοξεν ἀπὸ εἶναι καιροῦ. Ἐπειδήποτε πρὸς ὕπνον καταδέδαρθεν ὁ Μανουήλ, γυνή τις B ὄναρ ἐφίσταται τούτῳ, ὄψις σεμνή, μέλαινα αἰσθής, ἐν δὲ χερσὶ πέδιλα, ὁποῖα βασιλεῦσιν ὑποδέδεσθαι νόμος. Καὶ παρείχετο τῷ Μανουὴλ χρῆσθαι κελεύουσα, ἀποσεισαμένου ταυτὶ, ἐδείκνυε δὲ τὰ συνήθη κυανᾶ. Ὁ δὲ θορύβου μεστὸς ἀνεγρόμενος, ἐπειδὴ μὴ ἐντυγχάνειν τοῖς ὀφθεῖσιν εἶχεν, ἐκλαυθμυρίζετο κατὰ τοὺς παῖδας. καὶ ἀφῃρῆσθαι ταῦτα πρός του τῶν περὶ τὴν οἰκίαν ᾤετο. τοῦτο μὲν δὴ τοιοῦτον. ἕτερον δὲ οὐδὲν αὐτοῦ ἔλασσον. C Ἦν τις μοναχῶν, πατρὶς αὐτῷ Γαλιλαία, βίος ἀναχωρητικός τε καὶ ὄρειος. οὗτος ἐπειδήποτε ἐς ὁμιλίαν βασιλεῖ καθίστατο Ἰωάννῃ, τοὺς παῖδας ἐς αὐλὴν παρελθόντας ἰδὼν, τοῖς μὲν ἄλλοις ὅσα καὶ ἰδιωτικοῖς προσηνέχθη, Μανουὴλ δὲ, τοῦτον σὺν εὐλαβείᾳ προσιὼν ἐπευλόγει. Πυνθανομένου δὲ βασιλέως, ὅτου ἕνεκα ταῦτα ποιοίη, ὑπολαβὼν ὁ μοναχὸς, ὅτι ἔφη, μόνος ἐξ ἁπάντων Μανουὴλ βασιλεὺς ἐμοὶ φαίνεται. Ἐκ δὲ τούτων καὶ

filio Manueli hæreditatem daret. Hujus rationem propositi referam. Alexio, qui stirpis erat maximus, imperium Romanum jam dudum addixerat; sed nato Manuele liberorum minimo, de eo statim prædictiones multæ, multa destinati puero regni omina portendebantur. quorum unum atque alterum recensere congruens crediderim. Dormienti aliquando in somniis apparuit mulier, severa facie, nigro peplo, manibus tenens calceamenta, quibus reges indui moris est; ea Manueli ad utendum obtulit, atque illo rejiciente monstravit & consuetam imperatoribus purpuram. Excitatus cum ingenti perturbatione, ubi quæ viderat non reperit, ad pueros plorabat, quod ea è domesticis aliquem credebat abstulisse.

Hoc ejusmodi quidem, alterum nihilo incertius fuit. Monachus ex Galilæa, qui vitam eremiticam in silvis ac montibus agebat, in colloquio forte imperatori præsens, cum accedentes ad eum filios videret, ceteros velut privatos prosequi, Manuelem vero reverenter adire eique fausta ominari. Rogatus causam à principe, respondit Monachus, unum ex omnibus Manuelem sibi imperatorem videri. Hæc & similia va-

τοιούτων

A τοιούτων ἄλλων ἐς ἀπεράντους ὁ βασιλεὺς ἐννοίας ἐξέπιπτεν, ἀναλύειν δ' οὐκ ἔχων, ἅπερ αὐτῷ δόξειεν ἀρχῆθεν ἐς τὸν εἰρημένον σκοπὸν ἔβλεψεν. Ἀλλ' ἔοικεν ἀνθρωπίνης ἄρα ἐπινοίας τῶν πάντων πραγμάτων ἠρτῆσθαι μηδέν. οὔπω γὰρ τῆς Κιλίκων ἐφίστατο, καὶ δυοῖν μὲν ἀφῄρετο παίδων, οἳ χρόνῳ προήκοντ. ἅτερος δὲ τοῖν ἀπολελειμμένοιν, ἐπεὶ μηδ' αὐτῷ ξυνέβαινεν ἐς τὸ σῶμα καλῶς ἔχειν, ἀπῄει τοὺς νεκροὺς ἐς Βυζάντιον ἀνακομίζων. Βασιλεὺς B δὲ ἐπὶ τῆς Κιλίκων τὸν βίον ξυνεμετρήσατο, καὶ Μανουὴλ λοιπὸν εἰς τὸν βασιλείας ἄνεισι θρόνον. Ἄξιον δὲ καὶ τὸν τῆς τελευτῆς αὐτοῦ τρόπον διηγήσασθαι. Ἐξιόντι πρὸς θήραν αὐτῷ σῦς ἀπήντα, μέγα τι χρῆμα, ὁποῖα πολλὰ ἡ Κιλίκων τρέφει γῆ, καὶ ὄρη τὰ Ταυρικά. Ὁ μὲν οὖν ἀκόντιον ὥς φησι χαρισάμενος ἐπιόντα τοῦτον ὑφίστατο. ὁ δὲ τῆς αἰχμῆς τῷ στέρνῳ ἐγχρισθείσης θυμαίνων ἐπὶ τῇ πληγῇ, ἐθισμῷ μᾶλλον ἐχρῆτο, ὡς C ἐντεῦθεν τῆς βασιλέως χεῖρα διὰ σφοδρὰν τὴν ἀντέρεισιν τοῦ εὐθέως ἐκτραπεῖσαν, ἐφ' ἣν παρήρτητο παρενεχθῆναι φαρέτραν πλήρη βελῶν οὖσαν, εὐθὺς οὖν τραῦμα ἐπικολλᾶσθαι ταῖς ἀκίσι ξυνθέντος αὐτοῦ τοῦ ἐπικαρπίου. καὶ ἀφρὸς μὲν ἐντεῦθεν ἐξεμυσάτο ὕφαιμος. ὑμένα δέ τινα λεπτὸν, ὃν ἐκδηραν οἱ πολλοὶ ἰδιωτικῶς ὀνομάζουσι, προσῆγετο δῆθεν ξυνάξων τὸ διεστηκὸς, καὶ συνουλώσων τὸ τραῦμα, ὡς μὴ φλεγμονὰς ἰδίας ἐγχειρίζει, ἀλλ' ἦν ἐκεῖνο τῆς εἰσέπειτα

A rie principis animum versabant, neque tamen prius decreta rescindi volens, ea, quæ supra memoravi, intendit. Sed ita comparatum est, nihil rerum ex humanis ut pendeat consiliis. nondum enim Ciliciam attigerat, quin filiis duobus ætate provectioribus orbatur, ac superstitum alter, postquam & ipsi male fuit, Byzantium cum fratrum reliquiis regreditur. Etiam ibi diem suum princeps obit, regnat post B eum Manuel. Quis autem discessus illius fuerit, operæ pretium est exsequi. Ad venationem egresso obvius fit aper ingentis magnitudinis, quales in Cilicia multi & montibus Tauricis, advenientem, ut ajunt, telo excipit & sustinet; ille adacto in pectus venabulo furere ad plagam & instare magis; ut inde manus imperatoris, dum vehementer obnititur fera, aversa retro flecteretur ad pharetram, quam ex C humeris suspensam habebat, sagittis plenam: quarum cuspidibus vulnerata perstrictaque pars carpo proxima. Eo ex vulnere cruenta sanie effluente, tenuis membrana, quam vulgo excoriationem vocant, imponitur; ut scilicet coalescerent rupta & obducerentur, neve vulnus inflammatum atque intumescens dolores concitaret. Verum hæc ipsa

Φλεγ-

φλεγμονῆς αἴτιον. Τὸν γὰρ τῆς ἀκίδος ἰὸν ἔνδον τῇ στυφότητι ἐναπολαβὸν ἐπὶ τὸ ἄλλο μετέφερε σῶμα. ἀλλὰ ταῦτα μὲν ὕστερον. Τότε δὲ μηδεμίαν ἔτι ὀδύνης συναίσθησιν ἔχοντι, τράπεζά τε αὐτῷ παρετίθετο, καὶ ἡ κλίνη τοῦτον εἶχεν ὡς ἀριστήσοντα· περιβαίνοντος δὲ τοῦ ἀρίστου, παῖδες ἰατρῶν ἐνταῦθα παρεστηκότες, ὡς τὸ ἐπίθεμα εἶδον ἐπυνθάνοντό τε τὴν τοῦ τραύματος αἰτίαν, καὶ μαθόντες τῇ τε τραπέζῃ ἐπεμέμφοντο, καὶ ἠξίουν αὐτίκα τῆς χειρὸς ἀπεῶσθαι τοῦτο· ὁ δὲ προσφῦναί τε τραῦμα ἐνταῦθα διετείνετο, καὶ τοῦ λοιποῦ μηδὲν ὄγκου καὶ φλεγμονῆς πέρι δεινὸν ὑφορᾶσθαι, ἀλλ' ἄρτι πρὸς ὕπνον κατέδαρθεν ἀριστήσας, καὶ ὀδύναι δριμεῖαι ἀνέβαινον ἄφνης, καὶ ὄγκος ἀνίστατο τῆς χειρός. συνήει τε πᾶς ὁ τῶν ἰατρῶν κύκλος, καὶ ἀγὼν προὔκειτο περὶ τοῦ πρακτέου. τοῖς μὲν οὖν τέμνειν ἐδόκει τὸν ὄγκον. τοὺς δὲ τὸ ἀπέπαντον ἐδυσώπει, καὶ ἄλλως μαλάσσεσθαι τοῦτο προὔτρεπον. Ἀλλ' ἔδει γὰρ ὡς ἔοικε γενέσθαι, κακῶς ἐκράτει τῆς χειρουργίας ἡ ψῆφος. τμηθέντος οὖν, ὄγκος ἀνέβαινε μείζων, καὶ ἡ χεὶρ ὠργανοῦτο. Καὶ ὁ βασιλεὺς ἐλπίσιν ἤδη θανάτου τὴν ψυχὴν κατασείεσθαι ἤρχετο. καὶ μάλισθ' ὅτι μηδὲ πέρατι τὸν σκοπὸν ἔδωκε, ὃν τῆς περὶ τὴν Παλαιστίνην ἐπιδημίας πάλαι ὠδινήσας ἔφθη, οὗ δὴ ἕνεκα καὶ εἴκοσι ταλάντων ἀπὸ χρυσοῦ λυχνίαν εἰργασμένος ἔτυχεν, ἀνάθημα τῷ τῇδε ναῷ κατασκευαζόμενος. Ἐπειδὴ οὖν ἐν ἀμηχάνοις ἦν, μοναχόν τινα

A fuit postea inflammationis causa: nam venenum teli ipsa adstrictione arctius inclusum in reliquum transtulit corpus. Ita primum nullo adhuc dolore adfecto & in lecto quiescenti, mensa velut pransuro apponitur. Inter prandendum qui circumsteterant medici ut causam vulneris & medicinam cognovere, abjiciendam eam utique remota mensa censuerunt. Contra affirmare princeps, concrescere illo medi-
B camento vulnus, nec quicquam tumoris inde ardorisve metuendum; denique bene pransus somno se dare, mox acutissimi dolores suboriri, intumescere tota manus. Tota itaque convenire medicorum turba, certare sententiis quidnam opus facto esset, his resecanda videri, illos cruditas pertetrere, eam aliis molliendam remediis dicere.
C Sed faciendum fuit ut placuerat pluribus, quique sectionem urgebant, vitio vicerunt. Quippe ea peracta, augeri repente tumor & vehementius excandescere manus cœpit. Jamque mortis impendentis metu turbari princeps, eo maxime, quod aliquando conceptam mente in Palæstinam expeditionem non confecisset. Ea propter viginti talentis aureis fabricatum candelabrum dono ejus loci delubro tulit. Cum jam supremis ap-

ἐκ Παμφυλίας ἄνδρα μεταπεμψάμενος ἱερὸν, παννύχῳ δεήσει τὸ θεῖον ἱλάσκεσθαι ἠξίου. Τὸν δὲ τῇ δεήσει προσεσχηκότα, φωνῶν ἀκοῦσαι λέγεται ᾀδόντων τινῶν. ὤφθη ὁ λίθος μετηρμένος, καὶ θεῖος νεανίας καταστέλλων τὸν θόρυβον αὐτῶν τῆς ψυχῆς. Τοῦτο μὲν δὴ τοιοῦτον. Βασιλεὺς δὲ αἰσθόμενος ἤδη ἐν κακοῖς ἑαυτοῦ γεγονότος, παρεῖναι τοὺς ἐν τέλει κελεύσας, καὶ ὅσον ἐν μεγιστᾶσι καὶ στρατηγοῖς, καὶ ἄλλως ἀπόβλεπτον ἦν, ἔλεξε τοιάδε. Ἄνδρες Ῥωμαῖοι, ὅσοι ἐπὶ ταυτηνὶ ξυνελέγητέ μοι τὴν ἀκρόασιν, ὡς μὲν πολλοῖς ἤδη, καὶ ἄλλοις τῶν παρ' ἡμῖν βασιλεῦσιν ἐπὶ τοὺς παῖδας τοὺς αὐτῶν, ὥσπερ τινὰ κλῆρον πατρῷον, τὴν ἡγεμονίαν διαβιβάζειν ἔδοξεν. αὐτὸς δὲ οἶδα, πρὸς πατρὸς βασιλέως τὴν δὲ παραλαβὼν τὴν ἀρχὴν, καὶ ὑμῶν δὲ ἑκάστῳ, ταῦτα μοι περὶ τούτου γινώσκειν ξυμβαίνει. Ταύτῃ ἄρα καὶ οἴεσθέ με ἴσως ἐς πέρατα τῆς παρούσης ὡς ὁρᾶτε ἀφιγμένον ζωῆς, παίδοιν ἐμοὶ ἀπολελειμμένοιν δυοῖν ἐπὶ τῷ χρόνῳ προήκοντα, ὥσπερ ἀνθρώποις νόμος ἐστὶν, ἀρχὴν τὴν δὲ καὶ θρόνον μεταγαγεῖν. ἐμοὶ δὲ τοσοῦτον ἐμέλησεν ὑμῶν, ὡς εἰ μηδετέρῳ τοῖν εἰρημένοιν τὸ χρῆμα τοῦτο προσήκειν ἐξ ἀρετῆς, εἱλόμην γε ἄν, ὅσπερ ἂν ἐμοί τε καὶ ὑμῖν οὐκ ἀπὸ γνώμης εἶναι φανείη. ξυνοίσει γὰρ οἶμαι οὐδὲν οὐδὲ τῷ δόντι, οὔτε τῷ δεξαμένῳ, ἐπειδὰν ἀμαθίᾳ κυβερνήτης τὴν ναῦν καταδύῃ. Εἰ μὴ καὶ μᾶλλον προσαπολεῖται τῷ δώρῳ. καὶ κακῶς ἐρεῖ τοῦ δεδωκότος οὐκ ἀγαθά.

A propinquaret, acciri jubet è Pamphylia monachum, virum sanctum, ut continuatis per noctem precibus Deum placaret. hunc religioni deditum voces ajunt canentium audivisse, lucernam vidisse translatam, & juvenem supra humanum modum componentem tumultum ac perturbationem animi illorum. Id quidem ejusmodi. Princeps ubi finem sibi vitæ adesse intelligit, convocatis ad se magnatibus & ducûm illustrioribus, in hanc
B mentem orationem cœpit: *Plerosque, Romani, quos ad hoc concilium advocavi, apud nos principes, insuevisse imperium velut patrimonium ad liberos transmittere hæredes; neque ego, qui regnum à patre accepi, ignoro, neque vestrum cuiquam de me aliter placuit decernere. Iccirco putatis haud dubie, me quoque, vita ut videtis excedentem, vetusto*
C *gentium more hanc imperii majestatem, cum duos habeam superstites filios, majori traditurum. At ego tantam vestri curam gero, ut si neutri eorum per virtutem competit, lecturus ultro alium fuerim, & meo & vestro judicio tantæ parem moli. Nam & navem dare gubernandam, quem eam undis submersurum pro certo habeas, nec danti neque accipienti expedire reor: hic cum dono interibit, illum pereuntis dira insequentur.*

D

Ἀπειρο-

Ἀπειροκαλία μὲν οὖν καὶ τοῦ δωρεῖσθαι ἀμαθίαν, καὶ ξυνόλως οὐδὲν οἶμαι ὑγιές. οὕτω μὲν δὴ γνώμης αὐτὸς περὶ ὑμᾶς ἔχω. Τεκμήριον δὲ, καὶ γὰρ ἐπὶ ξυμφέροντι τῷ ὑμῶν δεῆσαν, τάχα καὶ φύσιν ἀδικήσων ἰδοὺ πάρειμι. Παῖδε μοι ἄμφω καλώ. ἅτερος δὲ αὐτοῖν καὶ χρόνῳ προάγει. Ἀλλ' ἡ γνώμη τὸ πρεσβεῖον ἀποσεισαμένη, τὸ βέλτιον ἰχνηλατεῖ. καὶ πείθει ἀρετὴν ἀρετῇ παραβάλλοντα. δυσχερὲς δή τοῦτο τῶν ἁπάντων ἀγώνισμα τὸν κρείττω πειρᾶσθαι λαβεῖν. Ἐπεὶ καὶ χρὴ τῷ βελτίστῳ προσνεῖμαι τὸ βέλτιον. βασιλείας δέ τι αὐτῆς θείου σεμνότερον ἕτερον. Βουλοίμην μὲν τ' ἂν ἄνδρες συστρατιῶται, τῷ χρόνου πρεσβείῳ καὶ τὸ ἐξ ἀρετῆς μᾶλλον προσεῖναι ἐντελές. ἀλλ' ἥγε ψῆφος ἐπὶ τὸ τελευταῖον ὁρᾷ. καὶ ὁ βασιλείας κανὼν τῷ ἐσχάτῳ μᾶλλον προσφύεται, καὶ οὐδήπου ὀφθαλμίαν ἐμοὶ τὴν ἐξ εὐνοίας δεδιέναι ἔπεισι. Παῖδε γὰρ ἄμφω καὶ φίλω πάντως ἀπὸ ταὐτοῦ, καὶ τοῦτό γε τὸ μέρος οὐδὲν ἅτερος προέχει. Ψῆφον μὲν δὴ τὴν ἐπ' αὐτοῖν ἐμοὶ καὶ μᾶλλον διὰ ταῦτα, ἤπερ ὑμῖν πιστευτέον αὐτοῖς. Ἐκεῖνο δὲ κοινῇ καὶ μάλιστα περιεργαστέον, λέγω δὲ μήποτε ἀδελφοῦ μὲν κρατιστεύειν δήπου τὸν παῖδα ξυμβαίνει, ἐς δὲ τὸν θρόνον παραβαλλόμενος ἥσσων ἐλέγχηται. Ἐμαυτῷ γὰρ οὐκέτι καὶ τοῦτο θαρρῶ, δεινῶς μονωθεῖσαν ὑπειδομένῳ τὴν εὔνοιαν, ἱκανὴ γὰρ μάλιστα ψῆφον δεκάσαι τηνίκα μὴ παρ' ἴσης ἐκκρούοιτο. Βούλεσθε τοίνυν αὐτοὶ μὲν ὑμῖν τῶν

A *tur. nam stultitia est dare quod sustinere alius non valeat, imo mera insania. Hunc me erga vos animum gerere, indicium, quia sic vestra intererit, ecce mox transcensurus naturæ ordinem facio. Filii mei ambo boni, sed & alter tempore prior. judicium autem meum, spreta ætatis prærogativa, virtutem cum virtute committens, optimum vestigat & præferendum suadet; arduaque hæc o-* B *mnium contentio est, conari accipere validiorem. Et si optimo attribui optimum convenit, quis regno quidquam esse dicat excellentius? Optarim quidem, ego, commilitones, ætatis præstantia suffragationem virtutis accedere: sed hæc ad minorem inclinat; ei magis innata imperii nota; nec mihi oculi favore cæcutiunt. Liberos uno ordine, uno caritatis gradu habeo, atque ea propter nequa-* C *quam alterum alteri propter ætatem præfero. quare mihi suffragium potius super iis, quam vobis ipsis concredendum. Id vero communi consilio studiose diligenterque inquiramus, ne fratrem quidem in aliis præstet adolescens, ad imperii vero majestatem sustinendam minor deprehendatur. Neque enim tantum mihi soli fido, suspectum habens favorem singularem, quod corrumpat ut plurimum consilia, nisi à pari altero reprimatur. Vultis igitur, me ipsius decora vobis enarrante, suffragium inire vos*

αὐτοῦ

αὐτοὶ καταλέγοιμι, ἐπιψηφίσασθαι δὲ αὐτοί. ἰσχύος μὲν δὴ καὶ ῥώμης καὶ τοῦ ἐς τὰ πολέμια θάρσους, ὁπόσον αὐτῷ μέτεστι, παντάπασι δῆλον ἐστί. καὶ μαρτυρεῖ μοι τὰ Νεοκαισαρέων τοῖς λόγοις, ἔνθα ἐπιδήλως ἐς γόνυ τὰ Ῥωμαίων κάμψαντα ὑπὸ δὴ τούτῳ ἀνορθωκότα περισωθείη. ἃ δὲ προσμαρτυρεῖν αὐτῷ μόνου ἂν εἴη τοῦ πατρός. Ἀκούσατε δὲ πολλὰ πολλάκις ἐν οὐ μετρίαις ἐμοὶ πονουμένῳ πραγμάτων δυσκολίαις, οὗτος τῶν ἄλλων ἀπειρηκότων μέγας ἐν βουλαῖς ὤφθη, ἱκανὸς μὲν χειμῶνα προειδέσθαι γινόμενον, δεξιὸς δὲ ζάλην ἀποκλῖναι, καὶ βίαις πνευμάτων ἀντισχεῖν. Ὃ δ' ἂν πρὸ τῶν ἄλλων ἐπ' αὐτῷ σκοπεῖν δίκαιοι ἂν εἴημεν, βραβεῖα Θεοῦ ἐπὶ τὸν μείρακα δὴ πίπτει. σκοπεῖτε δ' ὅπως. Ἐμοὶ μὲν Ἀλέξιος ἐπὶ τὴν βασιλείαν ἐκλήθη, καὶ ἡ γνώμη χρόνοις τισὶν ἀποδέδεικτο πρότερον. Θεὸς δὲ καὶ πρώην ἐμοὶ τὸν ἐφ' ὃν ἀναπέπαυτο προδεικνὺς, τελευταῖον δὴ καὶ ἐκ μέσου μοι τὸν νεανίαν ἐκεῖνον πεποίηται. εἶπον ἂν ὑμῖν καὶ τῶν συμβόλων τινὰ, ἃ τύχην τὴν παροῦσαν αὐτῷ προὔφαινεν, εἴγε μὴ λόγον ἄλλως αὐτὰ νομισθῆναι τοῖς πολλοῖς ἠπιστάμην· οὐδὲν γὰρ οὕτως ἐς διαβολὴν ῥᾴδιον ἀνθρώποις, ὡς ὀνείρων φάσεις καὶ μελλόντων ὀμφαὶ γίνεται. ἃ μὲν οὖν αὐτὸς παιδὶ τῷ ἐμῷ ξυνειδέναι εἶχον, καὶ δὴ μοι εἴρηται. ὑμέτερον δ' ἂν εἴη τὴν γνώμην ἐπιθεῖναι λοιπὸν τὴν ἑαυτῶν. Βασιλεὺς μὲν τοσαῦτα εἶπεν. οἱ δὲ σὺν ἡδονῇ τε καὶ δάκρυσιν ἐπένευον. ὁ δὲ παῖς, ἦν γὰρ φιλοπάτωρ εἴπερ τις ἄλλος, καὶ φύσεως θεσμοὺς

A *ipsi? quantum illi virium, quantum roboris, quantum & in bella animi adsit, satis omnibus compertum. Testis Neocæsarea, ad quam penitus inclinatam rem Romanam sua manu & erexit & servavit. quod quidem attestari de illo solum decet patrem. Ceterum audivistis multoties, haut levibus me difficultatibus involuto, cum ceteri animos desponderent, quanta ille consilia ostentaverit, gnarus providenda hieme, evitandis procellis &* B *vi ventorum sustinenda validus. At vero destinata hac divinitus adolescenti præmia esse, æquum erit ante omnia nos advertere. Alexium equidem cæsarem dixeram, eamque jam dudum sententiam publicaveram; sed enim Deus quem dignum regno judicaret ante me declarans, illum tandem rebus humanis juvenem exemit. Dixi & tum omina vobis, præsentem hanc ipsi fortunam pollicentia, modò non crediderimus quæ aliter de iis sentiunt* C *multi; quando nihil æque promtum homini ad calumnias, quam somniorum portenta & prædictiones futurorum. Hujusmodi sunt, quæ de filio meo & comperta & dicenda habui. vestrum erit calculum dictis adjicere.* Posteaquam princeps finem loquendi fecit, illi flentes assensum præbuere. Manuel patris sui, si quis alius, amantissimus, legem naturæ reverenter accipiens, annuit refle-

θεσμοὺς εὐλαβούμενος κάτω νενευκὼς, καὶ ἐπὶ στέρνα τὴν κεφαλὴν ῥίπτων, δάκρυσι τὸ δάπεδον ἔπλυνε. Τὴν χλαμίδα δ' ὅμως περιδυθεὶς, καὶ ταινιωθεὶς τῷ διαδήματι, βασιλεὺς ὑπὸ παντὸς ἀνηγορεύετο τοῦ στρατοῦ. Βασιλεὺς δὲ Ἰωάννης ὀλίγαις τὸ ἐντεῦθεν ἐπιβιοὺς ἡμέραις, πρὸς τὴν ἐκεῖθεν λῆξιν μετέστη, ἐφ' ὅλοις πέντε καὶ εἴκοσιν ἐνιαυτοῖς καὶ μησὶν ἑπτὰ Ῥωμαίων ἄρξας, ὀγδόην ἄγοντος μηνὸς, ὃν μὲν Ἕλληνες Ξανθικὸν, Ἀπρίλλιον δὲ Ῥωμαῖοι

xo in pectus capite & lacrimis pavimentum tinxit. hinc chlamyde ornatus & diademate, ab universo imperator exercitu proclamatur. Joannes paucis post diebus, cum quinque & viginti annos, menses septem imperasset, moritur, octavo die mensis, quem Zanthicum Græci, Romani Aprilem vocant.

ΡΩΜΑΪΚΗΣ ΙΣΤΟΡΙΑΣ

Βιβλίον Δεύτερον.

HISTORIÆ ROMANÆ

Liber Secundus.

Τὰ μὲν δὴ Βασιλέως Ἰωάννου ἐνταῦθα μοι πέρας ἐχέτω. A Βασιλεὺς δὲ Μανουὴλ τῶν σκήπτρων ἤδη ἐπιλαβόμενος, μειράκιον ἔτι, πρώτως ἄρτι γενειάσκων, οὔτε συνεταράχθη πρὸς τὸν ὄγκον τῆς ἀρχῆς, οὔτε τι ἀγεννὲς ἔπαθεν. Ἰσαακίου γὰρ κατ' ἐκεῖνον τὸν χρόνον ἐν Βυζαντίῳ διατρίβοντος, ὑποψίας τε ἐντεῦθεν τοὺς πλείστους εἰσιούσης, ὡς οὐκ ἄν ποτε ἀνάσχοιτο μὴ αὐτίκα τι νεωτερίσαι, φύσει μὲν καὶ ἄλλως δύσερις B ὤν, καὶ θυμῷ τὰ πλεῖστα διοικούμενος, τότε δ' οὖν καὶ προφάσεως εἰς τὸ λαβέσθαι ηὑρημένος ὁ δὲ τούτου μὲν ἧττον ἐφρόντισεν. Ἐφ' ὅλαις δὲ τριάκοντα μετὰ τὴν τοῦ πατρὸς τελευτὴν τῷ χώρῳ ἐνδιατρίψας ἡμέραις, οὐ πρότερον ἐκεῖθεν ἀπῆρε, πρὶν ἂν τῷ πατρὶ τὴν ὁσίαν ὡς τὸ εἰκὸς ἐξετέλεσε. Πρὸς γὰρ τοῖς ἄλλοις καὶ φροντιστήριον ἐπὶ τοῦ τόπου ἱδρύσατο, οὗ δὴ ἐκεῖνον τὴν ψυχὴν ἀφεῖναι τετύχηκε. Καὶ τὰ Κιλίκων πράγματα ἐν C

Hic me juvat res Joannis ad exitum perduxisse. Manuel imperator rerum jam potitus, primæ adhuc lanuginis adolescens, neque perterritus est ad imperii molem, neque quidquam perpessus indignum. Isaacio enim per idem tempus Byzantii agente, cum multos suspicio incessisset, ne à rebus statim novandis male se contineret, natura certaminum avidus, & ad omnia vehemens, tum præsertim, cum occasionis esset satis; princeps hoc quidem extra curam posuit. Triginta vero omnibus post mortem patris diebus istic commoratus, non prius decessit, quam justa parenti pro more peregisset. Prȩter alia scholam eo quoque loco erexit, vitam ubi pater finierat. Ita stabilitis in Cilicia rebus.

τῷ ἀσφαλεῖ κατεστήσατο. Ἀντιοχεῖς δὲ καὶ πρότερον μὲν βασιλέως Ἰωάννου ἔτι περιόντος χειρὸς τῆς ἐκείνου ἀποσκιρτᾶν ἤρξαντο. Τότε δὲ ἐπὶ βασιλέα πέμψαντες Μανουήλ, καὶ ὁρίων σφίσι γῆς ὑπεκστῆναι ἠξίουν, ἃ πάλαι μὲν τῇ αὐτῶν ἀνήκειν ἔφασκον. Βίᾳ δὲ καὶ οὐ ξὺν τῷ δικαίῳ πρὸς τῶν Ῥωμαίων τὰ νῦν ἔχεσθαι. Οἱ μὲν ταῦτα ἔλεγον. Βασιλεὺς δὲ εἰς ἀπολογίαν αὐτοῖς καταστὰς, ἔλεξε τοιάδε· ὡς μὲν οὐδενὸς ἔτι φλαύρου παρ' ἡμῶν Ἀντιοχεῦσι πειραθῆναι ξυνέπεσεν, ὦ ἄνδρες πρεσβευταὶ, παντί που δῆλον ἐστίν. Εἰ δὲ ἅ τις παρ' ἑτέρων ἀφῄρηται, ταῦτα δὴ παρ' ἄλλων ἀποφέρεσθαι δίκαιος ἂν εἴη, τί μὴ καὶ ὑμεῖς Ἀντιόχειαν τὴν Ῥωμαίοις ἀπέδοσθε πρότερον, ἀλλὰ χειρὶ καὶ βίᾳ ταύτην πρὸς πατρὸς ἀφῄρησθε τοῦ ἐμοῦ; Ἢ οὐχ ἡμῖν Πέρσαι δουλεύουσαν ἀφείλοντο πρότερον; Ἄλλως δὲ τίνος ὄντα ταυτὶ ἐξ ἡμῶν λαμβάνειν αἰτεῖσθε πόλεως Ἀντιοχείας; ὃ δὲ καὶ αὐτὸ φθάνει κράτει δουλεῦσαν τῷ ἡμῶν. εἰ δὲ τὰ ὑμῖν αὐτοῖς ὡμολογημένα παραβαίνειν, ὑμῖν αἰσχύνη οὐδὲ μία, τί τῶν δικαίων παράβασιν ἐπικαλοῦντες ἡμῖν πάρεστε, ὅσγε εὐθύνας μᾶλλον ἐξ ἡμῶν δικαίως ἂν ἀπαιτοῖμεν; Ἀλλὰ τὰ μὲν περὶ τούτου καιρὸς ὁ προσήκων ἡμῖν παραστῆσαι ἱκανὸς ἔσται. Τὸ δὲ νῦν ἀποστῆναι τῶν οὐ προσηκόντων κελεύω. Ἐμοὶ γὰρ αὐξῆσαι ἃ πρὸς πατρὸς εἰς χεῖρας ἦλθον ἐμὰς, μὴ ἂν ἐλαττῶσαι γένοιτο. Τοῖς πρέσβεσι μὲν ταῦτα εἶπεν. Ὁ δὲ ἐπὶ τὰς ναῦς, αἳ παρὰ τὸν Πύραμον ὡρμίζοντο ποταμὸν, ὃς διὰ Μοψουεστίας φερόμενος ἐπὶ θάλασσαν

A Antiocheni, qui modo ante obitum Joannis desciscere ab eo cogitaverant, ad Manuelem tum misere, ut agri sui finibus, quos ad urbem pertinere aiebant, decederet. quippe eos vi à Romanis, non jure, teneri. Hæc illi. adversus quæ se defendens princeps in hanc sententiam respondere: *Nihil vos mali à nobis passos, Antiocheni, in universum palam est. Si vero quæ cui ablata sunt,* B *ea per alium quemvis possessorem restitui oportet primo domino, cur non & vos Antiochiam olim reddidistis Romanis, sed vi manuque patrem inde meum arcuistis? An non eam nobis parentem prius involarant Persæ? Qua igitur fronte audetis poscere decedi nobis, quo dicitis fines esse Antiochiæ, qui & ipsi quondam pars imperii nostri fuere? Sin autem quæ pepigistis ipsi violare nihil vos pudet; quid nos spreti aut oppreßi juris postulatis,* C *qui longe justius vos ad calculos vocemus? Sed ea satis deinceps nobis tempus opportunum evincet. nunc ab iniquis postulatis uti discedatis jubeo. Etenim mihi quæ à patre meo tradita in manus sunt augere, non autem diminuere, contingat.* Ita quidem legatis respondit. Tum ad naves in Pyramo stantes fluvio, qui Mopsuhestiam perfluens, in mare

πίπτει

A ποιεῖται τὴν ἐκβολήν, σὺν προπομπῇ τὸν νεκρὸν κατῆγεν, αὐτὸς ἅμα τοῖς γνησιωτάτοις τὸν ὦμον ὑποσχὼν τῇ σορῷ. Ἐπειδή τε ἐκεῖθεν οἱ δρόμωνες ἐπὶ θάλασσαν ἤδη ἀφῆκαν, λύσας καὶ οὗτος λοιπὸν τὴν στρατοπεδείαν διὰ μέσης ἐχώρει τῆς Περσῶν γῆς, ἀκηρυκτὶ διαβιβάζων τὸ στράτευμα. Πρὸς ὃ Πέρσαι καταπλαγέντες, τῆς τόλμης τε τὸ πελὸν ἀγασάμενοι, οὐ δὴ ἀντιβληπτῆσαι Ῥωμαίοις ἐτόλμων. συνέβαινέ τε αὐτοὺς ὡς διʼ οἰκίας λοιπὸν ἰέναι τῆς ἀλλοτρίας. B Ὁ μὲν οὖν εἰς τὴν Ῥωμαίων οὐ διὰ πολλῶν εἰσέβαλε γῆν. Αἱ δὲ τριήρεις ἐς Βυζάντιον ἀναχθεῖσαι τὴν βασιλέως κόνιν τῇ γερουσίᾳ ἀπέδοσαν. ἣν ἡ Ῥωμαίων γερουσία μεγαλοπρεπῶς ὑπολαβοῦσα εἰς τὸ ἱερὸν παρέπεμψε φροντιστήριον, ὅπερ ἡ βασιλὶς, καθάπερ ἔφην Εἰρήνη, ἐπʼ ὀνόματι τοῦ παντοκράτορος ἐτύγχανεν ἤδη δομησαμένη. Βασιλεῖ δὲ Μανουὴλ ἔτι περὶ τὴν ἐπάνοδον ἔχοντι, ἐπειδὴ μηδέπω τὰ κατὰ τὸν σεβαστοκράτορα C πύθοιτο, καὶ ὡς ἤδη τυραννίδι ἐπιθέσθαι βουλευσάμενον δόλῳ ὑπελθόντες, οἷς τὰ βασιλέως ἐπιτέτραπτο πρότερον, ἔμφρουρον τῷ τοῦ Παντοκράτορος τεμένει ἐποιήσαντο, ἔννοια γέγονε μήποτε τῶν σὺν αὐτῷ τισὶν καὶ μάλιστα τοῖς τὰς ὑπερφανεῖς διέπουσι δυσμεναίνων ἀρχὰς δράσῃ τι, καὶ ἄχρι τοῖς ἀνὰ τὸ Βυζάντιον οἴκοις αὐτῶν. Ἀμέλει καὶ ἐσκέπτετο πῶς ἂν ἀμηχάνους τοὺς δὲ τῆς ἐγχειρήσεως ἀπεργάσειν αὐτὸν γένοιτο. Ἐδόκει τοίνυν αὐτῷ

A se effundit, patris funus magna prosequentium frequentia ducit, ipse arcam humeris una cum nobilissimis portans. Inde ut dromones, oram solverunt, movit & & ipse castra, perque medios Persarum fines non petito per caduceatorem commeatu duxit; quam rem stupentes Persæ, licet magnitudinem audaciæ indignarentur, nihil tamen officere vicissim sustinebant Romanis, per hosticum B nihilo quietius, quam per suum agrum transgressis. Neque ita multo post ipse fines Romanos imperator attigit. Triremes autem Byzantium adactæ exposuerunt cinerem principis, quem magnifice susceptum senatus Romanus in monasterium extulit, in nomine omnipotentis, ut supra retuli, ab Eirene Augusta ædificatum. Manueli interea redire occupanti ubi adhuc nihil super Sebastocratore nun- C ciatum esset, neve allatum, ut regnum capessere molientem nonnulli, quibus absente principe rerum cura commissa erat, dolo aggressi, custodiendum illum templo omnipotentis inclusissent: subibat cogitatio animum, ne erga eos, qui penes se, maxime superioribus præfecturis inlustres, male affectus, acerbius quid de illis eorumque Byzantii ædibus decerneret. despexit ad ultimum, quî il-

τόμως

τόμους ἐς Βυζάντιον ἐκπέμψαι, καθοσιώσει δῆθεν τοὺς ἄνδρας καθυποβάλλοντας, χρημάτων τε διὰ τοῦτο καὶ κτημάτων ἐκπτώσεσι ζημιοῦντας, οὕτω γὰρ ἔφασκεν ὑπὲρ αὐτοῦ βασιλέως τὴν ἐπιβουλὴν ποιήσασθαι τοὺς ἄνδρας ὑπειληφὼς ὁ Σεβαστοκράτωρ, τὰ οἴκοι συντηρήσειν μᾶλλον αὐτοῖς, ἵν' ἐπὶ πλέον ἔχῃ πρὸς εὔνοιαν αὐτοὺς ἐπισπᾶσθαι. ἀλλ' ἦν ἄρα τὰ τῇ προνοίᾳ καθάπαξ δεδογμένα δυσανάλυτα πάντῃ, καὶ λογισμοῖς ἀνθρώπων δυσεπιβούλευτα. ὁ μὲν γὰρ ταῦτα ἐνενόει, καὶ τοῖς περὶ αὐτὸν δὲ ἤδη τὴν βουλὴν ἐξεκάλυπτεν. Ἰσαάκιος δὲ ἀμφοτέρους, τὸν μὲν, τὸ σεμνεῖον ἐτήρει φθάσαν, ὡς ἔφημεν. τὸν δὲ τὸν πρὸς πατρὸς φημὶ τῷ βασιλεῖ θεῖον, σιδηροπέδαι πρὸς Ἡρακλείᾳ καθειργμένον εἶχον τῇ Ποντικῇ. Ἔνθα οὐ ξὺν ἀτιμίᾳ μὲν διῆγε τὸ πρότερον πρὸς τοῦ ἀδελφοῦ κατὰ βασιλέως, ἔτι περιόντος ὑπερόριος γεγονώς. δι' ἃς οὐκ ἀνίει ἔρωτι βασιλείας, ἄλλοτε ἄλλας ὑπορύττων ἐπιβουλάς. Τότε δὲ καὶ εἰς τοῦτο τύχης ἦλθε γνώμῃ τῶν ἐν Βυζαντίῳ τῷ τηνικάδε ἐφεστώτων, ἐπειδὴ νεωτέροις αὖθις καὶ αὐτὸν ἐγχειρεῖν ἐπύθοντο πράγμασιν. Ἀλλὰ τὴν μὲν εἰς τὴν βασιλείαν πάροδον οὕτω καθάπερ ἤδη ἔφην ἡ πρόνοια φθάνουσα εὔοδον βασιλεῖ ἐποίει. Ὁ δὲ ἐπειδὴ τὰ κατὰ τοὺς Σεβαστοκράτορας ἤκουσεν, ἐν Βυζαντίῳ λοιπὸν γενόμενος, μεταχαλεῖται μὲν ἐπὶ

A lum ab redacto ad irritũ proposito deduceret. Itaque Byzantium transmittere statuit inscripta libellis judicia hominum quasi cõdemnatorum, eoque bonis & possessionibus multandorum: sic enim fore aiebat, ut adversum principem insidias struxisse ratus Sebastocrator, tum bona eorum domestica conservaret diligentius, tum ipsos ad gratiam & favorem sui pellicere summa ope anniteretur. sed quæ secum con-
B stituerat difficilia omnino conceptu & vix impositum iri videbãtur mortalium existimationi. Hujusmodi cogitaverat consilium princeps, jamque etiam suis recluserat. Isaacius interea uterque in vinculis; alter quidem, ut supra scripsimus, custodia templi attinebatur, alterum, patruum imperatoris, compedes constringebãt Heracleę Ponticæ. ubi citra ignominiam vixerat primum, à fratre sub excessum
C principis in exiliũ actus, quod ipsi concedere imperiũ ex amore nolens, insidias alias super alias occulte pararet. Tum autem, simul cum nova rursum moliri allatum esset, hanc calamitatem judicio intulere Byzantii, qui eo tempore summæ rerũ prçerant. At verò id consilii, ut memoravi modo, facilem principi aditum ad regnum fecit. qui posteaquam ea de Sebastocratoribus accepit, Byzantium ingressus fratrem

χρῆμα

χρῆμα τὸν ἀδελφὸν, χερσί τε περιβάλλει, καὶ ἀδελφικῶς περιχέεται. μεταπέμπεται δὲ καὶ τὸν θεῖον τῆς ὑπερορίας, τὰς αἰτίας τε λύσας, ἐφ' αἷς φυγῇ τὸ πρότερον ὁ πατὴρ αὐτὸν ἐζημίου, συγγνώμης ἠξίωσεν. Εἶτα δὲ χρήμασι τὸ στρατιωτικὸν δωρησάμενος οἴκαδε ἀπέλυσεν, ἑκάστῃ γε μὴν τῶν ἀνὰ τὸ Βυζάντιον οἰκιῶν χρυσίνους παρέσχετο δύο. Ἐπεὶ δὲ καὶ ποιμένος ἔδει τῇ Κωνσταντίνου, Μιχαὴλ ἐπὶ τὸν θρόνον ἀνάγει, ὃς τῆς κατὰ τὴν νῆσον, ἣν Ὀξεῖαν ἐκ τῆς θέσεως καλοῦσιν, ἦρχε φροντιστηρίου, παιδείας μὲν τῆς ἐγκυκλίου, καὶ μαθημάτων τῶν ἐκτὸς ἄκρῳ φασὶ γευσάμενος δακτύλῳ, ἠθῶν δὲ κοσμιότητι, καὶ τῇ τῶν θείων μελέτῃ λογίων οὐδενὸς ἐλάσσων, τῶν εἰς ἐκείνην τὴν ἡμέραν ἐπ' ἀρετῇ μάλιστα διαφανῶν. οὗ ταῖς χερσὶν ὕστερον ἐπ' ἐκκλησίας τῷ βασιλικῷ ταινιοῦται διαδήματι. ἔπι καὶ χρυσίου κεντηνάριον τραπέζῃ τῇ ἱερᾷ καταθεὶς, τότε μὲν ἐξῄει τὸ ἐλευθέριον αὐτοῦ καὶ μεγαλοπρεπὲς ἐν τοῖς ἁπάντων καταλελοιπὼς στόμασιν. Εἰσέπειτα δὲ καὶ ἐτησίαν τῷ κλήρῳ ἐκ παλατίου κεντηναρίων δύο προσεπιφέρει δόσιν, καλοῦσι δὲ τοῦτο τὸ νόμισμα δεύτερον. Τὰ μὲν οὖν ἐς τὴν βασιλείαν προοίμια τοιάδε τινὰ αὐτῷ γέγονεν. Ὁ δὲ Ῥαίμουνδον τὸν Ἀντιοχείας πρίγκιπα τῆς εἰς τὸν πατέρα μετελεύσεσθαι θέλων ἁμαρτάδος, οὔπω γὰρ ἔφθη ἐκεῖνος δίκην αὐτῷ ἐπιθεῖναι τὴν δέουσαν χερὶ αὐτοῦ τοῦ φυσικοῦ τὴν ὁρμὴν

A extemplo ad se vocat, manibus amplectitur, eique circumfunditur perquam fraterne: patruo etiam ab exilio accito & crimine, propter quod exactus ante à patre fuerat, absoluto veniam concedit. Dein militem pecuniis donatum domos remittit; Byzantinis autem in domos, singulas aureos largitur duos. Et quoniam patriarcha egebat Constantini civitas, Michaëlem throno imposuit,
B nit, monasterii in insula, quam Acutam ex situ nominant, præfectum, virum, qui orbem disciplinarum & humanas literas primore, ut ajunt, digito attigisset, morum elegantia & sacrarum exercitio literarum nemine inferiorem, unumque adeo ex iis, quorum ea in ætate virtus præter ceteros conspicua. Hujus vicissim manibus in ecclesia imperatorio diademate insignitus, inde deposito sacra in
C mensa auri centenario excedit, omnibus uno ore liberalitatem ejus & magnificentiam deprædicantibus, deniq; clero assignat annuam ex palatio duorum centenariorum donationem: vocant hoc secundum numisma. Talibus imperium primordiis occæpit. Antiochiæ autem principem Raimundum ob delictum in patrem ulciscendum ratus (quippe is, fato voluntatem præcidente, dignam pro factis pœnam

ἀνακόψαντος, στρατὸν ἐπ' ἐκεῖνον ἠπειρώτην τε καὶ ναυτικὸν ἔπεμψε. Ἦρχον δέ, τοῦ μὲν Ἀνδρόνικός τε καὶ Ἰωάννης ἐς Κοντοστεφάνους ἀναφέροντε, καὶ Προσοὺχ ἱκανὸς τὰ πολέμια. Τοῦ γε μὴν ναυτικοῦ Δημήτριος ἡγεῖτο, ᾧ Βρανᾶς ἐπίκλησις ἔκειτο. Ἀλλὰ Προσοὺχ μέν, καὶ ἄμφω τὼ Κοντοστεφάνω, ἐπειδὴ πρὸς τοῖς Κιλίκων ὅροις ἐγένοντο, ἅτε πρὸς Ἀντιοχέων Ῥωμαῖοι ἀφαιρεθέντες ἔτυχον ἐν ὀλίγῳ ἀνεσώσαντο φρούρια, καὶ Ῥαιμουνδῳ ἐς χεῖρας ἐλθόντες, ἐτρέψαντό τε αὐτόν, καὶ πολλοὺς τῶν σὺν αὐτῷ ἔκτειναν. τὸ δ' ὅπως, ἄρτι δηλώσω. Ἐπειδὴ τὰ εἰρημένα Ῥωμαῖοι παρεστήσαντο φρούρια, μηδενὸς ὅθεν δήποτε ἀντιστατοῦντος αὐτοῖς, ἄχρι καὶ ἐς Ἀντιόχου ἦλθον τὴν πόλιν λείαν Μυσῶν, καὶ τὰ ἐν ποσὶν ἐργαζόμενοι. Ῥαιμοῦνδος δὲ ἕως μὲν προσιόντας Ῥωμαίους ἑώρα, ἐντὸς τειχέων ἀτρέμας εἶχεν. Ἐπεὶ δ' ἐκεῖθεν συσκευασάμενοι ἀνεχώρουν, ἐπεξῄει γὰρ σφίσιν οὐδὲ εἷς, τότε κατὰ νώτου ἐπιθήσεσθαι αὐτοῖς ἐννοησάμενος, εἵπετο ἐν τῷ ἀφανεῖ. Καὶ Ῥωμαῖοι μὲν ἐπί τινα χῶρον ἐλθόντες, ἔνθα σφίσι σκηνοῦν ἐδόκει, χάρακα ἐπήγνυντο. Ὁ δὲ ἐν ἐπικαίρῳ καὶ αὐτὸς τὸ στράτευμα καταθείς, ὀλίγοις ἅμα ἐπὶ κατασκοπὴν τῶν πολεμίων ἐχώρει. οὐ μὴν ἔλαθε Ῥωμαίους ἐπιών. τῶν γὰρ ἐπὶ χορταγωγίαν ἐξιόντων τινὲς οὐ μακρὰν ἄπωθεν τῶν χαρακωμάτων ἐντετυχηκότες αὐτῷ δρομαῖοι τοῖς στρατηγοῖς

A non expetiverat) terrestres navalesque adversus illum copias misit. illis Joannes & Andronicus, Contostephano oriundi, & Prusuchus expertæ vir militiæ, his Demetrius cognomento Branas præerat. Prusuchus quidem & Contostephanus uterque postquam in fines Ciliciæ transcenderunt, primo statim adventu recuperarunt erepta ab Antiochensibus castella, B & consertis cum Raimundo manibus, ipse in fugam conjectus, plurimi de exercitu ejus obtruncati sunt. id quo modo acciderit, expediam. Postquam dicta Romani præsidia nullo jam resistente ceperunt, Mysorum, ut ajunt, prædam omnia obvia facientes, ad usque Antiochiæ perrexere mœnia. Quos adventantes dum conspicit Raimundus, intra muros abditus quiC escere: at vero recedentes, quia nemo congrediebatur, ut à tergo adoriretur, clam insequi. Romani ideo reperto loco castra ponunt. nec ipse iniquo metatus, cum paucis ad exploranda hostium proficiscitur. Non latuit ejus adventus Romanos; nam pabulantium nonnulli obviam facti confestim exercitui annunciaverant. qui tum quidem, præcipiti jam die, vigi-

ἀπήγγει-

A ἀπήγγειλαν. οἱ δὲ, τότε μὲν νὺξ γὰρ ἤδη ἦν φυλακὰς τάξαντες ἀνεπαύσαντο. ἑξῆς δὲ οὔπω ἡμέρας καταλαβούσης ταξάμενοι ὀπισθόρμητοι ᾔεσαν, γνώμην ἔχοντες σκηνουμένοις ἔτι τοῖς ἀμφὶ Ῥαϊμοῦνδον ἐπεισπεσεῖν. οὐ μὴν οὐδὲ Ῥαϊμοῦνδος ἠμέλει, ἀλλὰ καὶ ὡς ὀρθρολαίτερον τοῖς περὶ αὐτὸν, τὰ δοκοῦντα ἐπιτείλας, αὐτοὺς μὲν αὐτοῦ ἔλιπεν. ὁ δὲ ἐπὶ κατασκόπησιν αὖθις ἐχώρει. Ῥωμαίοις δὲ ἐξ ἀπροσδοκήτου συμπεσὼν, αὐτός τε νῶτα δοὺς ἔφευγε. B καὶ τὸ λοιπὸν στράτευμα πέμψας κατὰ τάχος ἐνθένδε ἀπαίρειν προὔτρεπετο, ἀλλὰ παρὰ πόδας αὐτοῖς ὁ Ῥωμαίων στρατὸς ἐπελθὼν ἐτρέψατό τε, καὶ φόνον αὐτῶν πολὺν εἰργάσατο, καὶ μέχρι τῶν Ἀντιοχείας πυλῶν ἡ δίωξις ἐγένετο, Ῥαϊμοῦνδος καὶ αὐτὸς μόλις τοὺς πολεμίους διαδρὰς, νυκτὸς ἐπὶ τὴν πόλιν εἰσήλασεν. Οἱ μὲν δὴ ἀμφὶ τὸν Προσοὺχ ταῦτα Ῥαϊμοῦνδον εἰργασμένοι ἐπὶ τὴν Κιλίκων ἀνεχώρησαν. C Δημήτριος δὲ σὺν τῷ στόλῳ ἐπελθὼν τὴν παράλιον καὶ θαλάσσῃ γείτονα ἐληΐσατο, καὶ πλῆθος ἀνθρώπων ἠνδραποδίσατο, ναῦς τε τῶν ἐγχωρίων ὡς πλείστας παρὰ τὴν θαλάσσης ἀνειλκυμένας ἀκτὴν πυρὶ ἔφλεξεν· ὅτε δὴ καὶ ὁ τὸ δημόσιον σφίσιν εἰσπρατλόμενος νόμισμα αἰχμάλωτος Ῥωμαίοις ἐγένετο. Ῥαϊμοῦνδος δὲ ἐπειδὴ ταῦτα ἤκουσε θυμῷ μεγάλῳ ἐπιὼν ἐς τὰς Ῥωμαϊκὰς ναῦς ἀπαγομένας ἤδη τῆς Χέρσου κατινόει,

A Aliis dispositis se continuit; sed orta vixdum luce instructo agmine retro gressi sunt, spe Raimundi copias adhuc sub tabernaculis stratas opprimendi. Nihil autem reliqui & ille facere, immo maturius suis agenda præcipere, tum denuo speculatum exire. Sed enim in Romanos nec opinatus incidens, terga vertere, missisque ad exercitum nunciis, B ut inde quam celerrime facesserent, hortari. at supervenientes è vestigio Romani, fugarunt fuderuntque magnam partem, ad portas usque urbis fugientes pertinaciter insecuti. Raimundus ægre ex hostibus dilapsus, nocte in civitatem pervenit. Ea clade affecto Raimundo, Prusuchi copiæ Ciliciam repetunt. Demetrius insuper cum classe adveniens lo- C ca maritima incursat. ibi capti multi mortales, incolarum naves magno numero in litore stantes incendium hausit, ipseque publici apud illos tributi exactor in manus venit Romanas. Hæc postquam ad Raimundum fama pertulit, ingenti ad classem hostilem contendit impetu; quam ubi jam avectam à litore cognoscit, rebus infectis regreditur. Romani autem

ἄπρακτος ἐκεῖθεν ἀνεχώρει. Ῥωμαῖοι δὲ τῆς θαλάσσης οὐ συγχωρούσης αὐτοῖς ἡμέραις δέκα τὸν χῶρον ἐκεῖνον περιπλεύσαντες, ἐπειδὴ λειψυδροῦντες ἦσαν τῇ χέρσῳ αὖθις αἰφνίδιοι προσοκείλαντες, τούς τε πολεμίους ἐτρέψαντο, καὶ δύο τῶν ἐπιθαλασσιδίων ἐκπορθήσαντες φρούρια, οἴνου τε ὡς πλείστου, καὶ ποταμίου τὰς ναῦς ἐμπλήσαντες ὕδατος, πνεύματός τε ἐπιφόρου τυχόντες ἐς Κύπρον ἀνήχθησαν. Ταῦτα δὴ συμπεσόντα, Ῥαϊμοῦνδον τὴν ἐς Βυζάντιον στείλασθαι ἠνάγκασαν. Ἀφικομένῳ δὲ οὐ πρότερον βασιλεὺς προσχεῖν ἠξίωσε, πρὶν ἐς τὸ τοῦ βασιλέως καὶ πατρὸς ἀπιὼν μνῆμα, ἐντεῦθεν δὴ τὴν συμπάθειαν ἐκομίσατο, καὶ λίζιον αὐτὸν λοιπὸν ἐποιήσατο. Ὑπὸ τοῦτον τὸν χρόνον, καὶ Εἰρήνην τὴν αὐτῷ οὔπω βασιλεῖ μνηστευθεῖσαν, βασιλεὺς ἠγάγετο κόρην, ἐς ῥῆγας μὲν ἀναφέρουσαν, ἠθῶν δὲ κοσμιότητι καὶ ψυχικαῖς ἀρεταῖς οὐδεμιᾶς ἐλάσσω τῶν τότε γεγεννημένων. λέγεται δή τι περὶ ταύτης τοιοῦτον. Ὁπηνίκα ἐς Βυζάντιον ἄρτι παρῄει, ἄλλαι τε τῶν ἐπ᾽ εὐγενείᾳ διαφερουσῶν ὑπήντων αὐτῇ, καὶ ἡ Ἀλεξίῳ βασιλεῖ ἥρμοστο, ἠμφίεστο δὲ ἐσθῆτα μὲν ἀπὸ βύσσου, τ᾽ ἄλλα δὲ ἐκ χρυσοῦ καὶ πορφύρας κεκόσμητο. Ἀλλὰ τὸ τῆς βύσσου κυαναυγὲς μελαμφόρον ταύτην ἐποίει, τῇ νεήλυδι καταφαίνεσθαι. ἀμέλει καὶ ἐπυνθάνετο τῶν παρόντων, ἥτις ποτὲ εἴη ἡ μονήρης αὕτη καὶ μεγαλοπρεπὴς λέγουσα. τοῦτο δὴ ξύμβολον τοῖς ἀκούουσιν οὐ μέντοι ἀγαθὸν ἔδοξε. καὶ τὸ τέλος οὐκ εἰς μακρὰν

A adverso navigantes æquore diebus decem tractum eum superant, & quandoquidem aquæ penuria premebantur, rursus ex inopinato appellunt. inde hostibus depulsis, maritimis duabus arcibus direptis, magna adhęc vini copia & fluvialis aquæ navibus impletis, ventũ nacti secundum, Cypro adlabuntur. His ita gestis, Byzatium proficisci Raimundum necessitudo adegit, nec prius venientẽ aditu est dignatus
B princeps, quam ad imperatoris Joannis monumentum profectus lessum ei fecit, & Manuelis in fidem & clientelam se in posterum dedidit. Sub idem fere tempus Eirenem, regum Germaniæ sanguine natam, moribus comtis ac virtutibus animi cum optimis contendentem, sibi vero despõsatam antequam rei Romanæ arbitrium apisceretur, Manuel conjugio accipit. Huic Byzantium, ut tradunt, venienti ob-
C viam effusæ sunt tum aliæ illustrissimæ matronæ, tum & Alexii quõdam conjux, induta byssina veste, ceterũ auro & purpura ornata. Sed ob colorem in byssino purpureum & nigricantem cum atrata novæ nuptę videretur, quęnam illa esset lugubri & magnifico habitu, percunctata tãdem circumstantes est. Omen id parum felix audientibus habebatur: nec multo post fors ita tulit. Princeps in Asię finibus ver-

ἠκολούθει.

ἠκολούθει. Βασιλέα δὲ ἡ τῆς Ἀσίας εἶχε A περιοχία, καὶ τὰ Βιθυνῶν ὅρια σκεπτόμενον, ὅπως ἂν μηκέτι ἐσβατὰ τῷ Περσῶν γένει τὰ τῇδε γένοιτο. Τῶν γὰρ ἐν τοῖς ἄνω χρόνοις τὰς τῶν βαρβάρων ἐπιτειχιζόντων ὁρμὰς, ἀμέλει περιορασθέντων εὐέφοδα Πέρσαις τὰ τῇδε ἐγένοντο. Ἀλλὰ τοῦτο μὲν χρόνοις ὕστερον φιλοτιμότατα πρὸς βασιλέως ἀνεπληρώθη, πλείους ἀνοικισαμένου πόλεις. Τότε δ' οὖν ἔγνω πολίχνην ἐν τοῖς οὕτω μελαγγείοις καλουμένοις ἀνεγεῖραι. Τοῦ μέντοι ἔργου προβαίνοντος B ἠγγέλει αὐτῷ, ὡς τῇ πρεσβυτάτῃ τῶν βασιλέως Ἰωάννου θυγατέρων, ἣν ὁ Καῖσαρ ἠγάγετο Ῥογέριος, νόσος ἐπιγενομένη ἄφυκτον ἀπογράφει τὸν κίνδυνον. εἰς ὅσον οὖν πέρατι δοῦναι τὸ ἔργον τῷ χώρῳ ἐνδιατρίψας, τῆς ἐπὶ Βυζάντιον εἴχετο. ἀλλὰ μεταξὺ τὸ χρεὼν ἐκείνην ἀπέπλησε. Γυνὴ μεγαλόφρων ἐν τοῖς μάλιστα καὶ πολὺ τὸ ἀῤῥενωπὸν ἔχουσα. Ἐγὼ δ' ἐνταῦθα τοῦ λόγου γενόμενος εἰς μνήμην ἦλθον τοῦ ἔργου τῆς γυναικὸς ταυτησί, ὃ καὶ εἰσέπειτα θαυμάζεσθαι ἄξιον. Φασὶ τὸν Καίσαρα Ῥογέριον τῇ C βασιλείᾳ καὶ αὐτὸν καὶ ἐκεῖνον ἐποφθαλμίσαντα τὸν χρόνον, ὁπηνίκα οὔπω μετὰ τὸ βασιλέως Ἰωάννου τελευτὴν ἡ Κωνσταντίνου τὸν νέον αὐτοκράτορα εἶχε, σωματοφύλακας ἑαυτῷ ἄλλους τε προσελέσθαι συχνοὺς, καὶ δὴ καὶ τινα Ἰταλιωτῶν γένους συμπατριώτην αὐτῷ τὸ πατρόθεν ὄντα σὺν τοῖς ἀμφ' αὐτὸν ἑταιρίσασθαι εἰς τετρακοσίους μάλιστα ἀγειρομένους. Ἦν δὲ ὁ Ἰταλιώτης γένει

A ſabatur, Bithyniæ ſimul intentus, ne qua Perſarum incurſionibus vexaretur. Nam barbari olim quidem ſua adverſum hoſtes propugnacula munitionibus firmaverant; poſtea vero iiſdem remiſsioribus, intuta omnia atque aditu facilia Perſis erant. donec ea temporibus ſubſecutis ſummo ſtudio reſtituta ab imperatore, plurimæ urbes inſtauratæ, &, quemadmodum tum ego cognovi, excitatum B in Melangiis oppidum. Quo procedente opere, adfertur natu maximam filiarum Ioannis, cui matrimonium cum Cæſare fuerat Rogerio, morbo implicitam inevitabile periculum incurrere. Itaque paullis per, ut defungeretur incepto, commoratus, dum Byzantium feſtinat, fato jam tum ceſsit magni animi & ſpiritus viriſis femina. cujus mihi hoc loco memoriam conlocare operæ fuit, dignæ enim vero, quæ & nos deinceps in ſe admi- C rationem convertat. Rogerium Cæſarem ferunt, mortuo Joanne & nondum novo ſuffecto principe, imperio inhiantem, ſatellites tum alios aſſumſiſſe plurimos, tum quendam Italici generis, conterraneum ſuum, conſuetudine autem familiæ in ſocietate adjuterum, qui numero ad ſummum quadringenti. Erat hic Italus majoribus inclu-

μὲν περιφανὴς καὶ ἐπίδοξος, Καπύης A δὲ πόλεως ἐξάρχων Ἰταλικῆς, πολυανθρωποτάτης ἄγαν καὶ εὐδαίμονος. Αἰτία δὲ αὐτῷ τῆς ἐν Βυζαντίῳ διατριβῆς αὕτη ἦν· ὅτι τῷ τηνικάδε Σικελίας τυραννῶν Ῥογέριος, οὗ πολὺν ἐν τοῖς ὄπισθεν ποιησόμεθα λόγον, ἐπειδὰν τὰς Ἰταλικὰς ἀναγράφοιμεν μάχας, ἐπὶ τὴν Καπύης λιχνευσάμενος ἀρχὴν, πολὺς ἐνέκειτο τῷ ἀνδρὶ πολεμῶν. ἐφ' οἷς οὗτος ἀπειρηκὼς, τὴν ἐς Βυζάντιον ἐστείλατο. Καίσαρι μὲν οὖν ταῦτα ἐπεράσετο. Ἡ δὲ σύνοικος B ἐπειδὴ μετὰ πολλὰς παραινέσεις ἰσχυρογνώμονα τοῦτον εὗρε, καὶ δεινῶς βασιλειῶντα, καὶ οὐδ' ἂν εἴ τι γένηται μεταθησόμενον τοῦ σκοποῦ, τοὺς τῶν κοινῶν ἐπιμελητὰς ὡς ἑαυτὴν μεταπεμψαμένη κοινοῦται τὸ πρᾶγμα. καὶ, ἢ, φησιν, αὐτοί μοι τὸν ἄνδρα παράδοτε, ἢ γοῦν μελήσει πάντως ὑμῖν τοῦ τὴν βασιλείαν ἀδελφῷ συντηρῆσαι τῷ ἐμῷ. ἡ μὲν ταῦτα εἶπεν. Οἱ δὲ τὸν Καίσαρα παντοδαπῶς ὑπελθόντες ἐπί τινα τῶν ἄγχου Βυζαντίου C προαστείων ἐξῆγον, χρείας δῆθεν τινὸς ἕνεκα. Ἐπειδή τε ἐπὶ τοῦ τόπου ἐγένοντο, αὐτὸν μὲν ἐνταῦθα διατρίβειν ἀφῆκαν. Οἱ δὲ ἐπὶ τὴν πόλιν ἦλθον. Ἡ μὲν δὴ Μαρία τοιάδε τις ἦν. Βασιλεὺς δὲ τοῦ πάθους ἀγγελθέντος αὐτῷ, τότε μὲν ἐς Βυζάντιον ἦλθε. Μετὰ δὲ τινὰ χρόνον ἐς τὴν ἐπὶ Ῥυνδακῷ αὐλισάμενος πεδιάδα, ἔνθα βασιλεῖ Ἰωάννῃ φρούριόν τι ἐκ κρηπῖδος ἀνῳκοδομήθη, ὃ Λοπάδιον

tis, celebri nomine, Capuæ civitatis in Italia potentissimæ & clarissimæ princeps. cui Byzantii commorandi caussa potissimum ex eo, quod Sicilię ea tempestate tyrannus Rogerius, de quo multa in tempore memorabimus, cum ad bella pervenerimus Italica, potiundæ urbis avidus, acri bello homini insisteret; quo affectus ille Byzantium contendit. His à Cæsare commissis, cum ubi conjunx post multas nequicquam admonitiones obstinatum & crudelem imperio, ac, nisi provideretur, propositi tenacem vidit; rerum communium Curatores ad se vocat, quæque facta erant prodens, *aut mihi*, inquit, *virum tradite, aut vobis curæ sit regnum hoc fratri servare meo.* Illi omnibus Cæsarem modis adorti, in propinquum tandem Byzantio suburbium. quasi ita res atque tempus moneret, demovent; simul præstitutum in locum venerant, ipso relicto urbem repetunt. Ejus ingenii indolisque Maria fuit. cujus intellecto casu, Byzantium advenit imperator. Interjecto deinde haud magno spacio, irruptionem in Asiam facere constituens; Rhyndacenos apud campos castra contulit, atque ubi castellum Joannes, quod Lo-

ὠνόμα-

ὠνόμασται τοῖς πολλοῖς, ἐνταῦθα τὸν στρατὸν ἤγειρεν, ἐς τὴν Περσικὴν ἐμβαλεῖν διανοούμενος. Πέρσαι γὰρ τὰς μεταξὺ Ῥωμαίων σπονδὰς παραλύσαντες, Πρακανὰν πόλιν Ἰσαυρικὴν ἐκπορθήσαντες εἷλον, καὶ πλεῖστα ἄλλα Ῥωμαίους προσεζημίωσαν. Ἐπειδὴ γοῦν ὡς ἄριστα παρεσκεύαστο ἤδη, ἄρας ἐκεῖθεν σπουδῇ ἐπὶ τὰ πρόσω ἐχώρει, κατὰ νοῦν ἔχων, ὡς ἂν ἀφυλάκτοις αὐτοῖς ἐξαπιναίως ἐπελθὼν ἡβηδὸν ἀπολέσειε. πλὴν ἀλλὰ τοῦ μὲν σκοποῦ οὐ πάντη διήμαρτεν. οὐ μὴν καὶ χεῖρας ἔχρησε τῇ μάχῃ ἐκείνῃ. ὡς γὰρ ὀξέως τὸν Μύσιον διαβὰς Ὄλυμπον. ἄχρι τε ἐς τὸν Πιθηκᾶν γεγονὼς· ἔνθα φρούριον αὐτὸς ἐδείματο καρτερὸν, νύκτωρ διὰ τῶν ταύτῃ ὀρῶν ἐπορεύετο, ἃ τῇ δὲ ἀποκρέμανται ὑψηλὰ, καὶ δεινῶς λάσια, ξυνέβαινεν ἐκ τῶν κατὰ τὰς λόχμας ἀναγομένων ἀτμῶν ἐμπιπλαμένου αὐτοῦ τῆς κεφαλῆς ἀθρόον κατενηνέχθη, ὡς μηκέτι μηδὲ ἀναστῆναι δύνασθαι. μέχρι μὲν οὖν καὶ περὶ μέσας νύκτας σχεδόν τι καὶ ἀνεπαισθήτως εἶχεν αὐτοῦ. Μετὰ δὲ ὀλίγον ἀνασφήλας εἶτα ῥάων ἐς τὴν ὑστεραίαν γεγονὼς, αὐτὸς μὲν ἡσυχῇ ἔμενε, μοῖραν δὲ τοῦ στρατεύματος ἀπολεξάμενος ἱκανὴν, ἅμα στρατηγοῖς ἐπὶ τὸ ἔργον διαφῆκεν. οἱ δὲ οὐκ ἐς μακρὸν δυνάμεσι περιπετυχηκότες ἐχθρῶν, ἐπειδὴ καθυπέρτεροι τῇ μάχῃ ἐγένοντο, λαφύρων τε μέγα τι περιεβάλοντο χρῆμα, καὶ σὺν τροπαίοις ἐκεῖθεν

A padium vocant nonnulli, è fundamentis exstruxerat, exercitum collegit. Persæ siquidem rupto fœdere Pracanam urbem Isauricam expugnaverant, & alia insuper incommoda Romanis intulerant. Itaque omnibus ad id bellum paratis, citatum agmen in ulteriora rapit, ut intutos neglectosque improviso adortus, omnes puberes internecione deleret. & secuta etiam fortuna est, etsi manum
B pugnæ non admoverit. Superato enim quam celerrime Mysiæ Olympo, ad Pythecam cum pervenisset, quo loco validam ipse arcem condiderat, nocte in montes flexit, in quis ubi confragosa editaque & hirsuta admodum loca permearet, crassi è lucis ascendentes vapores ita caput repente presserunt, ut erigere non posset, atque ad medium usque noctis sensu orbatus subsiste-
C re cogeretur. tum recreatus paululum, & die insequenti valetudinem integram adeptus, quietum se istic continuit, duces autem cum sufficientibus equitum peditumque copiis misit ad agros incursandos. qui statim hostibus obviam & prælio superiores facti, exercitum victorem, ac multiplici opulentum præda, ovantes reduxerunt. Dum hæc à principe aguntur, Persæ rebus omnibus

ἀνέστρεψαν.

ἀνέστρεψαν. Βασιλεὺς μὲν ταῦτα ἔπραττε. Πέρσαι δὲ ἐν τούτῳ συσκευασάμενοι στρατῷ μεγάλῳ τῇ Θρᾳκησίου ἐμβάλλουσι γῇ. Οὐδενός τε σφίσιν ἀντιστρατοπεδοῦντος. Θεόδωρος γὰρ ὁ Κοντοστέφανος ἐπίκλησις ἦν, τούτου δὴ ἕνεκα πρὸς βασιλέως πεμφθεὶς, οὔπω ἔφθη τὸν στρατὸν ἀγείρας τὴν δὲ καταλαβεῖν. ἄχρι καὶ ἐπί τι τῶν οὐκ ἀπὸ θαλάσσης χωρίων, ὃ Κελβιανὸν ὀνομάζεται, περινομεύοντες ἦλθον, λείαν τε ὡς πλείστην ἐπαγόμενοι ἀνεχώρησαν. Τούτων ἐπεὶ δὴ βασιλεὺς ἤκουσεν, οὐκέτι κατέχειν ἑαυτὸν οἷός τε ἐγένετο. Ταχὺ γοῦν συσκευασάμενος ὅλαις ὁρμαῖς τὴν ἐς Ἰκόνιον ἐφέρετο, γράμμασι περὶ τούτου τῷ Σουλτὰν μεμηνυκὼς πρότερον. Εἶχε δὲ τὰ γράμματα ὧδε. Εἰδέναι βουλόμεθά σε πράγμασιν ἐγχειρεῖν, ἃ τὴν ἡμετέραν κατὰ σοῦ διερεθίζουσιν ἔφοδον. Πρακανὰ γὰρ οὐδὲν σοι προσήκουσαν αὐτὸς ἀφελόμενος ἔχεις, καὶ πρός γε Ῥωμαίων ἔναγχος ἐπῆλθες τῇ γῇ. Σὺ δὲ καὶ Ἰαγουπασὰν ἀνδρὶ Ῥωμαίοις ὑποσπόνδῳ πλείστοις τε ἄλλοις τῶν τῇδε φυλάρχων οὐκ ἀνίεις τρόπῳ τινὶ πολεμῶν. Καίτοι ἔδει σε ἄνδρα ξυνετὸν ὄντα ἐκεῖνο κατανοεῖν, ὡς οὐκ ἄν ποτε Ῥωμαῖοι τοιάδε περιφρονούμενοι καταδέξαιντο ἄν, καὶ λελείψεταί σε πολυπλασίαν θεῷ τὴν ποινὴν ἀποδοῦναι. Ἢ τοίνυν ἀπόσχου τῶν παραλόγων, ἢ μὴν τῇ παρασκευῇ ἔσο, ὡς αὐτίκα Ῥωμαίους ὑποστησόμενος. Τὰ μὲν δὴ γράμματα ἐν τούτοις ἦσαν. Ὁ δὲ

A expeditis Thracesium magnis copiis irrumpunt; nemine eam vim arcente, (nam Theodorus cognomine Contostephanus propterea ab imperatore eo missus, exercitu comparato nondum advenerat) regionem haud procul à mari Celbianum dictam populabundi ineunt, ac graves inde secum trahentes prædas regrediuntur. Hæc postquam imperatori cognita, temperare ani-
B mo non potuit, quin confestim convelleret signa Iconiumque citatissimo agmine contenderet, scriptis primum ad Sultanum literis, quarum hæc erat sententia: *Scire te volumus, hanc adversus te expeditionem nostram molimina tua irritasse. Etenim Pracanam civitatem nihil ad te pertinentem, expugnatam tamen, occupas; in agrum nuper transiisti Romanum: Iagonpasanem quoque so-*
C *cium populi Romani & complures alios ibi phylarchos bello quoque modo lacessere non desinis. Illud autem virum te prudentem decebat cogitare; Romanos hanc rem non neglecturos, & futurum ut multiplicem Deo pœnam reddas. Proinde vel abstine ejusmodi iniquitatibus, vel ad sustinendos extemplo Romanos te prapara.* Literarum hoc fere argumentum. Quas simul ac ille traditas perlegisset, in hunc

πάντην

ταύτην αὐτῷ κομισθεῖσαν ἀναλεξάμενος τὴν ἐπιστολὴν, ἀμείβεται ὧδε· Ἐδεξάμεθά σου τὰ γράμματα, μέγιστε βασιλεῦ. καὶ δὴ καὶ παρεσκευάσμεθα ὥσπερ ἐκέλευες. Σὸν δ' ἂν εἴη λοιπὸν ἐπιταχύνειν τὴν ἄφιξιν, μηδὲ μακραῖς ἡμᾶς ἐνταῦθα διάγειν ἐπαγγελίαις. Τἄλλα δ' ὅπως ἔσται θεῷ καὶ ἡμῖν μελήσει. Χῶρος δ' ἡμῖν εἰς ξυντυχίαν Φιλομήλιον τὸ ἄστυ, οὗ δὴ ἐν τῷ παρόντι ἡμᾶς στρατοπεδεύεσθαι ξυμβαίνει. Τούτοις ὁ Σουλτὰν φορτικώτατα βασιλεῖ διαμεμψάμενος, ὁ μὲν αὐτοῦ που ἐν Φιλομηλίῳ, ἔνθα τὸ πρῶτον ἐνστρατοπεδευσάμενος ἔτυχε, σὺν τῷ πλείονι τοῦ Περσῶν ἔμενε στρατοῦ μοίρᾳ· ἥντινα τούτων ἀποτεμόμενος ὑπαντιάζειν Ῥωμαίοις ἐπιοῦσιν ἐξέπεμψεν. οἱ καὶ οὐκ εἰς μακρὰν ἄγχου πόλεως Ἀκρηνοῦ περί τινα χῶρον, ᾧ Καλογραίας βουνὸς ἡ κλῆσις ἐστὶ, βασιλεῖ γεγονότι συμμίξαντες, ἡττήθησάν τε κατὰ κράτος, καὶ φυγάδες ἐπὶ τὸν Σουλτὰν ἦλθον. Πολλοί τε ἄλλοι καὶ Χαιρὴς παρὰ Πέρσαις ὀνομαστὸς, Ῥωμαϊκῆς ἔργον ἐγένετο μαχαίρας. Ὁ δὲ τῷ συμπεσόντι καταπλαγεὶς τὴν ψυχὴν, οὐδ' ὅσον ἐνσκευάσασθαι, οὐδ' ὅσον κομίσασθαι τῶν πρὸς τὴν χρείαν τῷ χώρῳ ἐπιμείνας ᾤχετο φυγὰς ἐκεῖθεν ἀπιών. Ὁ δὲ πυθόμενος βασιλεὺς ἀμφοτέρων τε ἐπικερτομῆσαι αὐτὸν διανοηθεὶς, θράσους τε τοῦ πρότερον, καὶ δειλίας τῆς εἰσέπειτα τοῦ μετρίου πέραν γεγενημένου, ἐπέστειλεν αὐτῷ τοιάδε. — ἔδει μέν σε, ὦ γενναῖε, ἐπεὶ καλῶς εἰδότα, ὡς ὅσον αἰσχρὸν ἐστὶν

ὅσον;

A modum rescribere : *Literas tuas accepimus, imperator maxime, & jam res quoque nostras, sicuti mandastis, expedivimus. Reliquum tibi accelerare modo adventum, nec longis nos indictionibus morari. Relia' qui se habitura sunt, Deo mihique curæ erit. Locus vero congressui Philomelium esto. ibi in præsens castra locavimus.* Arrogantissimo hoc misso ad principem responso, Sultanus Philomelii, ubi castrameB tatus erat, cum maxima Persici exercitus parte manet. reliquos ad occurrendum adventantibus Romanis mittit. ii haud longo post prope Acranum civitatem in regione, cui tumulus Calogrææ nomen, imperatori se committunt, & prælio superati fuga effusa repetunt Sultanum : multi, quos inter & Cheres vir apud PerC sas celebris, armis Romanis oppressi obtruncatique. Ipse propter acceptam cladem confusus animo, nec ut reficeret se modo, aut rebus necessariis provideretur, persistere istoc in loco ausus, fugę specie discessit. Quo cognito princeps cum utrumque illi exprobrare objicereque vellet ; & quod audacię primo, & metus deinde excessisset terminos, literas ad eum in hanc fere sententiam dedit. -- *non decet te, o generose, scien-*

ἢ δειλία, τοσούτῳ μᾶλλον αἴσχιον γίνεται, ὁπηνίκα θράσος αὐτῆς προηγησάμενον τύχοι, μὴ οὕτως ἀνεπιστρόφως τοῦ ἐς τὸν πόλεμον ἔχειν. Ἐπεὶ δ' ὥσπερ παντάπασιν ἐπιλελησμένος λήμματός τε τοῦ προτέρου, ὧν τε ἔναγχος ἐς τὴν ἡμετέραν ἐπέστειλας βασιλείαν λόγον πεποιημένος οὐδένα, ἀποτρέχεις οὐκ οἶδα ὅπη, ἡμεῖς ἰδοὺ σοι τούτων ἀνάμνησιν φέρομεν. Εἰ μὴ τοίνυν ἐν Φιλομιλίῳ, ὥσπερ ἤδη φθάνεις, ἡμῖν ἐπηγγελμένος τὴν ἡμετέραν ἀναμένεις ἄφιξιν, λείπεται πάντως ὡς τὸ γενναῖον ἐκεῖνο καὶ μεγαλόψυχον σφόδρα δειλὸν καὶ ἀγεννὲς ἀντιπεριέστη σοι. Τὰ μὲν δὴ γράμματα ἐν τούτοις ἦσαν. Βασιλεὺς δὲ ἐν Φιλομιλίῳ γενόμενος, αὐτὸ μὲν κατὰ κράτος τε εἷλε καὶ ἐνέπρησεν ἅπαν. Ῥωμαίων δὲ τινας μακροῦ τοῦ χρόνου ἐνταῦθα ὑπὸ φρουραῖς καθειργμένους εὑρὼν, ἔλυσέ τε τῶν δεσμῶν τοὺς ἀθλίους, καὶ φῶς ὁρᾶν παρεῖχεν ἐλεύθερον. Πέρσαι γὰρ τὸ μὲν πρῶτον δυνάμει τῇ σφῶν θαῤῥεῖν ἔχοντες, ἄλλοθι γῆς βασιλέως ἐπιόντος μετοικίζειν αὐτοὺς οὐδαμῆ ἔγνωσαν. Ἐπεὶ δὲ τὸ δέος αὐτοὺς ἤπειγεν, οὐχ ὅπως αὐτῶν κατημέλουν, ἀλλὰ καὶ τὰ σφέτερα περὶ ἐλάσσονος ἔθεντο. Τῶν δὲ γραμμάτων ἀπενεχθέντων εἰς τὸν Σουλτὰν, εἴτε τὴν ἐντεῦθεν ἐπίπληξιν αἰδεσθεὶς, εἴτε καὶ ἄλλο τι ἐννοησάμενος ὀπίσω ἐχώρει. ἐπί τινά τε χῶρον ἀναδραμὼν ταχέως, Ἀνδραχμᾶν Περσικῶς ὠνομασμένον, ἐνταῦθα ἐστρατοπεδεύετο. Ταῦτα ἐπειδὴ βασιλεὺς ἤκουσε, παραυτίκα διεκόσμει τὸ στράτευ-

A *tem quanto per se turpem metum, tanto fieri turpiorem, ubi illum ferocia præcesßit, bellum adeo negligenter gerere. Quandoquidem vero, oblitus omnino prioris admonitionis scilicet, ne unum amplius de iis, quæ ad majestatem nuper nostram rescripsisti, verbum facis; nos quo evadas nescientes, ecce memoriam tibi omnium refricamus. Nisi jam itaque adventum nostrum sicuti nunciasti, Philomelii operiris,* B *enimvero necesse est, generositatem magnanimitatemque illam tuam degeneri timore elanguisse.* Ita se literæ habebant. Princeps Philomelium deinde vi capit & incendit: multos Romanos, qui custodiis ibi longo tempore detenti fuerant, solvit vinculis, & libero aëri restituit. Nam Persę freti primo viribus suis, atque alio terrarum principe abeunte, de transferendis captivis haud quaquam cogi- C tarunt. sed ubi accessit metus, non modo illos non curavere, verum & propria neglexerunt. Perlatis ad Sultanum literis, sive castigatione in pudorem versus, sive quid aliud agitans animo, retulit pedem, regionem Andrachmam vocatam Persis magnis itineribus petiit, ibique castra locavit. Quod postquam accepit imperator, extemplo adornare copias, civitatem Adria-

μα,

μα, πόλιν τε Ἀνδελανοῦ πόλιν ὑπερβάς, (διαβαίνει γὰρ καὶ ἐς αὐτὴν Λυκαονίαν τὸ ὄνομα τοῦτο,) ἔν τινι χώρῳ Γραῖται ὄνομα τὴν παρεμβολὴν ἐποιήσατο. Τῇ δ᾽ ὑστεραίᾳ, ἤδη γὰρ οὐ πόῤῥω ἀπεσκήνουν ἀμφοτέροις συνέβαινε τοῖς στρατεύμασι, ταξάμενος προσωτέρω ἐχώρει. Ἐπειδή τε ὁμόσε τοῖς Πέρσαις ἦλθε, ἔργου εἴχετο. Πέρσαι τοίνυν μηδὲ τὴν πρώτην Ῥωμαίους ὑποστάντες ἐς ὑπαγωγὴν ἔκλιναν. Οἱ δὲ κατὰ νώτου αὐτοῖς ἐφεπόμενοι, οὓς μὲν ἀνῄρουν, οὓς δὲ ἐζώγρουν. Ὁ δὲ Σουλτὰν οὐ πρότερον ἀνῆκε φεύγων, πρὶν ἢ τεταραγμένος ἐς Ἰκόνιον ἐλθὼν ἐντὸς τειχέων εἰσπεσεῖν, ἐπειδή τε ἤδη ἐν τῷ ἀσφαλεῖ καθειστήκει, βουλὴν βουλεύεται τοιάνδε. εἰ μὲν ἔνδοθι οὐ πάνυ τι ἐθάῤῥει, ὡς μὴ ἐνταῦθα κατακλείσας ἑαυτὸν ἀπρόϊτον πολιορκοῦσι Ῥωμαίοις ἐργάσηται. ἄλλως τε καὶ τὸ τοῦ πολέμου τέλος οὐκ εἰδώς, εἰς ὅ τι τύχης αὐτῷ περιστήσεται, ἐν στενῷ περισχεθῆναι ἀξύμφορον ᾤετο. Καὶ δὴ τὸ μὲν τοῦ στρατεύματος ἐπὶ φυλακῇ τῆς πόλεως ἔταξε. τὸ δ᾽ ἄλλο διχῇ διελών, τὸ μὲν κατὰ νώτου τῆς πόλεως ἐπὶ τοῦ κάταντος ἔστησεν, ὃ δὲ αὐτὸς ἔχων ἐν δεξιᾷ παρετάξετο, τῇ τοῦ ὄρους ὀχυρότητι μάλιστα πεποιθώς, ὃ μεταξὺ πόλεως Ἰκονίου καὶ τοῦ φρουρίου Καβάλας ὑπερτείνει. Πέρσαι μὲν οὖν ἐν τούτοις ἦσαν. Βασιλεὺς δὲ ἐπειδὴ πρὸς τῇ Καβάλᾳ ἤδη ἐγένετο, δαιμονίᾳ τινὶ κεκινημένος ὁρμῇ, τὴν ἐπὶ τὸν Σουλτὰν ἐσφάδαζεν ἰέναι. οὐκ ἔχων δ᾽ ἐκ τοῦ παραχρῆμα στοχάζεσθαι, ὅπῃ αὐτὸν ξυνέ-

ἐπειδὴ μηδὲν ἀνύτειν εἶχον, πάντη χῶρον ἔνθα ἐπὶ πλεῖστον ἐμπεπτωκότες ἦλθον, ἔρημόν τι καὶ δεινῶς ἄβατον ἔγνων, ὀπίσω ἐχώρουν. Ὁ δὲ τῷ ἐξαδέλφῳ περιτυχὼν Ἀνδρονίκῳ, οὗ πολλὴν ἐν τοῖς ἔμπροσθεν πεποιήμεθα λόγον, τὴν ἐπὶ τοὺς πολεμίους ἰόντι, καὶ αὐτῷ πολλὰ βιασάμενος τὸν ἵππον ἀφεῖται. ἐπιβὰς δὲ, αὐτὸν μὲν αὐτοῦ μένειν εἴασεν ἐπισκήψας ὃν εἴρηται ἀγρίμην, ὅσον οὐκ ἤδη κομισθησόμενον λαβεῖν, οὕτω τε σὺν αὐτῷ ἐπὶ τὴν μάχην ἐλθεῖν. Ὁ δὲ τὴν ἐπὶ τοὺς πολεμίους ἐφέρετο. Πέρσαις δὲ δίχα διῄρητο τὸ στράτευμα, καὶ τὸ μὲν πρόσθεν τὴν ἵππον ἐπαγόμενον πᾶσαν ἐχώρει, ὅση ἄνευ ἐπιστρωμάτων ἀγελαία τύποις εἵπετο. Τὸ λοιπὸν δὲ κατόπιν ἐπορεύετο Ῥωμαίους ἐπιόντας ὑποδεξάμενον. Ὡς δὲ οὐδεὶς οὐδαμῶς Ῥωμαίων ὑπεφαίνετο, θαρσήσαντες τοῦ λοιποῦ συνῄεσάν τε ἀλλήλοις, καὶ τὴν ἵππον ἄνετον ἥπερ εἴρηται φερομένην ἐφ' ἕνα χῶρον ξυνάγειν διενοοῦντο. Ἐπειδή τε βασιλέα μόνον ἐκ πάντων Ῥωμαίων ἀθωράκιστον ἐπ' αὐτοὺς ἰόντα κατενόησαν, ἀθρόοι λοιπὸν ἐπ' αὐτὸν ἐξεχέοντο, ἐκτείνοντές τε τὰ τόξα, καὶ ἀλλήλοις ἐγκελευόμενοι. Ὁ δὲ ἡρωϊκόν τινα καὶ ἀνδρείας πόρρω τρόπον ἀναλαβὼν, ἐπειδὴ κύκλωσίν τινα αὐτοῦ πρὸς τῶν πολεμίων γεγονέναι ἀδύνατον εἶναι κατενόει (χῶρος γάρ τις ἀμφιλαφὴς ἑκατέρου παρακείμενος μέρους, ἐκ ποδῶν εἰς τοῦτο αὐτοῖς καθειστήκει)

A ne in quam frequentes inciderant deserta atque invia præpediti, regrediebantur. Princeps Andronico patrueli, de quo multa in prioribus conlocavimus, in hostem contendenti obviam factus, equum invito extorquet, in eum insilit, & Andronicum exspectare ibi tantisper jubet, dum ferum illum jamjam adducendum nactus secum una in prælium contenderet. His dictis B magno impetu rapitur in hostem. Copias Persæ bifariam diviserunt: prior pars, quæ equitatum continebat sine strato liberis omnino equis utentem, præcedit; altera Romanos subeuntes exceptura sequitur. Ubi vero nemo apparet Romanorum, celsi & spe feroces coeunt in unum omnes, equitatumque qui libere, ut dixi, ferebatur, impeditum colligere unum in lo- C cum statuunt. simul autem imperatorem solum nec lorica armatum adventare cernunt, irruunt in ipsum universi, sagittas expedientes & sibi invicem accendentes animos. Sed ille Heroico ac plusquam virili modo objiciens se, posteaquam circumveniri haudquaquam posse advertit. (locus enim densis virgultis obsitus ab utroque latere inde eos prohibebat) contrahit certa-

τὴν

τὴν συμπλοκὴν ἀναδέχεται πλείστους αὐτῶν ἐπὶ στόμα κατενεγκὼν, τοὺς λοιποὺς εἰς φυγὴν βλέψαι ἠνάγκασεν. ὅτε καὶ τῶν τις βαρβάρων ἐκείνων τὴν βασιλέως οὐχ ὑπομείνας ἀκμὴν, ὕπτιός τε διὰ τοῦτο τῷ ἐδάφει προσερεισθεὶς, ἐπειδὴ προσωτέρω ἱππαζόμενον αὐτὸν κατενόει, βέλος ἀφεὶς ἄκρου τυγχάνει τοῦ ποδὸς ὄπισθεν, ἔνθα μετὰ τὴν σφυρὰν ἐπὶ πτέρναν ἡ φύσις ἀναχωροῦσα τὴν ἐξοχὴν ποιεῖται. καὶ ὁ μὲν καὶ δευτέραν πέμψειν ἠπείγετο. Βασιλεὺς δὲ προσπερίσας τὴν ὁρμὴν τῶν τριχῶν εἷλκε ζωγρίαν. Σὺν αὐτῷ δὲ τὸν ἐπὶ τὸ στρατόπεδον ἰὼν Ἀνδρονίκῳ συναντᾷ· ἤδη γὰρ τοῦ βασιλείου ἐνεχέντο αὐτοῦ ἵππου, ὀχησάμενος κατὰ Περσῶν καὶ αὐτὸς ἤλαυνε. Πολλά τε τῆς ἐπὶ τὰ πρόσω πορείας εἴργων, ἅτε παντάπασιν ἄνοπλον ὄντα καὶ αὐτόν, ἐπεὶ δὲ μὴ πείθειν εἶχε, (θαρσοῦς γὰρ καὶ οὗτος ἀπείρου διακεῖτο. καὶ ἔπνει τὰς μάχας, ἐπιεικῶς τὸ δόρυ χειρίσας καὶ τὴν ἀσπίδα, οἷς καὶ αὐτοῖς οὐχ ὡς ἰδίοις ἐχρῆτο, ἀλλά τινος τῶν ἀπὸ δόξης ἀφελόμενος ἔτυχεν) αὐτὸν μὲν ἀφῆκε προβαίνειν. Ὁ δὲ ὁδῷ προϊὼν, καὶ τοῖς λοιποῖς συνέμιξε τοῦ Ῥωμαίων στρατοῦ· πυθομένοις τε ὅπως αὐτοῦ τὰ κατὰ τὸν πόλεμον ἀπαντήσειε μόνῳ τῶν ἁπάντων ἐπὶ τοὺς βαρβάρους ἰόντι, περὶ μὲν τοῦ τῶν πολεμίων φόνου, οὓς καθάπερ εἴρηται ἀπεκλονῶν ἔτυχεν, ἀπήγγειλεν οὐδὲν, καυχήσεως ἀγεννοῦς ὑποψίαν προφυλαττόμενος· ἔργον γὰρ οὐχ ὑπ'

A men, multis eorum adversis obtruncatis de fuga cogitare ceteros adigit. Tum & barbarus quidam non ausus experiri vim virtutemque principis, eoque supinus solo imcumbens, ubi illum prætervectum videt, telo emisso extremitatem pedis à tergo percutit, ubi circa talos corpus desinit in calcem: & secundo quidem iterare ictum properasset, ni præ- B veniens imperator comprehensum crinibus hominem vivum cepisset. Inde ad castra cum illo revertens obvius Andronico fit, qui jam equo principis potitus & ipse petebat Persas. Multis autem verbis dehortatus ne ulterius inermis contenderet, postquam non persuadet, (namque ingenti confidentia impellebatur pugnamque spirabat, promtus hastam tractare ac par- C mam, quibus tum non propriis utebatur, sed acceptis ab aliquo præfectorum) proficiscentem in prælium dimisit. Ipse repetito itinere in exercitum rediit ac sciscitantibus de eventu belli, quod solus omnium gerere cum barbaris sustinuisset; de cæde hostium, quos, ut memoratum supra, profligaverat, declinans suspicionem vanæ gloriæ nihil quidem respondit.

ὄψιν ἐλθὸν τοῖς μὴ εὐμενῶς ἀκούειν ἐθέλουσιν ῥᾴδιον εἰς ἀνατροπὴν γίνεται. Τοῦ γε μὴν τραύματος ἐπιμελεῖσθαι αὐτίκα ἐκέλευεν, ὡς μὴ φλεγμήναντος ἀνήκεστόν τι ἐπισυμβῇ· ὅτε δὲ γέγονέ τι καὶ λόγου ἄξιον. Ἐπειδὴ γὰρ μὴ εἶχον ὅπως αὐτῷ χρήσωνται, τῶν στρατιωτῶν τις ἐγχειρίδιον ἑλκύσας, μέρος τῆς αὐτὸς αὐτοῦ σαρκὸς ἀφελέσθαι διενοήθη, ὡς ἂν ἔτι διάθερμον τῷ τραύματι προστεθεὶς, οὕτω τὴν φλεγμονὴν ἀποκρούσαιτο. Ἀλλὰ βασιλεὺς τῆς εὐνοίας τὸν ἄνδρα ἀποδεξάμενος, τοῦτο μὲν διεκώλυσε, τῶν δὲ τῆς ὁδοιπορίας κεκμηκότων ἵππων τινὸς τεμμάχιον τῆς σαρκὸς ἀφῃρεῖσθαι κελεύσας εὐθύωρον προσῆγε τῷ τραύματι. Ἐκεῖθεν τε μακρὸν κατατείνας δρόμον ἐπὶ μέσας πη τὰς νύκτας, ἐπὶ τὸ στρατόπεδον ἀφικνεῖται πρὸς ταῖς Μαιάνδρου ἐκβολαῖς ἱδρυμένον, ἔνθα πολύ τε καὶ ἄμετρον ὕδωρ ῥεῖ μὲν ἐκ τῶν κατὰ ὑπωρείαν πετρῶν, ὡς ἐκ μυρίων ἀναδιδόμενον στομάτων, τὸν δὲ παρακείμενον ἐμπελαγοῦν χῶρον ἐς λίμνην μὲν τὸ πρῶτον ξυνίσταται, ἑξῆς δὲ προϊὸν διώρυχά τε βαθεῖαν τέμνει, καὶ ποταμὸν ἐντεῦθεν ποιεῖ. Ἀνδρόνικος δὲ, καθάπερ εἴρηται, ἐπὶ πρόσθεν ἰὼν, ἄλλο μὲν ἔδρασεν οὐδὲν ἵππους δὲ συχνοὺς ὧν ἐπιβαίνοντες ἦσαν οἱ πρὸς βασιλέως ἀνῄρηνται ἐπὶ τὸ στρατόπεδον ἤλασε. Ταῦτα μὲν οὕτως ἐγένετο. Ὁ δὲ βασιλεὺς τὴν ἐπὶ τὸ Βυζάντιον ᾔει, ἐν Βιθυνίᾳ τε γεγονὼς, ἐνταῦθά πη τοὺς ἐκ Φιλομιλίου, καθάπερ εἴρηται,

A Nam quę subjecta oculis non sunt, apud parum benevolas aures, facile pro falsis excipiuntur. Curam autem vulneris haberi jubet, ne quidquam periculosius accideret intumescenti. Res tum evenit digna memoratu. Cum nihil ad manum esset remedii convenientis, miles aliquis accepto cultello, sua partem de carne præsecare intendit, ut ea calens adhuc applicata vulneri tumorem inhiberet. Sed B enim princeps delectatus ex amore hominis rem abnuere; ceterum mandare, ut equo ex iis uni, qui nimio cursu fatigati erant, frustum abscissum vulneri continuo imponeretur. Inde ad medias fere noctes productis itineribus, exercitum repetit ad Mæandri considentem ostia, ubi magna & immensa vis aquarum ex petris, quæ in montis radice, profluit; velut ex millenis effusa fontibus ac maC ris instar agros inundans circumjacentes, primo quasi lacu continetur, sed ulterius manans profundam scindit alveum, indeque in flumen diducitur. Andronicus interea in hostem, ut dicebamus, provectus, nihil quidem aliud, quam equos complures eorum, quos ciciderat princeps, in castra egit. Atque hæc ejusmodi. Byzantium rediens imperator cum in Bithyniā pervenisset, liberatis ex Philomelio

προίτε-

πρότερον, ἐξαῤῥυσθέντας ᾤκισε τῶν Ῥωμαίων, φροντιστήριον αὐτόθι τῶν ἱερῶν τινὸς ἀλλαξάμενος στρατιωτῶν, ἔνθα φρούριόν τι ἀνῳκοδόμησε, καὶ Πύλας αὐτὸ καλεῖν ὠνόμασεν. Ὑπὸ δὲ τὸν αὐτὸν χρόνον, Κοσμᾶς ὁ τοῖς ἐκκλησιαστικοῖς τὸ τηνικάδε ἐφεστὼς πραγμάτων, ἀνὴρ βίῳ καὶ λόγῳ κόσμιος, τοῦ θρόνου κατεπαύσθη ἐπ᾽ αἰτίᾳ τοιᾷδε. Ἦν τις ἀνὴρ μοναχικὴν ἐπανελόμενος πολιτείαν, ὄνομα Νήφων, παιδείας μὲν τῆς ἐγκυκλίου καὶ μαθημάτων τῶν ἐκτὸς οὐδὲ μέχρι πείρας ἐλθὼν, τοῖς ἱεροῖς δὲ λογίοις ἐκ παίδων ἑαυτὸν ἐπιδούς. Οὗτος ὁ Νήφων, Μιχαὴλ ἔτι ἀνδρὸς ἱεροῦ καὶ πολλὴν τὴν ἀρετὴν τὸν ἐκκλησιαστικὸν διέποντος θρόνον, δόξαν οὐχ ὑγιᾶ τε ἐς τὸ Χριστιανῶν δόγμα πολλοῖς περὶ ἑαυτοῦ δεδωκὼς, κρίσει τε συνοδικῇ διὰ τοῦτο ἀποψηφισθεὶς τόν τε πώγωνα ἀκαρῆ ἄχρι καὶ ἐπὶ σφυρὰ καθιείνοντα, καὶ εἱρκτῇ παρεδόθη. Ἐπεὶ δὲ Μιχαὴλ μὲν ἐκεῖνος ἐξ ἀνθρώπων ἤδη ἦν, Κοσμᾶς δὲ ἀντ᾽ αὐτοῦ τὸν θρόνον ἐκόσμει· αὐτίκα παῤῥησίαν αὖθις ὁ Νήφων ἀνελάμβανε μείζω. καὶ πολὺς ἐν συλλόγοις καὶ ἐν ἀγοραῖς ἦν, ἄλλο τε οὐδὲν ἔπραττεν ὅτι μὴ δόγμα ἑκάστοτε ἀνεκύκλει, τόν τε Ἑβραίων ἀποπροσεποιεῖτο θεόν. Καὶ τάγε τοιαῦτα ἐνεργολαβεῖν ἤθελεν. Ἐφίλει τε αὐτὸν ὑπερφυῶς ὁ Κοσμᾶς, καὶ ὁμιλητὴν ἐποίει τὸν ἄνθρωπον, τοῖς τε κατ᾽ αὐτοῦ τὸ πρότερον ἐπιψηφισμένοις

A quemadmodum supra retuli, Romanis sedes ibi dedit, sacellum operum exercitio sacrorum comparat, castello condito munit eique nomen indit Portarum. Sub idem tempus Cosmas patriarcha, vir ingenio & vita comtus, throno hanc ob caussam deturbatur. Monachus quidam Nephon nomine, in orbe disciplinarum & humanioribus scientiis non valde spectatus, sacris operam literis à puero dederat. B Hic ipse Nephon, Michaele viro sancto & insigni virtute rerum ecclesiasticarum arbitrium obtinente, pravas & doctrinæ Christianæ adversas opiniones suis sectatoribus tradidit: eoque & ob barbam intonsam atque ad talos usque demissam judicio communi damnatus & in vincula ductus est. Sed ubi mortuo Michaele successit in imperium Cosmas; conti- C nuo majorem quam ante Nephon adipisci libertatem, cœtibus aliisque conventibus frequens interesse, nihil aliud agere, nisi neglecto Ebræorum Deo suas renovare opiniones, atque in iis laborem suum & studium ponere. Amabat hominem supra modum Cosmas, eum in numerum adsciscebat domesticorum, & jam prius in illum decreta injustitiæ arguebat. Ab eo avertere cul-

ἀδικίαν ἐπεκάλει. Καίτοι καὶ τότε τὰ ὑπὲρ τοῦ ἀνθρώπου πρεσβευσάμενος μὲν, πικρότατα δ' ὅμως ἀποκρουσθείς, καὶ τῆς τε ἀρετῆς αὐτὸν ἐπεθείαζε, κἀκεῖνο τοῖς λόγοις προσετίθει, ὅτι δὴ ἐτύγχανε πολλῷ πρότερον τὴν ἐς τὸν ἀρχιερατικὸν θρόνον ἀνάβασιν ἤδη προαγγείλας αὐτῷ. Οὐκ ἤρεσκε ταῦτα τοὺς πολλούς, ὅθεν καὶ οἱ μὲν αὐτῶν ὅσοι δηλονότι ἐκήδοντο τοῦ Κοσμᾶ, προσιόντες ὑπὸ χολῆς τι δήποτε ἔφασκον, ὦ θεῖε ποιμὴν, λύκῳ πιστεύεις ἑαυτόν; ἢ οὐκ οἶδας ὡς ὑποβλέπεταί σε διὰ τοῦτο τὸ ποίμνιον; ἀπορράγηθι τῆς τοῦ λυμεῶνος ξυναυλίας. Ἀνδρὶ γὰρ ἀποβλήτῳ ξυνοικίζεσθαι, αὐτάρκης κατηγορία. Οἱ μὲν ταῦτα καὶ τοιαῦτα ἔλεγον. ὅσοις δὲ δι' ἀπεχθείας ὁ ἀρχιερεὺς ἦν ἀπεβοῶντο διαρρήδην. ἐπεκαλοῦντο τοὺς θεοῦ καὶ βασιλέως ὀφθαλμούς. Ὁ δὲ ἀλλὰ τῶν μὲν ὀλιγώρως εἶχε παντάπασι, τοῦ δὲ Νήφωνος ἀπρὶξ εἴχετο, οὐδ' ἂν εἴ τι καὶ γλύοιτο ἀποσπᾶσθαι ἤθελεν αὐτοῦ, ἀμέλει καὶ ἔλαθεν ἑαυτὸν τῇ λίαν ἁπλότητι ἐν οὐ μετρίοις ζημιωθείς, ἐπεὶ γοῦν ποτε, βασιλέως κελεύσαντος, εἱρκτῇ καὶ αὖθις διδόναι τὸν ἄνθρωπον, παρῆσαν οἱ τοῦτον ἀπάξοντες. τὸ μὲν πρῶτον μικροῦ καὶ εἰς ἀφασίαν ἐξεπεπτώκει, ἀναλεξάμενος δὲ ἑαυτὸν, πεζῇ τε μέχρι καὶ ἐπὶ τὸ αὔλιον τοῦ νεὼ παρελθὼν ἀποσπᾶν ἐπεχείρει τῶν ἀπαγόντων τὸν ἄνθρωπον, τῶν δὲ

A pam magno affectu nisus, licet acerbissime repulsus esset, hominem tamen propter virtutem ad cœlum laudibus extulit, eo magis, quod patriarchalis se potiturum sedis dudum ante prædixisset. Multos ea ægre habebant; adeo ut & proximi Cosmæ concitati ad iram, *Quid*, dixerint, *te lupo, divine pastor, committis? anne ignoras, ut aversetur te propter hoc grex tuus? Dirime exitiosam*
B *societatem. Satis enim per se magnum crimen est, projecto atque improbo cohabitare homini.* Hæc & similia illi. Quibus vero in odio patriarcha erat, & palam obtestabantur & Dei principisque invocabant oculos. Sed enim alios quidem omnes ille omnino negligere, Nephoni autem continuus adhærere, & si forte commissum quid esset, non ideo tamen ab illo divelli; postremo & non ani-
C madvertere, quanto per nimiam simplicitatem affectus damno esset, postquam aliquando, jubente principe ut in carcerem denuo conjiceretur, qui illum abducerent advenerant. Primo tum quidem pavore defixus & quid diceret incertus paullulum hærebat; sed recollecto animo, pedibus usque ad vestibulum templi sequens eripere virum è manibus abducentium nitebatur, at-

δὲ

δὲ οὐκ ἐνδιδόντων, ξυναπάγεσθαι τούτῳ τὴν ἐπὶ τὴν εἱρκτὴν ἤθελε. στάσις ἐντεῦθεν εἶχε τὴν ἐκκλησίαν, καὶ ὁ Κοσμᾶς ἐν αἰτίαις ἦν. οὐ πρότερόν τε τῶν ταραχῶν τούτων ἐλύετο, πρὶν ἂν βασιλέων ἐν Βυζαντίῳ γεγονότος, ἐτύγχανε γὰρ τοῖς πολεμίοις ἔτι πονούμενος ἔργοις. Ἔκπτωτος ἐγεγόνει τοῦ θρόνου τρόπῳ, ᾧπερ αὐτὸς ἐρῶν ἔρχομαι. τῶν γὰρ ἀρχιερέων ἰδίᾳ παραλαβὼν ἕκαστον, ἐπυνθάνετο ὅπως αὐτοῦ ἐς εὐσέβειαν ὁ Νήφων ἔχειν δοκεῖ. Τῶν δὲ ἑκάστου τὸ αὐτοῦ πεπεισμένον σὺν ἀληθείᾳ διαγορευόντος, τέλος καὶ ἐπὶ Κοσμᾶν τὴν πεῦσιν μετῆγε. καὶ ὃς αὐτίκα πολλὰ τοῦ Νήφωνος κατὰ τὸ εἰωθὸς ἐσχεδίαζε τὸν αἰνετήριον, εὐσεβῆ τε ἀπαρακαλύπτως αὐτὸν ἀποκαλῶν, καὶ ἐς ἀρετὴν ἀπαράμιλλον. τίθεται δὲ ταῦτα ἐπὶ βήματος. καὶ ὁ βασιλεὺς οὐκ ἔτι καθ᾽ ἕνα τοὺς ἀρχιερέας ἐπηρώτα, ἀλλὰ κοινῇ πάντων ἀνεπυνθάνετο, ὅπως περὶ Νήφωνος φρονοῦντες εἶεν. οἱ δὲ διαρρήδην ἀσεβῆ τὸν ἄνθρωπον ἀπεκάλουν. Οἱ μὲν οὖν οὕτω γνώμης εἶχον. Βασιλεὺς δὲ τὸν λόγον ἐπὶ Κοσμᾶν ἤδη μεταγαγών, σὺ δὲ ἀλλὰ τί φῇς, ὦ δέσποτα, περὶ τοῦ ἀνθρώπου φρονῶν εἴης; τοῦ δὲ σὺν ἁπλότητι ταὐτὰ καὶ πάλιν διενισταμένου, ἐπεβοᾶτο τὸ πλῆθος, καὶ μὲν αὐτὸν ἐπὶ τοῦ θρόνου ἥκιστα ἠξίουν. Ὁ μὲν οὖν διὰ ταῦτα ἐκ τοῦ μέσου λοιπὸν ἦν. Ἄνθρωπος

A que ubi non dederetur, una cum eo agi in carcerem volebat. Exin ad ſeditionem prolabi eccleſia & Coſmas ejus auctor eſſe, neque etiam prius comprimi, quam ſe Byzantium recepit princeps: nam in hunc uſque diem bellicis operibus occcupatus fuerat. Tum is throno excidit, eo, quem nunc promere aggredior, modo. Superiorum ſingulos ſacerdotum imperator conveniebat, percuncta- B tus, quam bene ſentire de religione Nephon ipſis videretur. Quibus ad interrogata, prout compertum erat, reſpondentibus, tandem & ipſe ſuper eo rogatus Coſmas, pro more multis ex tempore laudibus evehere Nephonem, pium illum propalam profiteri ac virtute inſuperabilem. Res tandem pro tribunali acta, & non ſingulos amplius ſacerdotes princeps, ſed commune eorum C quid de Nephone ſentirent interrogavit: illi omnes una voce impium eſſe hominem proclamarunt. Ita erga eum affecti erant. Converſus inde imperator ad Coſman, *Tu vero Domine*, inquit, *quid ſentis de homine?* Qui ubi eâdem ſimplicitate priora iterum aſſeveraret; conclamavit multitudo minimeque eum ſacra dignum ſede cenſuit. Ea propter tollitur de medio vir

πλὴν τοῦ ἀσφαλοῦς ὡς οἶμαί γε τ' ἄλλα πάντα πεπλουτηκὼς ἀγαθά. Βασιλεὺς δὲ ὀλίγῳ ὕστερον ἐπὶ Πέρσας καὶ πάλιν ἐχώρει. Ῥύνδακον δὲ καταλαβὼν ποταμὸν, ἐν παρασκευῇ ἐποιεῖτο, ὅπως Ἰκόνιόν τε ἐκπολιορκήσῃ, καὶ τὰ Πέργαμα καταδραμεῖται πάντα. Ἀλλ' οὔπω ἐντεῦθεν ἐκίνει τὸ στράτευμα, καὶ πρέσβεις ἀφίκοντο πρὸς τοῦ Σουλτὰν περὶ εἰρήνης ἐπεραιτήσωντες. Ἦρχε δὲ ταυτησὶ τῆς πρεσβείας ἀνὴρ μεγάλα παρὰ Πέρσαις δεδυνημένος, ὄνομα Σολυμᾶς, πολλῶν εἰς ἄγαν πολέμων ἔμπειρος, ἐκ πολλοῦ τῆς βασιλέως χειρὸς πειραθεὶς, ἐξότε, καθάπερ μοι δεδιήγηται, περὶ τὸν οὕτως Καλογραίας λεγόμενον βουνὸν, τῷ Ῥωμαίων συμμίξας στρατῷ, κατὰ κράτος ἡττήθη. Ἦν δὲ τῆς πρεσβείας ὁ νοῦς τοιοῦτος. Πρακάναν τε πόλιν ἀποδιδόασι βασιλεῖ, καὶ ὅσα ἄλλα Ῥωμαίους ἀφελόμενοι ἔφθασαν. οὕτω τε εἰρηνεύειν τὸ λοιπὸν Πέρσαις τε καὶ Ῥωμαίοις ἔσεσθαι ὡμολόγουν. Ἃ προσηκάμενος βασιλεὺς, τὸν πόλεμον λύσας ἐπὶ Βυζάντιον ἦλθεν. Ἐντεῦθεν τὰ ἐξ ἀρχῆς ἔσχε. Κελτοὶ γὰρ καὶ Γερμανοὶ, καὶ τὸ Γαλατῶν ἔθνος, καὶ ὅσα τὴν παλαιὰν ἀμφινέμονται Ῥώμην, Βρίττιοί τε καὶ Βρεττανοὶ καὶ ἅπαν ἁπλῶς τὸ ἑσπέριον ἐκεκίνητο κράτος. Λόγῳ μὲν τῷ προχείρῳ ὡς ἐξ ἐπὶ τὴν Ἀσίαν διαβήσονται Πέρσαις τε μαχησόμενοι τοῖς παρὰ πόδας, καὶ τὸν ἐν Παλαιστίνῃ καταληψόμενοι νεὼν, τόπους τε τοὺς ἱεροὺς ἱστορήσοντες· τῇ γε μὴν

A præter securitatem bonis omnibus aliis, uti ego quidem existimo, abunde instructus. Paullo post adversus Persas rursum movit imperator atque ad Rhyndacum cum pervenisset, parat se ad expugnandam Iconium, cujus omne pergamum incursionibus infestat. Necdum inde abduxerat copias, cum legati ab Sultano de pace acturi superveniunt. Caput legationis Solymas, magnæ ad Persas potentiæ
B vir & in armis exercitatissimus. qui sane plurimum exercitum affecerat imperatoris, quo tempore, ut supra scripsimus, ad tumulum Calograæ prælio decertans virtute militum superabatur. Erat autem sententia legatorum hujusmodi. Bracanam civitatem & quæ alia eripuerant Romanis, restituebant: ita in reliquum Romanos inter Persasque pax esset. Quibus acceptis condicionibus, solvit bel-
C lum princeps & Byzantium redit. Tum vero res extraneæ initium motuum fecere. Celtæ enim Germanique, & Galliæ populi, & qui veterem circumhabitant Romam, Brittii, Britanni, totusque adeo occidens, vires moverunt. Et prętextum quidem armorum fuit, transcendere in Asiam & cum obviis quibusvis Persarum dimicare, ad hoc templum in Palæstina, & loca ibi sacra lustrare oculis: ceterum

ἀληθείᾳ,

ἀληθείᾳ, ὡς τήν τε χώραν Ῥωμαίων A ἐξ ἐφόδου καθέξοντες, καὶ τὰ ἐν ποσὶ καταστρέψοντες. Ἦν δὲ αὐτοῖς ἡ στρατιὰ ἀριθμοῦ κρείσσων. Βασιλεὺς δὲ ἐπειδὴ ἄγχιστα τῶν Οὐννικῶν ὁρίων γεγονέναι πύθοιτο τούτους, πρέσβεις ἔστελλε, Δημήτριόν τέ τινα Μακρεμβολίτην, καὶ Ἀλέξανδρον ἄνδρα Ἰταλὸν μὲν τὸ γένος, Γραβίνης δὲ πόλεως Ἰταλικῆς Κόμητα γεγονότα· πρός τε τοῦ Σικελίας τυράννου ἅμα πλειόσιν ἄλλοις τῆς τε ἀρχῆς ἀποβιβασθέντα, καὶ βασιλεῖ διὰ τοῦτο αὐτόμολον γεγονότα. Ἐκέλευε δὲ τῆς B τε γνώμης ἀποπειράσασθαι σφῶν, καὶ εἴγε ἐπὶ τῷ πονήρῳ Ῥωμαίων ἥκουσιν, ὅρκοις τὸ πρᾶγμα βεβαιοῦν. Οἱ καὶ ἐπειδὴ ἐπὶ τοὺς τῶν βαρβάρων τούτων ἡγεμόνας ἦλθον, ἔλεξαν τάδε. Ἀκήρυκτον πόλεμον ἄγειν ἐπὶ τοὺς μηδὲν ἠδικηκότας, οὔτε ὅσιον, οὔτε ἄλλως εὐπρεπὲς ἀνθρώποις ἐστί· γένους γε περιφανείᾳ καὶ δυνάμεως περιουσίᾳ μάλιστα κεχρημένοις. νικῶντες γὰρ ἂν οὕτω τύχοι, οὐ σὺν ἀνδρείᾳ νικήσουσι, καὶ ἡσσώ- C μενοι οὐχ ὑπὲρ ἀρετῆς κινδυνεύσουσιν. ἄμφω δὲ οὐκ ἐπαινετά. Ὑμῖν δὲ οὐδὲ ἄλλως ἐξέσται γῆν τὴν Ῥωμαίων πατεῖν, μὴ πρότερον πίστεις περὶ τοῦ μηδὲν ἀδικήσειν δεδωκότας βασιλεῖ. Ὥστε εἰ μὴ ψευδορκεῖν μέλλοιτε, τί μὴ ἐν τῷ ἐμφανεῖ τὸν πόλεμον ἄγετε; εἰ δὲ καὶ σὺν ἐπιορκίᾳ τὸν καθ' αὐτῶν φέρετε πόλεμον, πολλῷ δὴ χαλεπώτερον· θεῷ γὰρ καὶ τῇ Ῥωμαίων ἰσχύϊ λείπεται ὑμᾶς. Εἰ δὲ καὶ ἀληθίζει τὸ φίλιον ἐν ὑμῖν, καὶ δόλος

vera caussa, ut in transitu regiones infestarent Romanas, quæque ante pedes essent omnia diriperent. Exercitus autem ipsorum numero præpollebat. quem finibus Hunnorum appropinquasse ubi cognoscit imperator, Demetrium quendam Macremboliten & Alexandrum genere Italum, Gavrinę urbis Italicæ aliquando comitem, sed à Siciliæ tyranno juxta alios multos imperio exutum, eoque ad imperatorem transfugam, legatos mittit cum mandatis, ut voluntatem eorum sciscitarentur, & si malo Romanorum non se advenisse dicerent, jurejurando adfirmarent fidem. Hi ad duces perducti barbarorum, in hunc modum verba fecerunt: *Bellum iis non indictum inferre, qui nullam injuriam fecerunt, omnibus in universum hominibus haud satis decorum, maxime illis, quîs nobilitatis & potentia abunde est. Si enim vicerint, id non virtuti illorum tribuetur; sin victi fuerint, non honesta pericula subiisse judicabuntur. Vtraque res illaudabilis. Vobis autem non aliter licebit transire terras Romanas, quam fide primum imperatori data, nihil vos injusti commissuros. Quod si non pejerare vultis, cur non propalam bellum geritis? sin illud cum perfidia etiam infertis, majus hercle contrahetur nefas: Deus enim Romanique admovebunt nocentibus*

οὐδεὶς

οὐδεὶς ἀποκάθηται, ὅρκοις τὸ πρᾶγμα βεβαιώσουσιν, ἐξέσται ὡς διὰ φιλίας τῆς βασιλέως μεγάλου ἰέναι γῆς ὑποδοχῆς τι ἀπολαύοντας εἰς τὸ εἰκὸς καὶ φιλοφροσύνης τῆς ἄλλης. Οἱ πρέσβεις μὲν τοσαῦτα εἶπον. οἱ δὲ συνήεσαν γὰρ ἐς ταὐτὸν περὶ τὴν Κορράδου τοῦ Ἀλαμαννῶν ῥηγὸς σκηνήν. ἅτε τὰ πρεσβεῖα τῶν ἀνὰ τὴν ἑσπερίαν λῆξιν λαχόντος ἐθνῶν, ἐπὶ κακῷ μὲν τῶν Ῥωμαίων ἥκειν οὐδαμῇ ἔφασκον, κἂν δεήσοι καὶ ὅρκοις τὸ πρᾶγμα πιστοῦσθαι, ἑτοιμότατα καὶ τοῦτο ποιήσειν διετείνοντο. Ἐπὶ δὲ Παλαιστίνην αὐτοῖς ὁρᾶν τὴν ὁρμήν, καὶ τοὺς τὴν Ἀσίαν ληϊζομένους Πέρσας. Δόξαν οὕτω Ῥωμαίοις, καὶ εἰς ἔργον τοὺς λόγους ἐξῆγον, ὅσοι τε ἐς τοὺς ῥῆγας, καὶ ὅσοι ἄλλως ἐπίδοξοι τῶν ἐν αὐτοῖς ἦσαν δουκῶν. φημὶ καὶ κομήτων. διαφέρουσι δὲ ταῦτα ἀρχαὶ καὶ οἷον τινες διαιρέσεις ἐκ τοῦ τῆς βασιλείας καθιέμεναι ὕψους γενναιοτάτου ὄντος καὶ ὑπερκειμένου τῶν ἄλλων πραγμάτων. Κόμητα μὲν γὰρ δοὺξ ὑπερσυναβέβηκε, δοῦκα δὲ αὖ ῥήξ, καὶ ῥῆγα βασιλεύς. καὶ ὑπείκει τὸ καταδεέστερον ἀεὶ φύσει τῷ ἐπέκεινα πολεμοῦντι συνδιαφέρει τούτῳ. καὶ πείθεται τάγε τοιαῦτα. διὸ καὶ βασιλέα μὲν ἰμπεράτορα καλεῖν ἔθος Λατίνοις ἐστὶ τὸν ὑπὲρ ἐπέκεινα αἰνιττομένοις. Ῥῆγας δὲ τοὺς δευτέρας εἰλήχασι τάξεως. ἀλλὰ ταῦτα μὲν οὕτω διῃρήσθω. Τελεσθέντων δὲ τοῖς πρέσβεσιν ὧν ἕνεκα παρὰ

A *manus. At si vera est amicitia vestra & nullo fucata dolo; eam jurejurando obstringentibus non modo integrum erit iter per ditiones facere magni imperatoris, verum & hospitiis, ut adsolet, atque alia quavis benignitate adjuvabimini.* Hęc legati. Illi autem omnes convenere tum in tabernaculum Conradi regis Alamannorum; ubi seniores occidentalium nationum neutiquam se advenisse dicebant ut Romanis B incommodarent; si res ita posceret, adjuraturos in hęc, seque id libentissime facturos adserebant: ceterum bellum suum Palæstinam respicere & latrocinia agitantes in Asia Persas. Hoc decretum simul exposuerunt, simulque jusjurandum dederunt quotquot regia aut alia dignitate, ducum dico & comitum, inter illos illustres erant. Secernuntur enim eæ dignitates & cum distinctione quadam descen- C dunt imperatorio à fastigio, velut nobilissimo & alia omnia præminente. Comitem namque dux superat, ducem rex, imperator regem; & natura minor potiori subjacet, & belli cum eo sustinet onera, cumque facilius patitur, quod Latini principem, supremam ejus potestatem significantes, imperatorem vocare solent; reges autem, qui secundum sortiti essent ordinem. Sed hæc ita illis distincta sunto. Rebus

τοὺς

τοὺς βαρβάρους ἦλθον, αὐτοὶ μὲν ἐς Βυζάντιον ἀπεκομίσθησαν. Οἱ ῥῆγες δὲ ὁδοῦ τὸ λοιπὸν εἴχοντο. οὐ μέντοι ἀλλήλοις ἀνεμίγνυντο τὰ στρατεύματα, ἀλλ' ὁ μὲν Ἀλαμανὸς πρότερος, πολλῷ δὲ κατόπιν ὁ Γερμανὸς ἐπορεύετο, οὐκ οἶδα ὅτου ἕνεκα τοῦτο ἐπιτηδεύοντες. εἴτε καὶ καθ' ἑαυτὸν ἑκάτερος ἀξιόμαχος εἶναι φιλοτιμούμενος, εἴτε καὶ τὰ ἐπιτήδεια μὴ ἐπιλιπεῖν σφᾶς προνοούμενοι. Ἦσαν δὲ ὅμως ἀνάριθμοι καὶ ὑπὲρ τὴν θάλασσαν ψάμμον. οὐ τόσαις ὁ Ξέρξης ἐκαλλωπίσατο μυριάσιν, ὁπότε ναυσὶ τὸν Ἑλλήσποντον ἐζεύγνυ. Ἐπειδὴ γὰρ πρὸς τῷ Ἴστρῳ γεγόνασιν, ἐνταῦθα εὐτρεπῆ τὰ πρὸς τὴν διάβασιν ὁ βασιλεὺς αὐτοῖς καθιστὰς, ἐκέλευε τῶν ὑπογραμματέων τοὺς πλείστους, ἐπὶ θάτερα τοῦ ποταμοῦ ἑστηκότας τὸν ἑκάστης φόρτον ἀπογεγράφθαι νεώς. ἐς ἐννενήκοντα τοίνυν ἀριθμησάμενοι μυριάδας, τὸ ἐντεῦθεν οὐχ' οἷόν τε ἀριθμεῖν ἐγένοντο. Τὸ μὲν δὴ πλῆθος τοσοῦτον αὐτοῖς ἦν. Ἀγχοῦ δὲ πόλεως Ναισοῦ γεγόνασι. ὁ τὴν τῆς χώρας πρὸς βασιλέως ἐμπεπιστευμένος ἀρχὴν, Μιχαὴλ ἐπώνυμον Βρανᾶν, προὐνοεῖτο ἤδη τῶν ἀναγκαίων αὐτοῖς, οὕτω προστεταγμένον αὐτῷ. Μέχρι μὲν οὖν καὶ ἐπὶ Σαρδικῆς ἐν τούτοις ἦσαν, ἔνθα καὶ ἄνδρε δύο τῶν ἐπὶ δόξης ἠλθέτην παρ' αὐτοὺς, δεξιωσαμένω τε τὰ εἰκότα, καὶ τὰ ἀναγκαῖα σφίσιν ἐμπορευσομένω. Ἦν μὲν ὁ αὐτῶν Μιχαὴλ Σεβαστὸς ἐκ Πα-

A expeditis, quarum ergo ad barbaros iverant legati, Byzantium redeunt: iter autem reges ingrediuntur, exercitibus non conjunctis. Agmen namque præcedebat Alamannorum, ſpatio intermiſſo Germani ſubſequebantur; quam ob cauſſam ignoro. ſive quod utrumque exercitum bello & aciei per ſe parem crederent, ſive ab inopia cibariorum ne laboraretur providerent. Ibant multitudine innumera

B & arenam maris excedente. Non tot millibus gloriari Xerxes potuit, cum Helleſpontum navibus jungeret. Ad Iſtrũ ubi perveniſſent, quæ ad tranſmittendas copias utilia erant ſuppeditat imperator, ac ſcribis mandat compluribus, ut in adverſa fluminis ripa ſtantes annotarent cujuſque onus navigii: illi ad nonaginta cum millia numeraſſẽt, ulterius deinde progredi computando non potuere. Tanta illis mi-

C litum vis. Neſſum urbem accedentibus, cui à principe commiſſa pręfectura regionis erat, Michael cognomento Branas, quemadmodum imperatum, omnia neceſſaria ſubminiſtrat. Poſtquam ad Sardicam ventum, acceſſere ad eos duo clari nominis viri, ut & dextras ſecundum morem jungerent, & commeatum pariter reſque alias neceſſarias venderent. Alter horum Michael

λαιολόγων, ἀνὴρ ἱκανῶς συνετὸς καὶ A πραγμάτων πολλῶν ἔμπειρος, ὃς βασιλεῖ Ἰωάννῃ οὐκ οἶδ' ὅτι προσκεκρουκὼς πρότερον, ὑπερόριός τι διὰ τοῦτο γεγονὼς πρὸς βασιλέως ἀνεκαλεῖτο Μανουήλ. Εὔνους τε αὐτῷ καὶ τοῖς Ῥωμαίων μάλιστα ἐγένετο πράγμασιν. ὁ μὲν δὴ τοιοῦτος ἦν. ἅτερος δὲ Χαρτουλάριος μὲν ἀμφοτέροιν ἐχρημάτιζε τοῖν βασιλέοιν. Τοσούτῳ γε μὴν Ἰωάννῃ βασιλεῖ εὐνούστατος γέγονεν, ὡς ὁπότε Ἀλεξίῳ τῷ πρεσβυτάτῳ τῶν υἱέων ἐξ ἀνθρώπων B γεγενῆσθαι ξυνέβη, ἐνσκῆψαι οἱ τὸν βασιλέα μετὰ τελευτὴν τὴν αὑτοῦ τὸν Μανουὴλ ἐπὶ τὰ σκῆπτρα καλέσαι, καὶ τὴν βασιλείαν ἐγχειρεῖν. Οἱ μὲν τούτων ἕνεκα ἐπὶ τὴν Σαρδικὴν ἦλθον. Οἱ δὲ βάρβαροι μέχρι μὲν ἐν δυσχωρίαις ἦσαν, (πολλὰ γὰρ ἐκ τοῦ ποταμοῦ Ἴστρου, ἄχρι καὶ ἐπὶ Σαρδικὴν, ὄρη ἀνέχει ὑψηλὰ καὶ δεινῶς ἄβατα) σιγῇ τε ἐπορεύοντο, καὶ οὐδὲν ὅτι Ῥωμαίοις οὐ κατὰ γνώμην ἐποίουν. Ἐπειδὲ ταῖς πεδιάσιν ἤδη ὡμίλουν, C αἳ πολλαὶ τὰ δυσπρόσοδα τῶν κατὰ τὴν Δαδικὴν διαδέχονται χωρίων, παραφαίνειν λοιπὸν τὸ δυσμενὲς ἤρξαντο. τοῖς δὲ κατ' ἐμπορίαν τὰ ὤνια σφίσιν ἀποδιδοῦσι χεῖρας ἐπέβαλον ἄδικον, κἄν τις ἀντισχυρίσαιτο πρὸς τὴν ἁρπαγὴν, τοῦτον ἤδη ῥομφαίας ἔργον ἐτίθεσαν. Ὅτι δὴ ῥὴξ Κορράδος ἀνεπιστρέφως πάντη τῶν γινομένων εἶχε, καὶ τοῖς ἐπικαλοῦσιν, ἢ οὐδὲ προσεῖ-

Sebastus ex Palæologis, insignis ingenio & experientia, quem Joannes imperator, nescio quod ob crimen offensus, egerat in exilium; sed à Manuele revocatus, addictus principi reique Romanæ erat. Talis is quidem. Alter Chartularius, qui operam utrique impendit principi: tam autem Joanni fidus fuit, ut, Alexio natu maximo filiorum rebus exemto humanis, mandaverit ei princeps, ut post excessum suum Manueli ad imperium vocato rem Romanam committeret. Hunc illi in finem Sardicam petivere. Sed enim barbari locorum difficultatibus impliciti (nam multi Istrum flumen & Sardicam prærupti ac prope inaccessi montes interjacent) quiete proficiscebantur, & nihil non ex voto faciebant Romanorum. Postquam vero in loca plana descenderunt, quæ regionum circa Dadicam difficultates excipiunt; tum demum inimicitias palam prodere, res venales offerentibus injicere injustas manus, si quis ad raptum obnitebatur, eum framea transfigere. ipse rex Conradus in delicta militum nihil omnino animadvertere, querentibus de injuria aut non auscultare, aut, si

χεν

χεῖν ὅλως, ἢ καὶ προχωρῶν τῇ τοῦ πλή- A θους ἀλογιστίᾳ τὸ πᾶν ἀπεγράφετο. Τούτων βασιλεὺς ἀκηκοὼς, στράτευμα ᾗ τάχους εἶχεν ἅμα Προσοὺχ ἀνδρὶ ἐμπειρομάχῳ κατ' αὐτῶν ἔπεμψεν. ὃς καὶ ἐπειδὴ περὶ πόλιν Ἀδριανοῦ τούτοις συνέμιξε, μέχρι μὲν τινὸς ἀπὸ διαστάσεως εἵπετο, τὰς ἀτάκτους τοῦ πλήθους ἀνασειράζων ὁρμάς. ὡς δὲ καὶ ἐπὶ μᾶλλον θρασυνομένους αὐτοὺς ἑώρα, καὶ πολεμίας ἤδη ἐν τῷ ἐμφανεῖ συνέμιξε χεῖρας ἀπ' αἰτίας τοιᾶσδε. Τῶν τι- B να ἐπισημοτέρων Ἀλαμανῶν μαλακισθέντα τὸ σῶμα σεμνεῖόν τι εἶχε τῶν ἀνὰ τὴν πόλιν Ἀδριανοῦ, σύν τε χρήμασι καὶ ἀποσκευῇ τῇ πάσῃ· ὃ φωράσαντες τινὲς Ῥωμαίων τῶν ἐκ πεζικῶν καταλόγων, πῦρ τε τῇ καταγωγῇ ὑφῆψαν, καὶ τὸν ἄνθρωπον οὕτω προσαπολέσαντες, τὰ χρήματα ἔσχον. ὡς οὖν εἰς ἀκοὰς Φρεδερίκῳ τὸ γεγονὸς ἦλθε, τῷ Κορράδου ἀδελφιδῷ, ἀνδρὶ ὑπ' ἀσυμμέτρου αὐθαδείας, τήν τε ὁρμὴν C ἀκαθέκτῳ, καὶ ἐπιεικῶς φρονηματίᾳ, σπουδῇ παλίνορσος ἐπὶ τὴν Ἀδριανοῦ ἦλθε. καίτοι δυοῖν ἡμέραιν ὁδὸν Κορράδου προαπιὼν, πυρί τε τὸ σεμνεῖον φλέξας, οὗ δὴ ὁ Ἀλαμανὸς κατέλυε πρότερον, ταύτην πολέμου πρόφασιν Ῥωμαίοις τε καὶ αὐτοῖς ἐντεῦθεν ξυνεπορίσατο. Ὁ γάρ τοι Προσοὺχ εἰς χεῖρας διὰ τοῦτο Φρεδερίκῳ ἐλθὼν, ἐτρέψατο αὐτὸν, καὶ φό-

A auscultaret, imperitiæ id omne multitudinis adscribere. Ea postquam ad imperatorem fama pertulit, Prusuchum exercitum militia virum cum raptim facto agmine adversus eos mittit; qui juxta Adrianopolin barbaros assecutus, medio sequitur intervallo, vagas & inordinatas multitudinis excursiones tantum reprimens: ubi vero videt eos supra modum feroces, in aper- B to etiam signa confert, tali occasione. Ex illustrioribus quidam Alamannis corpore affecto Adrianopoli se in monasterium condiderat cum pecuniis omnique alio apparatu: id Romani aliquot milites ex pedestribus numeris odorati, domicilium ipsumque adeo ægrotum igne subdito cremant, & pecuniæ potiuntur. Quod ubi factum accepit Fredericus Conradi fratrue- C lis, homo immoderate arrogans, impetu vehemens impotensque & elato admodum animo, Adrianopolin propere revertit, duorum itinere dierum Conrado prælatus, monasterium, ubi primum diverterat Alamannus, incendit, eamque belli occasionem Romanis simul ac suis imposuit. Iccirco Prusuchus consertis cum Frederico manibus, & ipsum avertit, & cædem in-

νον πολὺν βαρβάρων εἴργασο. Ἦν δὲ Φεδερίχος οὗτος ὁ μετὰ Κορράδον Ἀλαμανῶν ἄρξας, ἐξ αἰτίας, ἣ ἐν τοῖς εἰσέπειτα λελέξεται λόγοις. Ἐντεῦθεν τῆς πρὶν πείρας Ἀλαμανοὶ καθυφῆκαν ἀλαζονείας, ἔργῳ τὴν Ῥωμαίων διδαχθέντες ἰσχύν. Ταῦτα μὲν οὖν τῇδε ἐπεράσσετο. Ἀνδρόνικος δὲ, ὃν καὶ Ὦπον ἐκάλουν, ἐκ βασιλέως τούτων δὴ ἕνεκα πεμφθεὶς, τῶν τε ὅρκων ἀνεμίμνησκε σφᾶς, καὶ ἃ περὶ τοῦ μηδὲν ἀδικήσειν Ῥωμαίους διωμολογήκασι πρότερον συχνὰ προφέρων, ὠνείδιζέ τε τὴν ἀπιστίαν αὐτοῖς· καὶ εἴγε μὴ εἰς περίπτον κακὸν ἐμπεσεῖσθαι βουλομένοις εἴη, ἐπὶ τὸν Ἀβύδου ξυνεβούλευε πορθμὸν ἰέναι, κἀκεῖθεν αὐτίκα περαιωσομένους. Ἀλλ' Ἀνδρόνικος μὲν ταῦτα εἰπὼν μὴ πείθειν εἶχε, ἄπρακτος εἰς Βυζάντιον ἀνεχώρει. Οἱ δὲ εἰς βουλὴν συνελθόντες περὶ τῶν ἐν χερσὶ πραγμάτων ἐσκέπτοντο. Δόξαν δὲ τῆς ἐπὶ Βυζάντιον ἔχεσθαι ἄραντες, ἐκεῖθεν ὁδῷ προῄεσαν. Οὐδέν τε ἧσσον αὖθις ἐκεῖνοι καὶ μετὰ τὴν πληγὴν ἦσαν οἱ πρὶν ἀλαζόνος. Τά τε γὰρ βοσκήματα συνέκοπτον ἀφειδῶς, καὶ Ῥωμαίων δὲ τῶν ἀνθισταμένων πολλοὺς ἔκτειναν, ἥ τε μάχη οὐκέτι λοιπὸν ἐκ τοῦ ἀφανοῦς συνίστατο. Ταῦτα ἐπειδὴ βασιλεὺς ἤκουσε, δεῖν ἔγνω παρασκευάσασθαι καὶ αὐτός. Πόλιν μὲν οὖν τὴν Κωνσταντίνου αὐτίκα στρατόπεδα ἐφρούρει, τὰ μὲν πρὸ τῶν τει-

gentem edidit barbarorum. Erat autem hic ipſe Fredericus, qui poſt Conradum imperitavit Alamannis; cujus ſucceſſionis occaſio in ſequentibus tradetur. Edocti inde re ipſa vires Romanas Alamanni, tumorem illum primum nonnihil remiſere. Cum hæc apud illos agebantur, Andronicus, quem & Opum appellabant, miſſus propterea à principe, jusjurandum in memoriam iis reduxit, quæque pactis de non offendendis Romanis ſanciverant, ſæpius objiciens, perfidiam multis probris increpuit; ac ni damnum incurrere manifeſtum vellent, hortabatur, Abydenum peterent fretum, ibique copias tranſportarent. Sed ea ubi nequicquam monuiſſet Andronicus, Byzantium infecto negotio redit. Vocati autem ad concilium barbari, de rebus agendis conſultare: factoque Byzantium eundi decreto, motis inde caſtris diſcedere. Nihil animi eorum aut priſtina arrogantia per cladem diminuta eſt; nihilo ſegnius pecora trucidarunt, & arcentes vim eam obtruncavere Romanos; neque jam inde in occulto amplius certamina contrahebantur. Quę poſtquam comperta principi, neceſſarium utique duxit apparare & ipſum copias. Itaque milite & ſtationibus Conſtantinopolin ex-

χέων

χέων αὐλιζόμενα, τὰ δὲ καὶ πύργων ἔνδοθι διατριβὴν ἔχοντα. Βασίλειον δέ, ὃν καὶ Τζικανδύλην ἐπεκάλουν, πολλοῖς ἐς τὰ πρὸς ἀνίσχοντα ἥλιον ἀγῶσι, καὶ μάχαις κατὰ βαρβάρων εὐδοκιμηκότα τῶν τῆδε Κωνσταντίνῳ, ἅμα τῷ Προσούχ, οὗπερ ἤδη ἐμνήσθην, Πέρσῃ μὲν τὸ γένος, τροφῆς δὲ καὶ παιδείας μεταλαχόντι Ῥωμαϊκῆς, ἐπί τινα χῶρον, ᾧ Λόγγοι ὄνομα, ἅμα στρατεύμασιν ἐλλοχήσαντας ἔστειλεν, ἐπισκήψας αὐτοῖς ἐπειδὰν χειρῶν ἀδίκων, καὶ πάλιν κατάρχειν πειρῶνται Ἀλαμανοὶ ἀντεπεξιέναι σφίσι κατὰ τὸ ἐγχωροῦν. Οἱ καὶ ἐπειδὴ περὶ τῷ χώρῳ ἐγένοντο, τήν τε Ἀλαμανῶν κατενόουν πληθὺν· καὶ ὅπως ποτὲ τάξεως ἢ ἀταξίας τὰ στρατεύματα τούτοις ἔχοι ἐπιμελέστατα διεσκοποῦντο. Τά γε γοῦν σώματα αὐτοῖς μεγάλα τε ὑπερφυῶς καὶ τεθωρακισμένα ἐς τὸ ἀκριβὲς κατενόουν. καὶ τὴν ἵππον δὲ ἥκιστα δρομικὴν οὖσαν, ἔτι τε ἀταξίᾳ πολλῇ ἐς ὁδὸν κεχρημένους ἰδόντες· εὐχείρωτόν τε Ῥωμαίοις τὴν στρατιὰν αὐτοῖς ἔσεσθαι ὑπειλήφασι σὺν ἐπιστήμῃ συμπλεκομένοις. Καὶ ἐπὶ βασιλέα πέμψαντες ταῦτά τε ἐδήλουν καὶ ἀνεπυνθάνοντο τοῦ πρακτέου. Ὁ δὲ τὸ τῶν βαρβάρων καὶ ἔτι εὐλαβούμενος πρόσχημα, φημὶ δὴ τὴν ἐπὶ Παλαιστίνην ἐνθένδε πορείαν, ὤκνει διὰ τοῦτο τὴν ἐπιχείρησιν,

A templo firmat; alias pro mœnibus excubare, alias custodire portas jubet. Basilium autem, Tzicandulem cognomine, militaribus in Oriente factis & adversus barbaros prœliis omnium tota urbe clarissimum, cum Prusucho, cujus modo memini, Persa quidem genus, ceterum educatione & institutis uso Romanis, in regionem, cui nomen Longi, dato exercitu occulto mittit, im- B peratque, ut si iterum lacessendo casum pugnæ præberent Alamanni, iis, prout ratio loci posceret, resisterent. Illi ut eo venerunt atque Alamannorum advertere multitudinem; ordinatone an confuso agmine procederent, diligentissime explorant. Corpora quidem ipsorum supra modum procera vident & armata perinde, equitatum minime velocem, omnes vagos & ordinibus dissolu- C tis ferri, totumque adeo exercitum facilem expugnatu fore credunt, modo Romani arte committerentur: ideo ablegant qui hæc principi exponerent, ejusque voluntatem de re agenda sciscitarentur. Sed is æquo adhuc animo barbarorum accipiens prætextum, moliri inde scilicet eos abitum in Palæstinam; prolatandam aggressionem, & dum manifestius de-

ἐκδηλότερόν τι νεωτερίζειν αὐτοὺς A προσδεχόμενος. Βασιλεὺς μὲν οὖν οὕτω γνώμης εἶχεν. Οἱ δὲ βάρβαροι ἐν τούτῳ ἰόντες ἐπειδὴ ἐς τὰς ἐπὶ Χοιροβάκχων παρῆλθον πεδιάδας, (ὑπτιάζει γὰρ ἐνταῦθα ὁ χῶρος, καὶ πόαν δαψιλῆ μάλιστα ἐς τὰς τῶν ἵππων παρέχεται νομὰς,) ἐνταῦθα ηὐλίζοντο. Ἔνθα τι δυστύχημα λόγου κρεῖσσον αὐτοῖς ξυνενεχθῆναι λέγεται, ἐξ οὗπερ ἄν τις εἰκότως στοχάσαιτο μηνῖσαι τὸ θεῖον αὐτοῖς, τούς τε ὅρκους ἠδικηκόσι, καὶ πολλῇ B ἐς τοὺς ὁμοθρήσκους αὐτοῖς, καὶ μηδὲν ἠδικηκότας ἀνθρώπους, ἀπανθρωπίᾳ κεχρημένοις. Ὄμβρου γὰρ ἐξαισίου καταρραγέντος ἀθρόον, οἱ τὸν χῶρον ἐκεῖνον περιρρέοντες ποταμοὶ, ὧν ὁ μὲν Μέλας, ἅτερος δὲ Ἀθύρας πρὸς τῶν ἐγχωρίων ὠνόμασται, πολλῷ τοῦ συνήθους μᾶλλον ἀνοιδήσαντες μέτρου, ἐπὶ πλεῖστόν τε τοῦ πεδίου προχυθέντες, πολύ τι μέρος τοῦ Ἀλαμανῶν στρατεύματος, αὐτοῖς ἵπποις καὶ ὅπλοις, καὶ αὐταῖς παρασύροντες ταῖς σκηναῖς, C ἐπὶ θάλασσάν τε ἀπὸ γῆς ἐξέπλυσαν φέροντες. Ὃ πυθόμενος βασιλεὺς ἐλέῳ τε τῷ ἐς τοὺς ἀνθρώπους τὴν ψυχὴν πεπονθὼς, ἄνδρας τῶν ἐπὶ δόξης παραμυθησομένους Κορράδῳ τὴν συμφορὰν ἔστελλε, μετεπέμπετό τε αὐτὸν ὡς λόγου τε κοινωνήσῃ, καὶ περὶ μεγάλων αὐτῷ συνδιασκέψαιτο. Ὁ δὲ καὶ εἰσέτι μηδαμῇ καθυφεῖναι θέλων τοῦ γαύρου, ὑπαντᾶν αὐτῷ ἐς Βυζάντιον προσάγοντι

delinquerent exſpectandum, cenſere. Ea principi ſententia. Procedere interea barbari & poſtquam Cherobacchorum in planiciem venerunt, (ſupinatur autem illic regio, herbis equorum paſtui uberrima) caſtra ibi locare. Sed enim major tum illis, quam ut efferri ſermone queat, interveniſſe fortuna dicitur; unde quis vere conjiciat, iratum ipſis Deum fuiſſe, velut perjuriis, multaque alia inhumanitate erga ejuſdem religionis homines, & à quibus nullam ante injuriam accepiſſent, uſis. Magna quippe imbrium vi repente cœlo demiſſa, qui campos illos perfluunt fluvii, Melas alter ab incolis, alter Athuras dictus, in altitudinem inſolitam crevere; ac maximam agrorum partem inundantes, ingentem virorum numerum de exercitu Alamannico cum equis & armis ipſiſque etiam tentoriis correptum ſub undis in mare ſuo flumine volverunt. Quæ ubi imperatori ſunt nunciata, commotus fortuna hominum, per illuſtriores legatos caſum illum ſolatiis Conrado levat; ſimul ad præſentiam & colloquium invitat, ut de ſumma rerum inter ſe diſceptarent. Sed ille, ne tum quidem remiſſo faſtu, ut Byzantium ſibi contendenti obvius

τὸν

τὸν αὐτοκράτορα ἠξίου. τοιούτων τέ τινων ἄλλων ὁμιλίαν τὴν ἑαυτοῦ σταθμώμενος ἦν. Ἐφ' οἷς ὁ βασιλεὺς ἀλαζονείαν ὅρον οὐκ ἔχουσαν αὐτοῦ καταγνοὺς, τοῦ λοιποῦ περιεῖδε. Κορράδος δὲ πανστρατιᾷ ὡς ἐπὶ Βυζάντιον ἐφέρετο. Ἐν δὲ τῷ κατάντικρυ τειχέων βασιλικῷ γεγονὼς ἐνδιαιτήματι, ὃ Φιλοπάτιον ὀνομάζουσιν, οὐκ οἶδα εἴτε τὴν φίλην αἰνιττόμενοι διατριβὴν, ἄνεσιν γάρ τινα παρέχεται καὶ φροντίδων ἀπαλλαγὴν τοῖς ἐκ τῶν ἀστικῶν παρέχων ἐνθάδε ἀπαλλαττομένοις, εἴτε καὶ τὴν φύλλοις κομῶσαν πάντη δαψιλῆ ἀνιεῖσαν· ἀμφιλαφὴς γὰρ ὁ χῶρος, καὶ ἐπίχλοον ἁπανταχῆ φέρει τὸ πρόσωπον. ἐντεῦθεν τῷ περιβόλῳ προσέσχε τοῦ ἄστεος. Τούς τε οὖν πύργους ἐς ὕψος ἱκανῶς ἀνατρέχοντας κατανοήσας, καὶ τάφρου μέγα τι χρῆμα βαθείας κύκλῳ περιθεούσης ἰδὼν, ἐν θαύματι μεγάλῳ ἐγένετο. Ἐπεὶ δὲ καὶ γυναικῶν ὅμιλον καὶ δῆμον ἄνοπλόν τε καὶ ἀπερίεργον ἐπὶ τῶν προπυργίων ἑστῶτα εἶδε· πάντες γὰρ ὅσοι πολεμίων εἰώθασι πόνων γένεσθαι, οἱ μὲν πρὸς τοῖς τείχεσιν ἔνδον φρουροῦντες ἐκάθηντο, οἱ δὲ πρὸς τοῦ περιβόλου τῆς πόλεως ἕστασαν χειρῶν ἄρχειν Ἀλαμανοὺς περιμένοντες. Ἐπειδὴ γοῦν ταῦτα κατενόει αὐτίκα ὅπερ ἦν περιουσίᾳ δυνάμεως ἀνέκπληκτον τὴν πόλιν μεῖναι ἐννοήσας, ἐνθένδεν ἀπηλλάττετο, τήν τε γέφυραν, ἢ τὴν ὑποκειμένην ὡς ἂν εἴποι

A imperator veniret respondere: talium namque rerum colloquium sui esse arbitrii ducere. Princeps ut vidit hominem sine ullo modo tumidum, eum deinceps neglexit. Conradus autem omnibus copiis Byzantium versus proficiscitur. Ubi ad imperatorium prætorium venit, oppositum mœnibus, quod Philopatium quam ob caussam vocent haud scio; sive gratum esse diverticulum significent, B otiumque & remissionem curarum strepitum ibi civitatis declinantibus, sive amictum stirpibus, herbisque uberrimum; locum sane copiosum, & ubique fœcundam viridibus faciem circumferentem; munimentis inde urbis succedit. Postquam itaque turres conspexit in egregiam altitudinem exstructas, atque in orbem circumcurrentis inopinatam fossę profunditatem, magna illum subC it admiratio; tum imprimis, cum mulierum virorumque globum inermem & otiosum in propugnaculis consistentem cerneret. namque omnes, quotquot bello operam navare soliti, alii interiora mœnia servabant, alii in munimentis impetum expectabant Alamannorum. Simul hęc omnia vidit, statim, id quod erat, abundantia virium imperterritam civitatem manere ratus, retro cessit,

tis

τις τε παραμεθάλασσαν ζεύγνυσι τα- A
χὺ διαβὰς, ἐπί τι τῶν ἀντιπέραν
Βυζαντίου κατήγετο προαστείων, ὃ Πι-
κερίδιον ὀνομάζεται. ἔστι δὲ τὸ ἐνταῦθα
πορθμοῦ τοιοῦτον. Ὁ Εὔξεινος πόντος
ἀπορρέων ἐνταῦθα πολὺς μὲν ἐπὶ τὸ δε-
ξιὸν εἰς πλέον τι μέρος, ὡς ἐπὶ δυ-
σμὰς ἄνεισι λιμένα ἐπιμήκη Βυζαντίοις
ἐργαζόμενος. Ποταμὸς δέ τις ἄνωθεν
πόθεν ἐκβάλλων τὸ ῥεῦμα κάτεισι μὲν
διὰ τῶν τῇδε πεδιάδων. Ὀλίγου δὲ
Βυζαντίου ἄποθεν κατὰ κορυφὴν τῷ
λιμένι ξυμβαλὼν εἰς ταυτὸν ἔρχεται. B
Ἔνθα τὴν γέφυραν ἵστασθαι ξυμβαίνει.
Τοῦτο μὲν δὴ τοιοῦτον. Κορράδος δὲ ἐν-
ταῦθα γεγονὼς λόγους ἐς βασιλέα οὐ
πόρρω θρύψεως ὄντας πολλῆς ἔπεμ-
ψεν. εἶχε δὲ ὧδε τὰ μηνύματα. Χρὴ
βασιλεῦ ἐπὶ παντὶ τόνγε νοῦν ἔχοντα οὐ
τὸ πρᾶγμα σκοπεῖν καθ' ἑαυτὸ, τὸν δὲ
σκοπὸν ὅθεν γίνοιτο πολυπραγμονεῖν
μάλιστα. ὁ γὰρ γνώμης ἥττηται τινὸς,
οὔτε ἀγαθὸν ὂν ἐπαινεῖται πολλάκις, οὔτε
φαῦλον φαινόμενον ψέγεσθαι πέφυκε.
Καίτοι πρὸς ἐχθρῶν μὲν ἀγαθοῦ παρὰ C
γνώμην ἐνίοτε τυγχάνει, φλαύρου
δ' αὖ πρὸς τῶν φίλων πειρᾶται τινὸς·
μὴ τοίνυν τῶν τῷ πλήθει τῆς ἡμετέ-
ρας στρατιᾶς χθὲς περὶ τὴν χώραν ἡ-
μαρτημένων τὴν σὴν, τὰς αἰτίας ἐφ'
ἡμᾶς ἄγε, μὴ δὲ διὰ ταῦτα χαλέ-
παινε, ἐπεὶ οὐχ' ἡμεῖς αὐτοί σοι τῶν
τοιούτων καθέσταμεν αἴτιοι, ἡ δὲ τοῦ πλή-
θους φορὰ ἀλόγως ἔνθα ἔτυχε φερο-
μένη, αὐτοματίζειν οἶδε ταυτί. στρα-
τεύματος γὰρ ξένου καὶ ἐπήλυδος,

& ponte, qui ſubjacens permixtum fluvio mare jungit, celerrime tranſito, ex ſuburbiis Byzantii, quod Picridium appellant, petit. Ibi in hunc modum ſe habet ſinus. Euxinus pontus à dextra magnam inundans agri partem, qua ad occidentem vergit ſpatioſum Byzantinis portum facit. Flumen autem paullo ſuperius per ſubjacentes compos alto defluens alveo, haud procul Byzantio extremis fluctibus portum attingit eique miſcetur. Eo loco pontem & amni & lacui impoſuerunt. Atque hæc ita ſe habent. Huc ſe poſtquam receptiſſet Conradus, literas ad principem perquam molles maxime in hanc ſententiam miſit: *Oportet utique, Imperator, hominem ſapientem factum aliquod non per ſe conſiderare, ſed finem facti, & unde is proveniat, diligentiſſime attendere. Quem enim affectus praoccupavit, ſape nec laudare rem bonam, nec vituperare vitioſam ſolet. Interdum prater mentem beneficium quis ab inimicis accipit; ab amicis vero maleficio laceſſitur. Qua itaque in agros nuper tuos exercitus mei multitudo peccavit, noli imputare nobis; noli ſuccenſere propterea, quando nos minime in culpa ſumus, ſed temerario impetu concitatum agmen quidquid commiſſum eſt ultro patravit. Namque exercitu peregrino externoque partim re-*

τὸ

τὸ μὲν ἐπὶ ἱστορίᾳ τῆς χώρας, τὸ δὲ ἐπὶ πορισμῷ τῶν ἀναγκαίων πολλαχόσε πλανωμένε καὶ περιτρέχοντος, τοιαῦτα ἑκατέρωθεν ἁμαρτάνεσθαι ἀπεικὸς οἶμαι οὐδέν. Ἀλαμανοὶ μὲν τοσαῦτα εἶπεν. Βασιλεὺς δὲ εἰρωνίαν τὸ πρᾶγμα λογισάμενος ἀμείβεται ὧδε. Οὐδὲ τὴν ἡμετέραν λέληθε βασιλείαν ἡ τοῦ πλήθους ῥοπὴ δυσάγωγόν τι οὖσα καὶ δυσήνιον ἀεὶ χρῆμα. ἀμέλει καὶ διὰ φροντίδος ἡμῖν ἦν, πῶς ἂν διὰ τῆς ἡμετέρας ἀβλαβῶς διελθεῖν ὑμᾶς γένοιτο ξένους καὶ ἐπήλυδας ἄνδρας. καὶ οὐδὲν, ὅτι ἀδικεῖν ὑμᾶς οὔτε ἐπαγγελλομένους, οὔτε ἄλλως δεδυνημένους, ὡς μὴ ξενίαν ἀδικήσαντες, δόξαν οὐκ ἀγαθὴν παρὰ ἀνθρώποις ἀπενεγκώμεθα, ἐπειδὴ ὑμῖν γε ἅτε ξυνετωτάτοις οὖσι, καὶ τὰς τῶν πραγμάτων φύσεις καλῶς ἐξετάζειν ἐπισταμένοις, ἀνέγκλητα εἶναι δήπου τὰ τοιαῦτα δοκεῖ. ἡμεῖς καὶ χάριτας ὑμῖν ὀφείλομεν. οὐ γὰρ ἔτι φροντίζομεν, ὅπως ἂν τὴν ὀχλικὴν τῶν ἡμετέρων ἀναχαιτίσωμεν ὁρμὴν, ἀλλ' ἐπιρρίψομεν ταῦτα τῇ τοῦ πλήθους ἀλογιστίᾳ, καθὼς ὑμεῖς ἐνυπεσόντες ἡμᾶς ἐδιδάξατε. Συνοίσει τοίνυν ἡμῖν ἀποῤῥᾴδως τὴν ὁδὸν ἰέναι, μηδὲ οὕτως ἐπὶ ξένης πλανᾶσθαι. ἐπειδὴ γὰρ οὕτω δέδοκται καὶ ἀνεῖται τοῖς πλήθεσι παρ' ἀμφοτέρων ταῖς οἰκείαις χρῆσθαι ὁρμαῖς· πολλὰ πρὸς τῶν αὐτοχθόνων πεπονθέναι τοὺς ξένους εἰκός. Ταῦτα εἰπὼν αὐτοὺς μὲν ἀπεπέμψατο.

A *giones lustrante, partim ad comparanda usui necessaria longe ac late fuso agmine circumvagante, utrinque factas injurias esse, haud equidem mirum existimo.* Hæc & similia Alamanni. quos ludificari nomen Romanum princeps arbitratus, in hunc modum respondere: *Non latet majestatem nostram multitudinis, regi ac frænari difficilis, impetus. eo & cura nobis fuit, ut iter per provincias nostras sine noxa vos advenæ & externi faceretis; & ne à* B *nobis vobis injuria fieret, uti præferebamus, neque poteramus aliter, ne jure hospitalitatis violato male apud mortales audiremus. Quandoquidem autem illa vobis sapientissimis scilicet & rerum excutere naturam gnaris visa sunt omni crimine carere; nos etiam gratias debemus vobis, neque amplius curamus, quo modo impetus comprimamus vestri exercitus, sed, uti* C *beneficio nos docuistis, omnia jam illa imperitiæ multitudinis tribuenda censemus. E re igitur vestra erit, neque palatim iter facere, neque ita vagantes per alienum solum immensum obtinere loci. quando enim multitudini visum licitùmque, utrimque in alios proprio ferri impetu; haud est alienum indigenas plurimum exteris incommodare.* Hæc ubi dixisset, legatos dimisit. Sciens

A Τὸν δὲ Ῥωμαίων στρατὸν πλήθει μὲν πολὺ τοῦ τῶν βαρβάρων ἐλασσούμενον εἰδὼς, ἐπιστήμῃ δὲ στρατιωτικῇ καὶ καρτερίᾳ τῇ περὶ τὰς μάχας τοσούτῳ δὴ μᾶλλον πλεονεκτοῦντα, τοιάδε ἐνενόει. Τὸν Προσοὺχ καὶ τὸν Τζικανδύλην καὶ πλείστους ἄλλους τῶν Ῥωμαίων στρατηγῶν ἐκέλευε στράτευμα ἐπαγομένους ἱκανὸν ἀντιμετώπους Ἀλαμανοῖς ἵστασθαι. Τάξασθαι μέντοι ὧδε. Τὸ μὲν ἀπολεμώτατον, καὶ ὥσπερ ἀγελαῖον τοῦ στρατοῦ, πόρρωθεν καὶ ὡς ἀπὸ σημείων στῆναι τεττάρων. B Μετὰ δὲ τοῦτο, ὅσον ὁπλιτικὸν καὶ κατάφρακτον. Ἑξῆς δὲ τοὺς ὅσοι ταχυπόδων ἐπέβαινον ἵππων. τελευταῖον δὲ καὶ μετὰ μέτωπον Σκύθας ἅμα Πέρσαις καὶ τὸ Ῥωμαίων τοξικόν. Ῥωμαῖοι μὲν οὖν κατὰ ταῦτα ἐποίουν. Ἀλαμανοὶ δὲ ὡς εἶδον, θυμῷ πολλῷ καὶ θορύβῳ ἐχόμενοι δρόμῳ ἐχώρουν. συνίσταται τοίνυν μάχη καρτερὰ, καὶ φόνος Ἀλαμανῶν πολὺς γίνεται. Ῥωμαῖοι γὰρ σὺν ἐπιστήμῃ ἐπιόντες τοὺς ὑφισταμένους C ἔκτεινον. Κορράδος δὲ οὔπω τι πεπυσμένος τῶν γεγονότων, σοβαρὸς ἔτι καθῆστο, καὶ ἐπὶ μακραῖς ὠχεῖτο ἐλπίσιν. Ὁ τοίνυν βασιλεὺς τῆς προτέρας αὐτὸν ἐπικερτομῆσαι θέλων ὑπεροψίας ἐπέστειλε τοιάδε. Ἔδει μὲν ὑμᾶς (ἐκεῖνο καλῶς εἰδότας, ὡς οὔτε ἵππος κρείττων φερόμενος χαλινοῦ ὀνήσειεν ἂν τὸν ἐπιβάτην, εἰ μὴ καὶ κατὰ κρημνοῦ τοῦτον πολλάκις συγκατενέγκοι. καὶ στράτευμα δὲ ἐκεῖνο,

A Sciens autem legiones Romanas numero quidem militum longe inferiores esse barbaris, militari vero peritia & constantia in præliis compensare numerum ac præcellere, consilium capit hujusmodi. Prusucho & Tzicandulæ & aliis ducum Romanorum, ut exercitum jubet contraherent sufficientem, eum à fronte Alamannis oblocarent, instructa in hunc modum acie. Imbellis & inhabilis omnis B turba longissime & velut à quarto signo consisterent, tum gravis armatura & cataphracti, velocissimi inde equitum, denique Scythæ in fronte Persæque & sagittarii Romani. Illi jussa exsequebantur. Alamanni simul id viderunt, clamore atque impetu magno ruunt in dimicationem; fit atrox pugna, & cædes ingens editur Alamannorum, quando Romanus miles subeuntes astu aggressus omnes ob- C truncabat. Conradus nihil eorum quæ acciderant percunctatus, in arrogantia perseverare & spe magna abripi. Proinde imperator exprobrare illi volens priorem superbiam, in hoc argumentum literas scripsit: *Oportebat equidem nos (illud memores, neque equum qui freni potens liber fertur, sessori usui esse, quin & sæpe ad prærupta illum deferre, & exercitum, qui imperium negligit, periculis ut pluri-*

ὃ μὴ

οὐ μὴ τῶν στρατηγούντων ἐπαΐοι, κινδύνοις περιβάλλειν, ὡς ἐπίπαν, οἶδε τοὺς ἄρχοντας,) μὴ οὕτω στρατεύμασιν ἐφήσειν τοῖς ἑαυτῶν πρὸς τὰς οἰκείας ἑκάτερα φέρεσθαι ὁρμάς, ἐπειδ' οὐκ οἶδ' ὅτι παθών, οὔτι πρότερον κατωλιγώρηκας τούτου, καὶ τὸ ἡμέτερον δὲ κράτος ὅσα καὶ φίλῳ προσφερόμενον τῆς αὐτῆς γεγονέναι συγγνώμης ἀνέπεισας ἤδη. συλλόγισαι τίνα ὑμῖν ἡ τοῦ πλήθους προὐξένησεν ἐλευθερίαν. Πυνθάνομαι γάρ, ὡς ὀλίγος Ῥωμαίων στρατὸς Ἀλαμανῶν πλήθει οὐκ εὐκαταφρονήτῳ περιτυχών, κακῶς αὐτὸ διέθετο. Τὸ γὰρ αὐτόχθον καὶ ἐγχώριον ἐπικρατέστερον ὡς ἐπίπαν τῶν ἐπηλύδων καὶ ξένων φιλεῖ γίνεσθαι. Ἡμῖν δὲ οὐδὲ κολάζειν ἐξέσται τοῖς πλήθεσι τὴν ἀσέβειαν. πῶς γὰρ οἷς καθάπαξ πρὸς γνώμην ἐνέδομεν φέρεσθαι τὴν αὐτῶν; Εἰ τοίνυν καὶ αὐτὸ σοι δοκεῖ, αὐθεκτέον καὶ πάλιν ἡνίας ἀμφοτέρους τῆς ἀρχικῆς, καὶ ἀνασειραστέον τοῖς στρατεύμασι τὰς ὁρμάς. μὴ δοκοῦν δὲ σοι ταῦτα μὲν μενετέον ἐπὶ τῶν παρόντων. τό γε μὴν πεπραγμένον σαφῶς ἡμῖν δεδηλώσθω. Τὰ μὲν δὴ τοῦ βασιλέως ἐν τούτοις ἐτελεύτα. Κορράδος δὲ οὔπω τῶν Ἀλαμανοῖς συμπεσόντων ἐνωτισάμενος οὐδέν, τούτων μὲν οὐδ' ἐπεστρέφθαι τὸ παράπαν ἐδόκει. Δρόμονα δὲ τὸν βασίλειον καὶ τὰς συνήθεις στέλλεσθαι οἱ πρὸς βασιλέως ἠξίου τριήρεις, ἐφ' ᾧ πρὸς τὴν διάβασιν αὐτοῖς χρήσαιτο.

A *mum ipsos duces implicare) non ita indulgere militibus nostris, ut eos inter se invicem & libidine sua collidi pateremur. Posteaquam vero tu nescio quid cogitans id curæ non habuisti, meque utpote peramice adversus te affectum, jamdudum induxisti, ut eadem indulgentia uterer: nunc accipe & considera, quid boni nobis tanta multitudinis licentia conciliavit. Audio enim non magnam Romanorum manum committentem* B *se haud contemnendis Alamannorum copiis eas male tractasse: indigena nimirum & eodem innati solo quod incolunt, student sane advenas & extraneos præstantia virium superare. Neque nobis castigare licebit impietatem multitudinis. qui enim poterimus eos, quibus agere pro libitu indulsimus? Si itaque & tibi ita videtur, induantur utrisque iterum imperii fræna, & comprimamus militum impe-* C *tus: sin autem, in præsentibus utique maneamus. Saltem rem sic esse gestam certi simus.* In hunc modum literæ principis finitæ. Conradus eorum quæ acciderant Alamannis minime ignarus, non propterea tamen sistere iter voluit. Dromonem autem imperatorium & consuetas triremes, quibus flumen transportaretur, mitti jubebat, ac ni statim adducerentur, proxi-

Καὶ εἰ μὴ θᾶττον ἀφίκοντο πρὸς αὐ- A
τὸν, ἠπείλει πολλαῖς ἐς νέωτα μυριά-
σι τὴν πόλιν περιβαλεῖν. Πρὸς ὃ
χαλεπήνας ὁ βασιλεὺς, οὐκέτι μέ-
χρις εἰρωνείας τὸν ἀλαζόνα ἀμείβε-
σθαι ἤθελεν. ὅθεν καὶ πικροτάτοις
αὐτοῦ καθίκετο λόγοις ἐπιστείλας οὑ-
τωσί. Οὐ τῷ πλήθει τὰ πράγμα-
τα κρίνειν εἰώθασιν, οἷς καὶ σμικρὰ
συνορᾶν ἔνεστι. ποιότητι δὲ μᾶλλον,
καὶ ταῖς ἐντεῦθεν ὑπερβολαῖς καὶ
ἐλλείψεσιν. Οὐκοῦν καὶ τοὺς Ἄρεως
ἀθλητὰς οὐ πλήθει διαιρετέον, ἀλλ' B
ἀρετῇ. καὶ πόνοις καὶ τῇ περὶ ταῦτα
ἐπιστήμῃ. Ἂν καί σοι τοίνυν πλεῖστον ἀ-
κολουθῇ στράτευμα, ἀλλὰ πρὸς τῷ
μὴ πολλῷ τὸ ἡμεδαπὸν ὑπερφέρειν,
καί τοι τοῦ πλείστου πολλαχῇ τῆς Ῥω-
μαίων διῃρημένου ἀρχῆς, ἀγελαῖον ἐστὶ
καὶ τὸ πλεῖστον ἀπειροπόλεμον. προ-
βάτων δὲ ἀγέλαι κἂν εἰς μυριοστὰς
ὅλας ἀριθμοῖντο, σχολῇ ἐὰν ἀνά-
σχοιντο λέοντος ἐπιπηδῶντος αὐταῖς.
Ἢ οὐκ οἶσθα, ὅτι καθαπερεὶ στρουθίον
ὑπὸ ταῖς ἡμετέραις γεγένησαι ἤδη C
παλάμαις, κἂν θελήσωμεν, οὐκ ἂν
φθάνοις αὐτίκα διαπολλύμενος. Ἐν-
νόησον ὡς ἐκεῖνοι τὴν χώραν κατέ-
χουσι ταύτην, ὧν οἱ πρόγονοι πᾶσαν
τὴν γῆν περιῆλθον τοῖς ὅπλοις, ὑμῶν τε
αὐτῶν καὶ λοιπῶν ἁπάντων, τῶν ὑφ'
ἡλίῳ ἐκυρίευσαν ἐθνῶν. Ταῦτα ὑπο-
λογίσασθαί σε χρεὼν, καὶ προσέτι,
ὡς ὅτι νεὸς ποτὲ ἐπιβήσῃ τῆς βασι-
λείου, οὐδέτι ὧν ᾔτησας ἐπιτελὲς ἔ-
σται σοι παρ' ἡμῶν· ἀλλά σε τὴν αὐ-

mo se anno multis cum millibus
urbem ipsam circumventurum mi-
nabatur. Indignissime id ferens im-
perator non jam amplius per dissi-
mulationem respondere arrogan-
ti, sed acerbissimis eum lite-
ris in hunc modum perstringere:
*Non ex hominum multitudine judica-
re de negotiis solent, quibus & parvus
sæpe quid valeat numerus datur intel-
ligere; sed ex naturis rerum, & quid
in illis vel supersit vel deficiat. Ne-
que enim Martis athletæ numero di-
stinguendi sunt; verum laboribus &
virtute & scientia circa eadem. Quam-
vis igitur ingens te sequitur exerci-
tus, tamen præterquam quod nos ne
numero quidem valde inferiores su-
mus, utpote per omne imperium pas-
sim militibus distributis, tua illa
turba incomposita est & majorem
partem imbellis. Pecudum greges et-
si multorum millium sunt, nullo
modo sustinere possunt ingruentem
leonem. An ignoras, te instar avi-
culæ manibus in nostris fuisse, conti-
nuo si voluissemus periturum? Cogi-
ta tales hanc oram homines inhabita-
re, quorum majores orbem universum
bellis peragrarunt, ac vobis ipsis, a-
liisque omnibus sub sole gentibus im-
peritavere. Hoc te ad animum ad-
mittere oportet, & scire insuper,
neque navem ullam è classe nostra
venturam ad te, neque quidquam eo-
rum quæ petiisti nos indulturos; sed*

tuam

σιλέα, ᾐτεῖτο σταλῆναι οἱ Ῥωμαίων τινὰ ὁδοῦ τε αὐτοῦ καθηγησόμενον, καὶ ἐν τῷ ἀσφαλεῖ παραπέμψοντα. Ἔσταλτο τοίνυν ὁ τὰ τοῦ ἀκολούθου εἰς ἐκείνην τὴν ἡμέραν λειτούργημα ἐκπληρῶν. Ἐπιτέτραπτο δὲ οἱ, καὶ συμμαχίας πέρι Κορράδῳ διαλέχθαι. Ἢν ἐπειδὴ πολλῷ τῷ διαπλάσσειν Ῥωμαίους καὶ Ἀλαμανοὺς ξυμβαίνει μάχεσθαι, τὴν μὲν βασιλεῖ δοίη, πολλῷ καὶ ἀντιλάβοι πλείονα, εἴγε αὐτῷ βουλομένῳ εἴη μάχης κατὰ Περσῶν βασιλεῖ κοινωνῆσαι. ὁδῶν τε σφίσι προκειμένων δυοῖν, ὁποτέρᾳ ἂν αὐτὸς βούλοιτο ἰέναι ταύτην δὴ ἑλέσθαι. Στέφανος μὲν οὖν Κορράδῳ ταῦτα ἀπήγγελλεν. Ὁ δὲ ἐς βουλὴν ξὺν τοῖς αὐτοῦ καταστὰς, πρὸς μὲν τὴν ὁμαιχμίαν ἀπεῖπεν. ὁδὸν δὲ ἣ ἐς Φιλομήλιον ἄγει αὐτοὺς εἵλετο. μέχρι μὲν οὖν Μελαγγείων καὶ Δορυλαίου πόλεως, οὐδὲν ἄχαρι Ἀλαμανοῖς ὑπηντίαζεν. Ἐνταῦθα δὲ γενομένοις Μαμπλάνης ὄνομα, Πέρσης ἀνὴρ, ἅμα στρατεύματι ὀλίγῳ τοῖς ἐμπροσθίοις αὐτοῦ προσέβαλε τάγμασιν, ἀποπειρασόμενός τι τῆς ἰσχύος αὐτοῖς καὶ τὸν τῆς παρατάξεως, ὅπως ποτὲ ἔχοι, μαθησόμενος τρόπον. Ἀλαμανοὶ τοίνυν, ἐπειδὴ Πέρσαι τὸ πρῶτον αὐτοῖς παρεφάνησαν, οὐκέτι κατὰ συντάξεις ἐχώρουν. θυμῷ δὲ καὶ θορύβῳ πολλῷ ἐχόμενοι, κατ' αὐτῶν ᾔεσαν. Πέρσαι δὲ ἕως μὲν οὐ πόρρω τοῦ σφῶν αὐτῶν στρατοπέδου Ἀλαμανοὶ ἦσαν, νῶτα ἐδίδουν καὶ τὴν φυγὴν ὑπεκρίνοντο· ἐπειδὴ

A modo se superbum præbere, sed continuo per legatos rogare principem, ut Romanum sibi monstraturum vias, ceterum incolumem futurum, transmitteret. Mittitur itaque qui ad id tempus pedissequi munere fungebatur, atque insuper ei mandatum, ut & de belli societate cum Conrado sermones conferret. posteaquam eam cum Romanis Alamanni coivissent, auxilia quidem principi mitteret, B & ab illo vicissim reciperet. multa majora, modo animus esset, arma cum principe adversus Persas sociare. duabus autem propositis viis utram vellet, eligeret. Hæc Conrado Stephanus nunciavit. Ille suis in consilium adhibitis, aspernari commilitium, & qua Philomelium fertur iter ingredi. Ad usque Melangiæ & Dorylæum oppidum nihil C triste obvenit Alamannis; eo ut pertigerant, Persa, Mamplanes nomine, cum exercitu exiguo priores ordines invehitur, & vires hostium, & morem pugnandi exploraturus. Igitur Alamanni, visis tum primum Persis, nullo ordine procedere, impetu & clamore magno in eos ferri. Verum Persæ, quamdiu haud procul à castris Alamanni erant, terga vertunt, fugamque simulant; dein fessis insequentium equis at-

δ' ἤτε ἵππος αὐτοῖς ἐκεκμήκει, καὶ τοῦ στρατοπέδου μακρὰν ἤδη γεγόνησαν, ἀποστρόφους τὰς ἐπελάσεις τιθέμενοι, ἵππους τε καὶ αὐτοὺς ἔκτεινον. Πολλάκις τε αὐτὸ γεγονὸς ἐς ὀῤῥωδίαν μέτρον οὐκ ἔχουσαν τούτους ἐνέβαλεν. Ἦν οὖν ἰδεῖν τοὺς χθὲς θρασεῖς καὶ ἀλαζόνας καὶ θηρῶν δίκην ἀνυποστάτων ἐπιόντας, δειλούς τε καὶ ἀγεννεῖς, καὶ οὐδὲν οὔτε πρᾶξαι οὔτε μὴν βουλεύσασθαι ἱκανούς. Ὅτε δὴ καὶ Κοῤῥάδος (ἦν γὰρ θαρσαλαῖος τὰ πολέμια) κατὰ Περσῶν ἐλάσας, τούς τε ἵππους ἀποβεβλήκει, οὓς αὐτῷ βασιλεὺς δρομικοὺς μάλιστα ἐδώκει, καὶ αὐτὸς δὲ ὀλίγου καὶ ἁλῶναι πρὸς τῶν βαρβάρων τούτων ἐδέησεν. Ἀλαμανοὶ μὲν οὖν ἐν τούτοις ἦσαν. Ὁ δὲ τῶν Γερμανῶν Ῥήξ, (ἠγγέλλετο γὰρ ἤδη τὸν Ἴστρον διαβὰς προσωτέρω χωρεῖν) οὐκέτι κατὰ Κοῤῥάδον ὑπὲρ τὸ δέον ἔγνω φρονηματίζεσθαι. τούς τε γὰρ βασιλέως ἐπ' αὐτὸν ἥκοντας, φημὶ Μιχαήλ τε Σεβαστὸν τὸν Παλαιολόγον, καὶ Μιχαὴλ ᾧ τὸ ἐπώνυμον Βρανᾶς ἔκειτο, ἀσμένως τε εἶδε καὶ χάριτας διὰ ταῦτα βασιλεῖ ὁμολόγει. Δῆλός τε ἦν μηδὲν εἰσέπειτα ἐς Ῥωμαίους κακουργήσων. Εἴτε δὲ ἐκ τῶν Κοῤῥάδῳ συμπεπτωκότων ἤδη σωφρονισθεὶς, εἴτε καὶ φύσει τοιοῦτον τῷ ἀνθρώπῳ τὸ ἦθος ἦν, λέγειν αὐτὸς οὐδαμῆ ἔχω. πλέονος δ' οὖν διὰ ταῦτα τοῦ βασιλέως παραπολαύων διετέλει δεξιώσεως. Ἐπεὶ δὲ ἄγχου Βυζαντίου ἤδη ἐγένετο, πρέσβεις ἐς βασιλέα πέμψας, φιλίαν τε ἔτι μᾶλλον

A que ipsis longe ab exercitu suorum abstractis, converso cursu equos cum sessoribus concidunt; ac sæpius æstum repetentes, incredibilem metum admovent Alamannis. Tum demum videre erat, feroces nuper, tumidos & ferarum instar invictos, jam trepidos & degeneres, neque agendi animum, neque consilii locum habere. Cum vero occurrens Persis Conradus, ut erat magnis in bello ausis promB tus, velocissimos quos acceperat à principe equos amisisset, ipse quin à barbaris caperetur parum sane aberat. Ita se res habebat Alamannorum. Rex autem Germaniæ, quem transiisse jam Istrum & appropinquare nunciabatur, tantos haudquaquam, ac Conradus, spiritus gessit; sed missos ab imperatore Michaeles, dico alterum Sebastum Palæologum, alterum cognomen Branam, & acC cepit comiter, & gratias ea propter principi egit: apparebatque minime eum in posterum adversus Romanos hostilia facturum. sive fortuna Conradi ad mentem redactus, sive illi mite fuerit à natura ingenium, non sat planum tradere possim. magnam saltem inde sibi gratiam imperatoris conciliavit. Cum Byzantio successerat, missis ad principem legatis amicitiam suam magis profiteri, se-

ὡμολό-

ὡμολόγει, καὶ ἐπὶ μεγάλοις συμπρᾶξαι αὐτῷ συνετίθετο, εἰ δὲ καὶ συνέσεσθαι ἀλλήλοις, καὶ λόγου κοινωνήσει ἐν Παλατίῳ βουλητὸν αὐτῷ ἔσται, οὐ δὲ τοῦτο παραλιπεῖν ἤθελε. Βασιλεὺς δὲ ἤκουσε λόγων, οὐκ ἀηδῶς καὶ σὺν πεποιθήσει ἀφικέσθαι τοῦτον ἐκέλευε. Εἰσελαύνοντι τοίνυν ἄνδρες ὑπήντων αὐτῷ, ὅσοι τε κατὰ γένος καὶ τύχην βασιλεῖ ἤγγιζον, καὶ ὅσοι τὰς ὑπερηφάνους τῷ τηνικάδε διεῖπον ἀρχάς, περιπέμψοντές τε μεγαλοπρεπῶς αὐτὸν ἐς τὰ βασίλεια, καὶ τὰ εἰκότα τιμήσοντες. Ἐπειδή τε εἴσω τῶν ἀνακτόρων ἤδη ἐγένετο, ἔνθα βασιλεὺς ἐπὶ τοῦ μετεώρου καθῆστο, χθαμαλή τις αὐτῷ ἐκομίζετο ἕδρα, ἣν σελλίον Ῥωμαΐζοντες ὀνομάζουσιν ἄνθρωποι, ἐφ' ἧς καθιζήσας τά εἰκότα τε εἰπὼν καὶ ἀκούσας, τότε μὲν ἐς τὸ περὶ τοῦ περιβόλου ἀπηλλάττετο προάστειον, ὃ Φιλοπάτιον, καθάπερ ἤδη ἔφην, ὠνόμασται τοῖς πολλοῖς· ἐνταῦθα καταχθησόμενος, ὀλίγῳ δὲ ὕστερον καὶ ἐς τὰ πρὸς νῶτον τῆς πόλεως σὺν τῷ βασιλεῖ ἦλθεν ἀνάκτορα, ἱστορήσων ὅσα τε ἐνταῦθα θαύματος ἄξια, καὶ τοῖς ἐπὶ τὸν τῇδε νεὼν ἐντευξόμενος ἱεροῖς. Φημὶ δὴ ὅσα τῷ σωτηρίῳ Χριστοῦ πελάσαντα σώματι Χριστιανοῖς ἐστι φυλακτήρια. τοσαῦτα ἐν Βυζαντίῳ τελέσας, ὅρκοις τε τὰ πιστὰ δοὺς ἦ μὴν φίλος διὰ βίου καὶ σύμμαχος βασιλεῖ ἔσεσθαι, ἐπὶ τὴν Ἀσίαν διέβη καὶ αὐτός. Ταῦτα μὲν οὖν τῇδε ἐπεραίνετο. Ὁ δὲ βασιλεὺς Νικόλαόν τινα, ᾧ Μου-

A seque disceptaturum cum eo de rebus maximis, & neglecturum neutiquam, si convenire, inque palatio habere sermones placeret. Imperator dictis annuens accedere illum fidenter & sine scrupulo jubet. Advenienti itaque obviam effunduntur & qui vel genere vel fortuna imperatori proximi, & qui summas eo tempore præfecturas obtinebant, atque ipsum magnifice, ac secundum morem venerantes, in regiam deducunt. B Quam ubi intravit, superiore loco considente principe, sedes ei datur humilior, quam sellam vocant, qui Romane loquuntur: illa occupata, ac convenientibus, prout res & tempus monebant, ultro citroque habitis sermonibus; tum quidem in proximũ suburbium, vulgo, quemadmodum retuli, Philopatium dictum, concedit. Huc deductus, paullo post cum principe palatium adit, quod C est à tergo civitatis, visurus oculis quę ibi digna admiratione, quęque in templo sacra erant, quæ corpori dico, salvifico Christi quondam admota, Christiani habent munimenta & amuleta. His Byzantii peractis, & obstricta insuper jurejurando fide, amicum quamdiu viveret ac socium bellorum principi fore, in Asiam & ipse duxit. Eę tum sic quidem res constitutæ sunt. Ad thronum autem patriarchalẽ pro-

σάλων ἐπίκλησις ἦν, ἐς τὸν ἀρχιερατικὸν θρόνον ἀνάγει. ὃς εἰς τοὺς ἐκκλησιαστικοὺς μὲν πρότερον καταλόγους ἐτέλει, τὸν δὲ τῆς Κυπρίων ἐκκλησίας θρόνον λαχὼν, εἶτα ἐθελοντὴς ἐκεῖθεν ἀφίσταται. ἀλλ' ἅμα τε ἐπὶ τῶν πραγμάτων ἐγένετο, καὶ ἅμα πᾶν κατ' αὐτοῦ κεκίνηται στόμα, παρανόμως αὐτὸν ἐπιπηδῆσαι λεγόντων τῷ θρόνῳ. ἅτε σὺν τῇ λαχούσῃ τοῦτον ἐκκλησίᾳ καὶ τὴν ἱερωσύνην ἤδη προαποθέμενον. Ὁ δὲ τὸ μὲν πρῶτον ἰσχυρογνώμων τις ἦν, καὶ τοῦ θρόνου μεθίεσθαι οὐδαμῇ ἤθελεν· ὡς δέ ποτε βασιλέως τῷ πράγματι διαιτήσοντος, τὴν ἥττονα ἔγνω κληρούμενος, οὐχὶ καὶ εἰσαῦθις ἀνακριθήσεσθαι ἀνασχόμενος, ἀφίστατό τε τοῦ θρόνου καὶ καθ' ἑαυτὸν αὖθις ἐβίου· αὐθ' οὗ Θεόδοτος ἀνὴρ ἐπὶ πλεῖστον ἀσκητικοῖς ἐγγυμνασάμενος προχειρίζεται πόνοις. Ἀλαμανοὶ δὲ, καθάπερ εἴρηται, πρὸς τῶν Περσῶν πολλάκις ἀποκρουσθέντες, πολλούς τε τῶν σφετέρων ἀποβαλόντες, ἐπειδὴ τὴν διὰ Φιλομιλίου ἀπέγνωσαν ἤδη διάβασιν, ὀπίσω λοιπὸν ἐφέροντο. γενόμενοί τε ἐν Νικαίᾳ ἐνταῦθα Γερμανοῖς τε ὁδῷ ἰοῦσι συνέμιξαν, καὶ ῥηξὶ τοῖς ἄλλοις μεγάλα καὶ αὐτοῖς ἐπαγομένοις στρατεύματα· ὧν ὁ μὲν τοῦ Τζέχων κατῆρχεν ἔθνους, ῥὴξ πρὸς τοῦ Κουῤῥάδου δῆθεν προχειρισθείς· ἅτερος δὲ τοῦ τῶν Λέχων οἱ Σκυθικὸν μὲν ἐστι γένος, Οὔννους δὲ προσοικοῦσι τοὺς ἑσπε-

A movet imperator Nicolaum quendam cognomine Musalonem. qui primum in ecclesiasticos ascitus numeros, & cathedram adeptus ecclesiæ Cypriorum, ultro se postmodum ea abdicavit. Ut vero res administrare orsus est, in omnium statim ore versari injuria occupatum ab illo thronum clamantium, quod cum destinata sibi jam ante ecclesia ipsum quoque sacerdotium deposuisset. Sed is ob- B stinatus primo, haudquaquam ferre se tantæ dignitatis sede deturbari; ubi vero arbitro quandoque principe se inferiorem caussa advertit, nolens rem latius anquiri, patriarchatu abdicato sibi vivere iterum occœpit. Ei Theodotus sufficitur, vir sacris exercitiis mire castigatus. Alamanni interea, ut supra scripsimus, magna cum clade suorum sæpius à C Persis repulsi, desperato jam per Philomelium transitu, retro deinde movent; in Nicæam ubi ventum est, proficiscentibus per eam regionem Germanis se conjungunt, regibusque aliis magna agentibus agmina, quorum alter Tzechorum genti imperitabat, à Conrado eam ad dignitatem evectus, alter præerat Lechis Scytharum generi Hunnis adhabitanti occidentalibus. Postquam coiere in unum exercitus, dictum

ρίους. Ἐπειδή τε ἐς ταυτὸ συνήεσαν τὰ A
στρατεύματα, ῥῆμά τι ἐνῆν ἐκ μακροῦ
πρὸς Γερμανῶν Ἀλαμανοῖς ἐπιλέ-
γεσθαι εἰωθὸς, ἀναφανδὸν καὶ τότε
περιεφέρετο. Πούτζη Ἀλαμάνε· οὑ-
τωσί πως ἐπὶ λέξεως ἐχηχός. Ὅθεν
δὲ τὸ τοιοῦτον ἀρχὴν ἔσχεν, αὐτίκα
δηλώσω. Τοῖς ἔθνεσι τούτοις ὁ περὶ τὸ
μάχεσθαι τρόπος ἐστὶν οὐχ ὁ αὐτός.
Γερμανοὶ μὲν γὰρ ἵπποις τε εὐσταλῶς
ἀναβῆναι, καὶ ξὺν δόρατι ἐπελάσαι
δέξιοι μάλιστα, ἔτι ἵππος αὐτοῖς
δρόμῳ τὴν Ἀλαμανῶν παρελαύνει. B
Ἀλαμανοὶ δὲ πεζῇ τε τὴν μάχην ἐ-
νεγκεῖν ἱκανοὶ ὑπὲρ τοὺς Γερμανοὺς,
καὶ ξίφει χρήσασθαι πολλῷ προφε-
ρέστεροι. Ἐπειδὴ γοῦν ποτε Γερμα-
νοῖς ἐπεστράτευον Ἀλαμανοὶ, τὴν
αὐτῶν ὑφορώμενοι ἵππον πεζῇ τὸν
πόλεμον ἐνεγκεῖν ἔγνωσαν. Γερμα-
νοὶ τοίνυν ἀνέτῳ τῇ αὐτῶν ἐντετυ-
χότες ἵππῳ, αὐτοὺς μὲν ἐκράτουν,
τῶν δὲ Ἀλαμανῶν εὐχερέστερον κα-
θιππαζόμενοι, ἐτρέποντό τε αὐτοὺς
ἐκ ποδὸς ἰόντας καίτοι πλήθει παρὰ C
πολὺ αὐτῶν ἐλασσούμενοι, καὶ τῷ
εἰρημένῳ προσεκερτόμουν αὐτοῖς.
ὅτι δὴ ἐξὸν σὺν τοῖς ἵπποις μάχε-
σθαι, οἱ δὲ πεζῇ τὸν πόλεμον εἵλοντο.
Τοῦτο δὴ καὶ τότε, καθάπερ εἴρηται,
πρὸς τῶν Γερμανῶν Ἀλαμανοῖς ἐπι-
φερόμενον συνεχῶς μεγάλα τούτοις
ἐλύπει. Διὰ τοῦτο τε οὖν καὶ ὅτι τὰ δεύ-
τερα κληρῶσθαι τῶν Γερμανῶν κίν-
δυνος αὐτοῖς ἐν ταῖς ὁδοῖς περιΐστατο,
ἄχρι μὲν καὶ ἐπὶ τὴν Φιλαδέλφου ἅμα

A aliquod, longo à tempore jaci in
Alamannos solitum à Germanis,
tum quoque palam proferri: *Pe-
des Alamanne.* ita enim ad verbum
sonabat. unde vero originem ha-
buerit, nunc etiam expediemus.
Gentibus illis non idem est præ-
liandi modus: Germani namque
equos conscendere,& pugnam ha-
sta facere maxime promti, eorum
equitatus pernicitate Alamanni-
co longe præpollet. Contra A-
B lamanni peditibus committendo
prælio supra Germanos expedi-
ti, gladiorumque usu multo præ-
stantiores. Cum itaque contra
Germanos aliquando arma Ala-
manni capesserent, bellum pedi-
tes conficere instituunt, negle-
cto equitatu,quem Germani solu-
tum & vagum nacti vincunt,seque
in robur inserentes Alamannorum,
licet numero pugnantium longe
ab illis superarentur, avertunt ta-
C men pedibus pugnantes, & di-
cto jam memorato perstringunt,
quod, cum potuissent ex equis pu-
gnare, pedestre prælium maluis-
sent. Tum quoque idem, ut re-
tuli, à Germanis continuo obje-
ctum, dolorem Alamannis acer-
bum attulit. Ea propter itaque &
quia periculum erat,ne Alamanni
in itinere secundas sortirentur, &
non duces essent, una quidem ad
Philadelphiam usque profecti sunt:

ἰσχύειν,

ἰχώρουν, τὸ δ' ἐντεῦθεν, Κορράδος οὐκ ἔτι φέρειν εἰ πρὸς Γερμανῶν περιορῷτο δεδυνημένος, παλινοστεῖν ἔγνω. ἀμέλει καὶ βασιλεῖ τὸν σκοπὸν ἐπιστείλας ἐδήλου. Ὁ δὲ τὸ μὲν ἀποινοσφίζειν ἀλλήλων τοὺς ῥῆγας ἐθέλων, τὸ δὲ καὶ τῷ ἀνθρώπῳ συναλγῶν, ἐπέστειλε τοιάδε· Ἀνθρώποις οἷς καὶ κατὰ βραχὺ τοῦ φρονεῖν μέτεστιν, οὐ σὺν ταῖς τύχαις τὰ πράγματα θεωρεῖν ἔθος, ἀλλ' αὐτὰ καθ' αὐτὰ περιπετείας ἔξω τινός, ὅτι τοίνυν εὐθυνουμένῳ σοι ὑπὲρ τὴν ἀξίαν προσφέρεσθαι ἔγνωμεν. ἀλλὰ νῦν γε μετρίως δυσπραγήσαντα, τοῖς αὐτοῖς καὶ πάλιν σε δεξιοῦσθαι οὐκ ὀκνήσομεν, οἷς καὶ τὸ πρότερον, ὅσα καὶ ξυγγενεῖ καὶ τηλικούτων ἐθνῶν ἄρχοντας, τιμᾶν ἡμῖν διὰ σπουδῆς ἦν ξυμβουλεύειν τε τὰ παριστάμενα τῶν εἰρημένων τε ἕνεκα, καὶ τοῦ ὁμοθρήσκους ἡμᾶς ἀλλήλοις εἶναι. σὺ δ' ἀλλ' οὐκ οἶδ' ὅπως περὶ ἐλάττονος τὸ σοὶ αὐτῷ ξυνοῖσον πεποιημένος ἔλαθες ἑαυτὸν τὸ ἧττον αἱρετισάμενος; ἀλλὰ ταυτὶ μὲν ἐπειδήπερ ἅπαξ γεγονότα ἀναλῦσαι ἔτι ἀδύνατον παρείσθω τέως ἡμῖν. ἐπιμελητέον δὲ ὡς ἔνι μάλιστα τῶν ἔτι παρ' ἡμῖν τῶν οὔπω πεφευγότων. Τοιαύτην γὰρ ἔχει φύσιν τὰ πράγματα, ῥεῖ συνεχῶς, ἵσταται οὐδαμῇ, κἂν τις ἀρύσηται προλαβών, ἔσχεν ἤδη τὸ πᾶν, παρελθόντα δὲ ἀνακαλέσασθαι ἐπίσης ἀδύνατον. Ἕως τοίνυν ἔχει τινὰ θεραπείας τὰ κατὰ σε τρόπον, σπούδασον ἁρπάσαι τὸ συνοῖσον. Τὸ μὲν

A exinde vero Conradus cum se contemni à Germanis ferre non posset, de reditu cogitare, ac tandem consilium hoc principi recludere. Qui partim distrahi à se cupiens reges, partim hominis dolens vicem, literas in hanc fere sententiam misit : *Quibus quantumvis modicum prudentiæ inest, solent res non fortuna, sed per se citra casum sortis metiri. Ergo & sensimus parum conducibile esse tibi, quod pri-* B *dem nimis bona spe fores, neque te nunc mediocriter infelicem, quippe affinem nostrum, iis ipsis, quibus antea, recreare pigrabimur. Simul tantarum gentium moderatoribus, curæ nobis fuit, ut honorem haberemus, consiliumque, quòd juvaret, daremus, non modo ob quam diximus caussam, sed etiam quia eodem religionis Christianæ sacramento devincti sumus. Nonne, nescio quomodo, posthabito, quod tantopere tibi pro-* C *futurum erat, per imprudentiam pejora elegisti? Verum hæc, quæ facta sunt, & infecta fieri nequeunt, transeant : ad ea vero, quæ nondum nos effugerunt, animum advertamus. Habent enim hanc naturam negotia ; fluunt asidue, nunquam consistunt: si quis ea prior præveniensque occupare maturaverit, totum habet : præterlapsa revocare æque est impoßibile. Dum itaque rebus tuis aliquis est re-*

δὴ γράμμα ἐν τούτοις τετέλεσο. Κορράδος δὲ ἐτύγχανε μὲν καὶ πρότερον ἤδη ἀβουλίαν ἑαυτοῦ καταγνοὺς, οὐκ ἔχων δὲ ὅτι καὶ δράσειεν, οὐ σφόδρα ἐθελούσιος Γερμανοῖς εἵπετο. Τότε δ' οὖν ἐπειδὴ καὶ τὰ βασιλέως παρ' αὐτὸν γράμματα ἦλθεν, ἕρμαιον αὐτίκα τὸ πρᾶγμα ἡγησάμενος, ἐδέξατό τε σὺν ἡδονῇ τοὺς λόγους, καὶ θᾶττον ὀπίσω ἐχώρει. Πρὸς Ἑλλησπόντῳ τε γεγονὼς διὰ τοῦ ἐνταῦθα πορθμοῦ ἐπὶ Θρᾴκην διέβη. Ἔνθα τῷ βασιλεῖ διατριβὴν ποιουμένῳ συγγεγονὼς, εἶτα ἐπὶ Βυζάντιον ἅμα αὐτῷ ἦλθεν. ἔνθα ἀνέσεις τε αὐτὸν τοῦ λοιποῦ διεδέξαντο, καὶ βασίλειοι καταγωγαὶ, θέατρά τε παντοδαπὰ, καὶ ἅμιλλαι ἵππων, καὶ δεξιώσεις λαμπραὶ, δι' ὧν κάμνον αὐτῷ τὸ σῶμα παρεμυθεῖτο. καὶ χρήμασι κεκοσμημένος ἱκανὰ, ἅμα τριήρεσιν ἐπὶ Παλαιστίνην ἀπήει, Νικηφόρου τοῦ Δασιώτου πλοῦ τε αὐτῷ ἡγουμένου, καὶ θεραπείας τῆς ἄλλης προνοοῦντος. ἔνθα καὶ ῥηξὶ τοῖς ἄλλοις ἐλθὼν ἐς ταυτὸ, καὶ τὰ εἰκότα ἐπὶ τῷ ζωοδόχῳ Χριστοῦ τελέσας τάφῳ, τῶν ἄλλων, ὡς δυνατὰ ἑκάστῳ ἐγεγόνει, ἐπὶ τὴν πατρίδα στελλομένων, αὐτὸς σὺν ναυσὶ ταῖς εἰρημέναις ἐκεῖθεν ἀχθεὶς Θεσσαλονίκῃ προσέσχεν, ἔνθα τὸ δεύτερον βασιλέα τε εἶδε, καὶ λόγων αὖ καὶ ὁμιλίας ἐκοινώνησεν. Ὁ δὲ βασιλεὺς τῶν πάλαι προομολογηθέντων ἀνεμίμνησκεν αὐτῷ· ἦσαν δὲ ταῦτα. Ὅπως Ἰταλίαν εἰς ἕδνον τῇ βασιλίδι ἀνασώσαιτο Εἰρήνῃ, ἣν καὶ

A *medii locus, ut commodum utileque sumas, festina.* In his literæ desierunt. Conradus cum jam ante quidem dementiam suam cognovisset, & quid faceret hæreret, haud grato animo Germanos sequebatur. Ubi vero perlata ad eum principis epistola, rem tantam repente oblatam pro lucro ducens, orationem & cum voluptate accepit, & retro agmen confestim movit. Ad Hellespontum

B cum venisset, freto transmisso descendit in Thraciam, vectusque ad præsentiam versantis ibi principis, simul cum illo Byzantium venit. Quo tum loco excepere eum quies, regia hospitia, spectacula varia, certamina equorum, gratulationes magnificæ, quibus fessum laboribus corpus reficiebatur; dein pecuniis abunde instructus, cum triremibus in Palæstinam abiit, dirigente navigationem Nicephoro

C Dasioto, atque alia omnia subministrante. Postquam ibi aliis conjunctus regibus vitali in sepulchro Christi justa perfecisset; ceteris prout integrum cuique in patriam redeuntibus, ipse dictis navibus Thessalonicam appulsus, secundo ibi in congressum colloquiumque venit imperatoris. qui & antepacta in memoriam illi reduxit, qualia erant: Ut reciperet Italiam dotem Eirenæ Augustę quam ille sibi co-

αὐτὸς

αὐτὸς ξυγγενῆ οὖσαν, τῷ βασιλεῖ κατηγγύησεν. Ὁρκίοις οὖν δευτέροις αὐτός τε καὶ Φεδερίκος τὰ σφίσι δεδογμένα πιστώσαντες, τῆς Ῥωμαίων ἀπαλλάττονται γῆς. Κορράδῳ μὲν οὖν ἐνταῦθα τέλος ἔσχον τὰ πράγματα. Τῷ δὲ Γερμανῶν Ῥηγὶ ἐκ Παλαιστίνης ἀναγομένῳ σὺν ναυσὶν, αἳ πολλαὶ περὶ τὰς ἐκεῖ σαλεύουσιν ἀκτὰς, μισθοῦ τοῖς βουλομένοις παρέχονται τὴν περαίωσιν, τοιάδε τινὰ ξυνέπεσε. Νῆες Σικελαὶ ἐπὶ καταδρομῇ γῆς Ῥωμαίων ἐξιοῦσαι πρότερον, ἐνταῦθα που τοῦ πελάγους ἐφέροντο. Ταύταις Ῥωμαίων στόλος περιτυχὼν, οὗ ὁ Χουρούπης κατῆρχεν, εἰς χεῖρας ἦλθε. Τύχῃ δέ τινι μαχομένων τῶν στόλων ἀμφοῖν συνέπλει τούτοις, καὶ ὁ Ῥήξ. Ἐπικρατεστέρων δὲ τῇ μάχῃ τῶν Ῥωμαίων ἤδη γεγενημένων, παρ᾽ ὀλίγον ἦλθε τοῦ ἁλῶναι καὶ αὐτὸς ἐξ αἰτίας τοιᾶσδε. Ἐπειδὴ ταῖς Σικελῶν, καθάπερ εἴρηται, ξυνέμιξε ναυσὶν, ἐκβὰς τὴν ἑαυτοῦ, Σικελὴν εἰσεπήδησε τριήρη, καὶ εἰ μὴ ταχὺ τοῦ κινδύνου συνιεὶς τῶν Ῥωμαίοις συμμαχίδων τινὸς σημεῖα ἐνέθετο φθάσας αὐτῇ, τάχα ἂν ὑπὸ ταῖς Ῥωμαίων ἐγεγόνει χερσί. νῦν δὲ πλείστους τῶν σὺν αὐτῷ ἀποκαλῶν, λάφυρον τοῦ πολέμου γεγενημένους, αὐτὸς μόγις ἐσώζετο. Ἀλλὰ βασιλέως ἑξῆς δεηθεὶς, τούς τε αἰχμαλώτους ἔλυσε, καὶ τὰ διηρπασμένα κεκόμιστο πάντα. Ἐνταῦθα τι πέρας ἡ τῶν ἑσπερίων ἐθνῶν εἰς τὰ Ῥωμαίων ἔσχηκεν ἐμβολή. Κορράδος δὲ εἰς τὴν

A gnatam imperatori desponderat. In hæc igitur pacta iterum jurati & ipse & Fredericus, finibus uterque excedunt Romanis. Res quidem à Conrado gestæ finem hic acceperunt. Germanorum autem regi ex Palæstina revertenti cum navibus, quæ magno numero illis in littoribus positæ mercede conducentes transportare solent, talia forte acciderunt. Naves Siculæ, quæ primum ad incursandos fines B Romanos exiverant, ibi tum æquore ferebantur; inque eas dum classis incidit Romanorum, cui prȩerat Churupes, pugna statim concitatur. Ita contracto utrinque certamine, forte fortuna ipse adnavigat rex; ac superioribus jam prȩlio Romanis quin captus fuisset, parũ sane hanc ob caussam abfuit. Postquam, ut modo diximus, commistus est Siculorum navibus, sua egressus, triremim conscendit Sicu- C lam, & ni intellecto repente periculo signum imposuerat illi sociæ Romanorum ratis, in manus utiq; Romanas extemplo venisset: nunc vero cõplures suorum nequicquam revocãs, utpote prædã belli factos, vix ipse servatus est. Sed imperator postea captivos solvit & quęcunq; rapta erant petenti restituit. Hic tũ gentium occidentalium in regiones Romanas finem invasio habuit. Reversus autẽ in patriã Conradus

πατρίδα παλινοστήσας, ὀλίγον ἐμβιοὺς ἐτελεύτησεν, οὐδὲν οὐδέπω ὧν βασιλεῖ διωμολογήκει πέρας δεδωκώς. Μεθ' ὃν Φεδερίκος τὴν ἀρχὴν ἔσχεν. ὅθεν δὲ ἐπὶ Φεδερίκον μετὰ Κοῤῥάδον τὸ Ἀλαμανῶν ξυνέπεσε κράτος, ὁ λόγος ἑξῆς παραστήσει μοι. Ὁ Ἀλαμανῶν ῥὴξ Ἐῤῥίκος ἔτι περιόντα τὸν πατέρα καθείρξας, τοῦ Ῥώμης τε ἀρχιερέως πολέμῳ περιγεγονώς, αὐτὸς παρανομώτατα τὴν ἀρχὴν ἔσχεν. οὗ δὴ ἕνεκα ἀμυνόμενοι τοῦτον Ἀλαμανοί, τετελευτηκότος οὐκέτι παισὶ τοῖς αὐτοῦ τὴν ἡγεμονίαν ξυγχωρεῖν ἔγνωσαν. Ἦσαν δὲ αὐτῷ παῖδες Κοῤῥάδος τε οὗτος, καὶ ὁ Φεδερίκου πατήρ. Λουτήριον δέ τινα ἄνδρα ἐσχατογέροντα καλέσαντες ἐπὶ τὴν ἀρχήν, τούτῳ τὴν Ἀλαμανῶν ἐπικράτησιν ἔδοσαν. ἀλλ' ἐκεῖνοι οὐκ ἀνασχόμενοι, εἰ τῆς πατρῴας ἐκπεσοῦνται ἀρχῆς, νεωτέροις ἐγχειρεῖν ἔγνωσαν πράγμασιν. ὃ γνοὺς ὁ Λουτήριος γέρων μέν, καὶ ἄλλως ἀκριβῶς ὤν, καὶ ἡλικίας πόῤῥω ἥκων, φύσει δὲ καλοκἀγαθίᾳ συνών, καὶ οὐδὲν οἷα μὴ σὺν ἁπλότητι καὶ λέγειν καὶ πράττειν εἰδώς, ὡμολόγει ἐπ' αὐτοὺς τὴν ἀρχὴν διαβιβάσαι, ἐπειδὰν τὸ χρεὼν αὐτὸν καταλήψεται. Ἐπειδὴ γοῦν ὀλίγῳ ὕστερον ἀπεβίω, τοῦ κλήρου ἐπὶ τὸν πρεσβύτατον τῶν ἀδελφῶν πίπτοντος, λέγω δὲ τὸν Φεδερίκου πατέρα, αὐτός, τὸν ἕνα πεπηρωμένος τοῖν ὀφθαλμοῖν, Κοῤῥάδον τὸν ἀδελφὸν ἀνθ' ἑαυτοῦ εἵλετο, ὅρκοις ὁμολογήσαντα πρότερον, ἐς Φεδερί-

A neque diu ſuperſtes conceſſit vita,
nihil exſecutus eorum, quæ principi ſpoponderat. Illi in imperium Fredericus ſucceſſit; ad quem ut poſt exceſſum Conradi arbitrium Alamannorum pervenerit, dicere deinceps aggrediar. Henricus rex Alamannorum incluſo carceri vivo adhuc patre, & victo bellis pontificeRomano, iniquiſſime imperitabat. Ea propter deturbantes eum Alamanni, regimen il-
B lo mortuo transferre ad liberos
noluerunt. Erant vero hi Conradus hic, & Frederici pater. Itaque accivere Lotharium quendam, ætate extrema virum, eique rei Alamannicæ arbitrium commiſerunt. Sed enim illi paterno ſe excidere imperio non ferentes, rebus novandis animos appellere. Quod ubi advertit Lotharius, ſenii ille maturi, ac multum provectæ ætatis, cæterum
C natura probus honeſtuſque, &
nihil niſi ſimpliciter & agere & dicere gnarus, condiciones facit, poſtquam vitæ finem ſibi fata poſuiſſent, imperium ad illos iri tranſmiſſum. Haud itaque multo poſt mortuo, cum ſors cecidiſſet ſuper majorem natu, patrem nimirum Frederici, altero orbatum lumine; pro ſe Conradum fratrem aſſumit, pollicitum juramento prius, regnum ad Frederi-

κον

κεν τὸν υἱέα τὴν ἀρχὴν ἐπειδὰν θνήσκοι διαβιβάσῃ. Διὸ Κορράδος τελευτῶν, ὥσπερ ἔφην, Φρεδερίκῳ τὸ στέμμα περιετίθει. Ταῦτα μὲν οὖν ὧδέ πῃ ἔσχε. Τὰ δὲ τῶν Σικελικῶν πολέμων ἐντεῦθεν ἀρχὴν εὗρεν.

cum filium, ubi & ipse vita concessisset, rediturum. Quapropter moriens Conradus sceptrum illi, sicuti narravimus, tradidit. Ea quidem in hunc modum peracta fuere. Bella autem Sicula initium jam inde duxerunt.

ΡΩΜΑΙΚΗΣ ΙΣΤΟΡΙΑΣ

Βιβλίον Τρίτον.

HISTORIÆ ROMANÆ

Liber Tertius.

Ρογέριος ἦν ἐς κόμητας μὲν τὸ πρῶτον τελῶν, δραστήριος δὲ ἄλλως, καὶ ῥέκτης ἀνήρ, δεινότατε πράγματα ῥάψαι, καὶ τὰ καθεστῶτα κινῆσαι δέξιος. Οὗτος Γηλιέλμῳ τῷ Λογγιβαρδίας δουκί, ὑφ' ὃν ἐτέτακτο, ἐς Παλαιστίνην ἀπαίροντι χρήματα δεδανεικώς, τὴν Λογγιβαρδίας ἀρχὴν τούτου δὴ ἕνεκα ἐνεχυρασθεῖσαν αὐτῷ ἔσχε. Τὸν Ῥώμης τε ἀρχιερέα τρόπῳ τῷ ῥηθησομένῳ βιασάμενος, ῥὴξ παρ' αὐτοῦ προσκεκλήρωτο. Ἐπειδὴ γὰρ Λογγι-

Rogerius primo Comitum in ordine erat, vir autem efficax & strenuus, rebus per dolum inveniendis subtilis, & quietarum felix turbator. Ille Gulielmo Longobardiæ duci, cujus erat sub ditione, eunti in Palæstinam pecunias fœnori dederat; & hoc nomine Longobardiam sibi oppigneratam tenuit, Pontificem autem Romanum eo, quem nunc exsequar, modo magis coegit, ut rex ab illo fuerit vocatus. Posteaquam enim occupa-

βαρδίαν

βαρδίαν πρὸς Ῥογερίου ἔχεσθαι, ὁ τῷ τηνικάδε τὸν Ῥώμης διέπων ἤκουσε θρόνον, ἤσχαλεν ἐπὶ τῷ πλημμελῆ, ἐκκλησίᾳ τῇ αὐτοῦ φάσκων προσήκειν ἀνέκαθεν αὐτήν. Ἐφ' οἷς ὁ Λουτέρης δεινοπαθήσας οὐκ ἀνασχόμενος εἰ τῷ Πάπᾳ περιφρονεῖται ἀξίωμα, στρατῷ μεγάλῳ εἰς Λογγιβαρδίαν ἐμβάλλει, μέρος τι οὐκ ἐλάχιστον Ῥογέριον ἀφελόμενος, ἐγγὺς ἤδη ἐγένετο τοῦ καὶ συμπάσης αὐτὸν ἀπελάσαι τῆς χώρας, εἰ μὴ Ῥογέριος καὶ πάλιν δολώσεις κατὰ τὸ ἔθος ἐννοήσας, ἀμαχητὶ τὸν Λουτέριον ἐκεῖθεν ἀπήλασεν, ὅπως δὲ ὁ λόγος ἑξῆς παραστήσει. Ἦν τις τῷ Λουτέρῃ γαμβρὸς, ὃς τὰ μέγιστα παρ' αὐτῷ ἐδεδυνήτο, καὶ τῷ Ἀλαμανῶν ἔθνει λόγου μετὰ Λουτέριον ἠξίωτο. Τοῦτον ὁ Ῥογέριος ὑπελθὼν χρήμασί τε ὑποκλέψας, ἀνέπεισε τῷ Λουτέρῃ μηδὲν ξυνειδότος σύνθημα τοῦ πολέμου τῆσδε καταλύσεως τῷ Ἀλαμανῶν δεδοκέναι στρατῷ. ἔστι δὲ τοῦτο οὐ σάλπιγγος ἠχὴ, ἢ τι ἄλλο τοιοῦτον, ἀλλὰ βάρβαρός τις καὶ ἀξύνετος τρόπος. μέλος γάρ τοι καθ' ἔθος ἐπὶ τοῦ στρατοπέδου ἐκλαληθὲν, οὐκέτι μένειν ἐφίησι τὸ στρατιωτικὸν, ἀλλ' ἅμα τε ἀκούει καὶ ἅμα σκεδάννυται ἕκαστος πρὸς ἀποδημίαν συσκευαζόμενος. Τοῦτο δὴ τὸ μέλος, καὶ τότε ὁ Λουτέρης γαμβρὸς τῷ Ἀλαμανῶν ἔθνει ἐπιθρυληθῆναι ἀθρόον ἐσκαιωρηκὼς, αὐτίκα ἐνθένδεν ἀναχωρεῖν ἐποίησε τὸν στρατόν.

A tam ab Rogerio Longobardiam intellexit ſedi qui tum præerat Romanæ, indignari facinus, diceréq; id regnum olim eccleſiam ad ſuam pertinuiſſe. Ea graviter accipiens Lotharius, jamque impatiens injuriæ, nec ferens Papæ auctoritatem minui; ingentibus copiis in Longobardiam irrumpit, magna agrorum parte exuit Rogerium; ac prope erat, ut tota is regione pelleretur, ni, ſicuti inſueve- B rat ad dolos iterum converſus, abſque ullo inde certamine Lotharium amoviſſet, quemadmodum à nobis in ſequentibus dicetur. Habebat affinem Lotharius maximæ apud ſe auctoritatis, & quem poſt regem potiſſimum Alamanni obſervabant. Hunc Rogerius pecuniis corruptum inducit, inſcio Lothario ſignum receptui exercitui Alamannico ut daret. Non fit tubæ id ſonitu, C aut alterius inſtrumenti, ſed modo barbaro & inepto. edita enim ſecundum conſuetudinem per exercitum cantilena haudquaquam indicium eſt continendi agminis; ſed ſtatim atque exauditur, rebus ad abitum expeditis, pro ſe quiſque dilabuntur. Eam tum temporis cantilenam cum repente per legiones cani mala fraude juſſiſſet Lotharii affinis, omne inde agmen continuo avola-

Πρὸς

Πρὸς ὅπερ ἀγανακτήσας ὁ Λωθήρης, ἐπεβάλετο μὲν τὴν ὀχλικὴν ὁρμὴν ἐπισχεῖν, ἐς πεντακοσίους ἀνασκολοπίσας ἄνδρας, οὐ μὴν καὶ ἐδυνήθη. Ἀλαμανοὶ γὰρ οὐδὲν ἧττον ἐξέρρεον, καὶ ποινῶν καὶ κολάσεων καθάπαξ ἀφροντιστοῦντες. Ὁ δ' ἀθυμίᾳ συσχεθεὶς ὁ Λωθήρης, πυρετοῖς τε λάβροις διὰ τοῦτο ἁλοὺς, ὀλίγῳ ὕστερον ἐξ ἀνθρώπων ἠφάνιστο. Κορράδος δὲ, καθάπερ εἴρηται, τὴν ἀρχὴν διαδέχεται. Ταῦτα μὲν τῇδε ἐχώρει. Ῥογέριος δὲ Λογγιβαρδίας καὶ πάλιν ἀ- B πρὶξ εἴχετο. ὅπερ μὴ φέρων ὁ Ῥώμης ἀρχιερεὺς, ὁμαιχμίαν ἐξ Ἀλαμανῶν ἑαυτῷ συστησάμενος, θυμῷ πολλῷ κατὰ Ῥογερίου ἐφέρετο. Ἀλλ' ὁ Ῥογέριος ἄφνω ἐστρατοπεδευμένῳ τούτῳ ἐπιφανεὶς, τούς τε ἀμφ' αὐτὸν ἐτρέψατο, καὶ αὐτὸν ζωγρείαν εἷλεν. Ἐπειδή τε ἤδη ἐν χερσὶν εἶχε, σκηνήν τινα τῶν ἀπὸ λίνου πεποιημένων διαπετάσας, καθίζει ἐπὶ ταύτης τὸν ἀρχιερέα, ἐς ἔδαφός τε καταβαλὼν ἑαυτὸν, πρηνής τε χερσὶ καὶ ποσὶν ἐ- C ρειδόμενος προσῄει. τὸ μὲν τὴν ἁμαρτάδα ἐντεῦθεν ἐξιλασκόμενος, τὸ δὲ καὶ ῥὴξ προσβεβλῆσθαι ἀξιῶν. ὁ δὲ δέχεταί τε προσιόντα (καὶ τί γὰρ ἂν ἔδρασε) καὶ ῥῆγα λοιπὸν ὀνομάζει. ἐξ ἐκείνου τε ῥὴξ ὁ Λογγιβαρδίας ἡγεμονεύων κεκλῆσθαι εἴωθε. Ῥογέριος δὲ ἐπειδὴ τοῦ κατὰ σκοπὸν ἔτυχε, πρέσβεις ἐς βασιλέα Ἰωάννην ἔτι περιόντα πέμψας, ᾐτεῖτο κῆδος τοῦ ἐκ βασιλείων αἱμάτων ἐπὶ παιδὶ

A vit. Quam rem indignissime ferens Lotharius, quo impetum sisteret multitudinis, quingentos circiter palo milites affixit; neque sic potuit tamen, cum nihilo minus Alamanni, nulla pœnæ & castigationis habita cura, effunderentur. Tum vero Lotharius animo deficere, febribus etiam corripi vehementibus, ac paullo post supremum diem claudere. Regno illius, ut modo diximus, successor Conradus potitur. His ita confectis rebus, Longobardiam iterum tenaciter Rogerius obtinebat. quod ubi non pateretur pontifex Romanus, Alamannis ad societatem armorū accitis, magno impetu in Rogerium proficiscitur. Verum is castrametantē nec opinatus invadens, ceteris in fugam conjectis, ipsum vivum capit. Cum jam illum in manibus haberet, tenso ex velis tentorio, in eo pontificem collocat, ipse humi prostratus ac manibus pedibusque pronus incumbens adrepit, tum ut peccatum quasi expiaret, tum supplicans una ut rex vocaretur. Pontifex accedentem excepit (quid enim faceret) & regem insuper appellavit: atque inde Longobardiæ Duces regium nomen adepti sunt. Posteaquam id quod intenderat effecit Rogerius, legatos misit ad Joannem adhuc superstitem, filio suo imperatorio è sanguine affini-

τρέψασθαι τῷ αὐτοῦ. Ἀλλ' οὔπω τέλος A ἔσχε τὰ τῆς πρεσβείας, καὶ Ἰωάννης τὸν βίον κατέλυσε. μετὰ δὲ τινα χρόνον Μανουὴλ ἤδη τὴν αὐτοκρατορίαν διέπων, ταὐτὰ καὶ πάλιν πέμψας ἠξίου. ὅθεν καὶ Βασίλειός τις ἐπώνυμον Ξηρὸς εἰς Σικελίαν ἀφῖκτο Ῥογερίῳ περὶ τούτου διαλεξόμενος. ἀλλ' ἐκεῖνος χρυσίῳ κλαπεὶς παρ' αὐτοῦ, ἀλλόκοτά τινα ὡμολόγει. ὧν δὴ κεφάλαιον ἦν, τὸ ἐν ἴσῳ μεγαλείῳ βασιλέα τε τοῦ λοιποῦ καὶ Ῥογέριον ἔσεσθαι. ὅθεν δὴ τὰς μεγάλας ἀναρραγῆναι συμβέβηκε B μάχας. Ἐπειδὴ γὰρ ὁ μὲν Ξηρὸς ἐς Βυζάντιον ἐπανιὼν τὸν βίον κατέστρεψε, δίκην οὔπω τῶν τετολμημένων δούς, βασιλεὺς ὅσα καὶ ἀθύρμασι ταῖς ἐκείνου πρεσβείαις προσεσχηκώς, Ῥογέριον αὐτοῦ χαίρειν εἴα. Θυμομαχήσας δὲ ἐκεῖνος ἐξαπατᾶσθαί τινα τὸ πρᾶγμα εἶναι οἰηθείς, στόλον ναυπηγησάμενος ἐν παρασκευῇ εἶχε, καιροφυλακῶν τρόπῳ ὅτῳ δὴ Ῥωμαίοις ἀμύνεσθαι. καὶ ἔτυχέ γε τοῦ κατὰ σκοπὸν ὁ βάρβαρος. Ἐν ἀκμῇ γὰρ C τῆς τῶν δυσμικῶν ἐθνῶν ἐς τὰ Ῥωμαίων ἐμβολῆς, Κόρινθόν τε καὶ Εὔβοιαν καὶ Θήβας ἠλήϊσαντο τὰς Βοιωτικάς. ἅτε γὰρ τοῦ Ῥωμαίων στρατοῦ ἐπὶ τοῖς ἀνὰ χεῖρας κατ' ἐκεῖνον ἠσχολημένου τὸν χρόνον, κατὰ πᾶσαν ἄδειαν ταῖς εἰρημέναις οἱ βάρβαροι ἐγκαθίσαντες πόλεσι, λαφύρων τὰς ναῦς ἐπλήσαντο. Ἐκεῖθεν τε ἐπὶ Κέρκυραν διαβάντες κατὰ κράτος αὐτὴν εἷλον. καὶ ὡς ἤδη οἰκείας μετ-

tatem petentes. Sed nondum expedita legatione Joannes moritur: interjecto deinde aliquo spacio, cum jam Manuel rerum potiebatur, missis iterum legatis eadem postulavit. ea propter in Siciliam trajecit Basilius quidam cognomine Xerus, ut iis de rebus cum Rogerio ageret. Sed enim is auro seductus pactiones facere monstrosas. quarum caput erat, æquali in posterum majestate imperatorem & Rogerium futuros: unde gravium caussa bellorum exstitit. Postquam namque Byzantium rediit atque insoluta audaciæ pœna mortem obiit Xerus; princeps, habitis ludibrio quasi legationibus, ipsum Rogerium valere jussit. Ille vero bellum animo affectans & illudere sibi imperatorem ratus, ædificare classem, eamque in procinctu habere, expectans occasionem, qua illatam à Romanis injuriam vindicaret. neque secius illa, ac speraverat barbarus, successit. Quo enim tempore in provincias Romanas impetus maxime ardebat Alamannorum, is Corinthum & Eubœam & in Bœotia Thebas occupavit. quippe ea tempestate præsenti intento operi exercitu Romano, sine ullo impedimento dictis urbibus incubuere, & præda naves barbari impleverunt. Digressi inde Corcyram, urbem vi ce-

πιοδντ

ποιοῦντο παντὶ κρατυνάμενοι τρόπῳ. A Ὁ μαθὼν βασιλεύς, ἐν ἀθυμίᾳ πολλῇ ἦν· ἀμέλει καὶ ἐσκέπτετο, πῶς ἂν τὸν Ῥογέριον ἀμυνεῖται, καὶ δίκην τῶν τετολμημένων ἐπιθήσει τὴν δέουσαν. Στόλον οὖν τριήρεων μὲν πεντακοσίων, ἱππαγωγῶν δὲ καὶ φορταγωγῶν ἐς χιλιοστὺν ὅλην ἑτοιμασάμενος, αὐτὸς μὲν ᾔει διὰ τῆς ἠπείρου, ὁ δὲ στόλος διαπόντιος ἐφέρετο ἐξαίσιος οἷος. Ἄρτι δὲ περὶ τὴν πόλιν Φιλίππου γεγονότι τῷ αὐτοκράτορι, φήμη περιέπτη, ὅτι δὴ στρατεύματα B Σκυθικὰ Ἴστρον περαιωσάμενα, κείρουσί τε τὰ ἐν ποσὶ καὶ ληΐζονται πάντα. Καὶ εἷλόν γε καὶ πόλιν λόγου ἀξίαν, τῶν Ἴστρου καὶ αὐτὴν πινουσαν ναμάτων. Τὰ μὲν δὴ τῆς φήμης ἐν τούτοις ἦν. Ὁ δὲ βασιλεὺς ἐκεῖθεν ἀποκλίνας, τὴν ἐπὶ τὸν Ἴστρον ἀναχομένας κελεύσας. οὔπω δ' ἐκείνων ἀφικομένων, ἐν τούτῳ τὰς ταύτῃ περιῄει θηρώμενος πεδιάδας. συμβαίνει γὰρ αὐταῖς ἅτε ἐρήμοις παντάπασι καὶ ἀοικήτοις ἐκ πολλοῦ C προσκειμέναις, ἀγεληδὸν ἀγρίων τι χρῆμα ζώων ἐντρέφεσθαι. Ἐν ᾧ δὲ πρὸς τούτοις ἦν ἠγγέλη αὐτῷ, ὅτι δὴ Σκύθαι λείαν ἐκ τῆς Ῥωμαίων ἐπαγόμενοι τὸν Ἴστρον ἄρτι που διέβησαν· οὐ μακράν τε ἄποθεν ἐσκηνωκότες αὐλίζονται. ἅπερ ἐπειδὴ ἤκουσεν, ὡς εἶχε τάχους αὐτίκα ἐπὶ τὸν ποταμὸν ἐφέρετο. Ἔνθα λεμβαδίῳ περιτετυχηκώς, ὁποῖα πρὸς ταῖς τῇδε ὄχθαις ἑστάναι εἰώθασι, ξύλου πεποιημένα ἑνός,

perunt, ac jam propriam sibi ducentes omni genere munitionum sepsere. His auditis confundi animo princeps; dein cogitare secum, ut Rogerium ulcisceretur, & dignas maleficio pœnas imponeret. Itaque instructa classe triremum quingentarum, hippaginum & onerariarum non minus mille, ipse terra iter facit, mari inusitatæ magnitudinis classem dimittit. Ad Philippopolin cum pervenisset imperator, fama affertur, agmina Scytharum transducta Istrum obvia quæque rapere ac depopulari, jamque civitatem memorabilem & adjacentem flumini expugnasse. Ejusmodi audito rumore, abscedens inde naves Istrum versus flectere iter jubet; dumque nondum advenissent, sitas ibi planicies venando interea perlustrat; namque in longum extensæ, desertæ penitus & incultæ, ingentem ferarum copiam gregatim alunt. Huic operi intento nunciatur, Scythas abactis è solo Romano prædis Istrum transivisse modo, nec procul eo castris positis considere. quod simul accepit, quantum potuit maturare, ad flumen contendit. Ibi naviculam cum reperiret, quales illic ad ripam subductæ stare solent, uno ex ligno fabricatam, eam ad se mandat impelli. Sed restitit pervicax por-

ἐκέλευεν ἄγεσθαι τοῦτο πρὸς αὐτόν. A Ἀλλ' ἦν ἰσχυρογνώμων ὁ προθυμεύς, καὶ βασιλέα μεταπέμπεσθαι τοῦτον ἀξιῶν. Εἰ βασιλεὺς τῶν καθ' ἡμᾶς ἐμέμελεν εἶπεν, οὐκ ἂν ὅ τε Δεμνίτζικος ἑάλω (Οὕτω γὰρ τὸ τοῖς Σκύθαις, ὥσπερ εἴρηται, αἱρεθὲν ὀνομάζετο φρούριον) καὶ τὰ καθ' ἡμᾶς πρὸς τῶν βαρβάρων κατ' ἐξουσίαν ἤγετό τε καὶ ἐφέρετο. Λέγεται τοίνυν πρὸς ταῦτα διηγανακτηκότα τὸν βασιλέα, Ναὶ δὴ φάναι μὴ ἂν αὐτὸς εἴην, ᾧ τὰ Ῥωμαίων θεόθεν ἐπιτέτραπται πράγ- B ματα, εἰ μὴ αὐτίκα τῶν τετολμημένων Σκύθαι δώσουσι δίκας. Διὸ δὴ τὸ μὲν λοιπὸν τοῦ στρατεύματος, αὐτοῦ που καὶ ἐπὶ ταῖς ὄχθαις ἐνστρατοπεδευσόμενον ἔλιπεν. αὐτὸς δὲ τῶν νεῶν οὔπω, καθάπερ εἴρηται, ἀφικομένων, τοὺς λέμβους ἀλλήλοις ξυνδήσας καὶ ἁρμοσάμενος, σὺν πεντακοσίοις τῶν ἀμφ' αὐτὸν τὸν Ἴστρον διέβη, μέλλοντι ἐπιπρόσθεν ἰέναι δυσὶν ἄλλοις ἐντυγχάνει ποταμοῖς ναυσιπόροις. Ὡς οὐδαμῆ λεμβάδιον ἐνταῦθα δι- C εφαίνετο, ᾧ χρήσαιτο ἄν τις ἐς τὴν περαίωσιν· ἐκέλευε τοῖς περὶ αὐτόν, ταῖς τῶν ἵππων οὐραίοις τὰ ἐπὶ τῷ Ἴστρῳ ἀκάτια ξυνδήσαντας εἰς τοὺς εἰρημένους μετάγειν τῶν ποταμῶν. οὗ γεγονότος ἀμογητὶ διέβαινον. Χῶρον δέ τινα δολιχὸν διαμείψαντες, ἄχρι καὶ ἐπὶ ὄρος τένι ὅρμον ἦλθον, ὅπερ ἀγχοῦ Ταυροσκυθικῆς ὁρίων ἀνέχει. Ἔνθα τὸ τῶν Σκυθῶν στρατόπεδον ἀνδρῶν παντάπασιν ἔρημον εὑρηκότες,

A titor, & cum à principe navem illam desiderari audisset, *Si imperator*, inquit, *curam habuisset rerum nostrarum, neque capta à Scythis Demnitzicus*, (arx sic vocabatur, quam Scythæ, ut dictum est, occupaverant) *neque nostra hic à barbaris direpta pro libitu & ablata fuissent*. Illa ægre ferunt accepisse principem, ac dixisse; *Ne sane is sim, cui divinitus commissa est res Roma-* B *na, nisi audacia continuo pœnas dederint Scythæ*. Quapropter cetero agmine castra in fluminis ripa locare jusso, ipse cum militibus quingentis, quia nondum advenerat classis, junctis & connexis inter se lembis, Istrum superat, atque ultra procedere cum vellet, duo alia in flumina incidit, item navigabilia. At vero nusquam navigio apparente, quod usui esse C possit ad manum transportandam; suis imperat, ut relicta in Istro acatia caudis alligarent equorum, & sic ad dicta flumina transveherent. quo facto absque ulla difficultate perveniunt. Loco deinde spatioso transmisso, ad montem succedunt propinquum finibus Tauroscythiæ Tenihormum. ibi cum vacua prorsus ac deserta invenerunt castra Scytharum (nam

(ᾤχοντο

(ᾤχοντο γὰρ οὐ πολλῷ πρότερον ἀπιόντες,) προσωτέρω ἐχώρουν. Ἐπεὶ δὲ ἀμφὶ μέσην ἡμέραν ἤδη ἦν, καὶ οὐδεὶς οὐδαμῇ πολεμίων διεφαίνετο, Σκύθας τοὺς ὅσοι Ῥωμαίοις ξυνεστράτευον ἀπολεξάμενος βασιλεύς, ὑπὸ στρατηγοῦντι Γιφάρδῳ, ἀνδρὶ πολέμων ἐμπείρῳ πολλῶν, αὐτοὺς μὲν ὀπίσω τῶν πολεμίων ἰέναι ἔπεμψεν, ἰχνοσκοπήσαντάς τε, καὶ ὅπῃ δυνατὰ ἔσται, μαχησομένους. αὐτὸς δὲ κατόπιν ἐπορεύετο σχολαιότερον. Οὐκ εἰς μακρὰν οὖν ὁ Γιφάρδος τοῖς πολεμίοις ἐντετυχηκώς, ἐπειδὴ μὴ ἐθάῤῥει τῇ συμβολῇ, (τὸ γὰρ βαρβάρων πλῆθος ἀριθμοῦ κρείσσων αὐτῷ κατεφάνη,) πέμψας ἐπὶ τὸν βασιλέα, ἥκειν αὐτὸν τὴν ταχίστην ἐδεῖτο. Ταῦτα ἐπειδὴ βασιλεὺς ἤκουσεν, αὐτός τε πρὸς τοῖς ὅπλοις αὐτίκα ἐγένετο, καὶ τὸ στράτευμα ἐξώπλισεν ἅπαν. ὀπίσω τε Σκυθῶν διώξοντες εἰς χεῖρας ἤδη ἦλθον αὐτοῖς. Σκύθαι τοίνυν τὸ μὲν πρῶτον ἔστησάν τε ὡς ὑποδεξόμενοι σφᾶς, καὶ ἐς φάλαγγα ταξάμενοι, βοήθειάν τε σφῶν τε αὐτῶν, καὶ ὧν ἐπήγοντο λαφύρων προπονεῖσθαι ἤθελον. ἥ τε συμβολὴ ἑκατέρωθεν σὺν ὠθισμῷ καὶ βίᾳ ἐγένετο. Ὅτε δὴ πολλοὶ μὲν καὶ ἄλλοι Ῥωμαίων ἄνδρες ἐγένοντο ἀγαθοί, βασιλεὺς δὲ πάντων μάλιστα· τῶν γὰρ πολεμίων ἔγγιστα ἐγκειμένων ἰσχυρῶς, αὐτὸς σὺν τῷ δόρατι ἐπελαύνων, τὸν συνασπισμὸν αὐτοῖς ἔλυεν, οὐ καθ' ἕνα μόνον, ἀλλ' ἤδη καὶ σὺν δύο πολλοὺς ἐκείνων ἀποκτείνους. ὅθεν καὶ τῷ ἀνυποστάτῳ τοῦ βασιλέως προκεκινημένων

A illi paullo ante se inde receperant) longius progrediuntur. Medio autem die ubi nemo hostium conspiciebatur, Scythas auxiliares seligit imperator, & Giphardo duce, expertæ militiæ viro, consequi vestigiis hostem jubet, ac, si ferret occasio, prælium transigere. ipse à tergo lento interea gradu subsequitur. Initio statim itineris hostium incidens in agmen Giphardus, B seque in aciem committere non ausus, quod barbarorum copiæ numero longe majores videbantur; missis ad principem nunciis, ut & ipse accederet, orabat. Hac re cognita, & se repente & exercitum omnem armat imperator: mox à tergo Scythas adorti, concitant modo prælium. Itaque primo quidem Scythæ, velut subeuntes excepturi, restare: ipsi in phalangem or- C dinati auxilia tum pro se, tum præda adducta, primis periculis objicere. pugna fuit atrox utrinque & vehemens. Multi tum Romanorum factis militaribus fuere clari, ante omnes ipse imperator, qui, acriter urgentibus hostibus, invectus hasta dissipavit pugnantium ordines, neque singulis modo, sed binis etiam simul transfigendis ingentem stragem edidit. ita principis invicto

ὁρμῆς, Ῥωμαῖοι ὁλοσχερέστερον κατ' αὐτῶν ἐπιβρίσαντες, λαμπρῶς ἤδη τὴν ἐπαγωγὴν ἐποίουν. Πολλοὶ μὲν οὖν βαρβάρων ἔπεσον, ἑάλωσαν δὲ καὶ εἰς ἑκατὸν μάλιστα, ἐν οἷς καὶ Λάζαρος ἦν ἀνὴρ ἐπὶ πλεῖστον μὲν ἀνδρείας ἥκων, ἐπὶ τοῖς ἐν σφίσι Φυλάρχοις ἀπόβλεπτος ὤν· τοὺς δ' ἄλλους ἵππων τε ἀρετὴ, καὶ τὸ τῶν ὀρῶν διεσώσατο λάσιον, ἃ τῇδε πολλὰ παρατέταται. Ῥωμαῖοι δὲ τὰ ἐκ προνομῆς ἀνεχόμενοι πάντα, ὀπίσω λοιπὸν ἀνεχώρουν, ὅτε δὴ καὶ Σώτας ἐκεῖνος, ὃν πλούτῳ τε καὶ γένει, καθάπερ εἴρηται, διενεγκόντα ἀνδραποδισθῆναι Σκύθαις ξυνέβη, ἀδείας λαβόμενος, φυγὰς ἐπὶ τὸ στρατόπεδον ἦλθε. Τοῦτο τὸ τρόπαιον ἐξ ὑπογύου κατορθωκὼς ὁ Αὐτοκράτωρ, ἐκεῖθεν ἀπήλαυνε, πρὸς τὸν κατὰ Σικελίας ἤδη συσκευαζόμενος πόλεμον. Τοσοῦτον γὰρ αὐτῷ τὸ περὶ τοὺς πολεμικοὺς καμάτους ἄτρυτον ἦν, ὅσον οὐδέπω οὐδενὶ οἶμαι ὑπῆρξε, καὶ τῶν τῆς κοινῆς καὶ στρατιωτικῶν γεγονότων μοίρας, μὴ ὅτι γε βασιλεῦσιν, ἢ στρατηγοῖς. Ἤει τοίνυν Σικελίαν τε περινοῶν καὶ Ἰταλίαν πᾶσαν· ἀλλ' ὡς ἔοικε τύχη, καὶ δόξαν ἀληθῆ παραλύεται, καὶ τὴν σὺν ἐπιστήμῃ στρατηγίαν πῃ οὐδενὶ ἐς τοὐναντίον ἅπαν ἀποκλίνειν ἐπίσταται. Ὁ μὲν γὰρ, καίτοι τῶν Σκυθικῶν μεταξὺ περιεσπακότων, ὅμως ἔφθη ἐπὶ Καιρατῷ τῷ χώρῳ ἐπιστάς. ὅθεν καὶ τὴν ἀπόπλοιαν ποιεῖσθαι ἐχρῆν. Τὸν δὲ στόλον ξυνέβαινεν, εἴτε πνεύμασιν

A impetu de gradu demotis, miles Romanus integris viribus ingruens, totam aciem perrupit. Plurimi tum cecidere barbarorum, centum circiter capti, interque eos Lazarus, fortitudine insignis & proxime Phylarchos barbarorum conspectus: reliquos equorum virtus, & hirsuta montium, qui frequentes ibi adjacent, servaverunt. Romani autem postquam cuncta pabulationibus absumserant, retro deinde movere; B & Sotas ille, quem genere & divitiis præcellentem, ut diximus, ceperant Scythæ, nactus libertatem, fuga in castra pervenit. Hac recens parta victoria, abscessit princeps, ad inferendum Siciliæ bellum omnia apparans. Tantum enim in illo ardoris erat, tantum animi indefessi ad bellicos labores, quantum ne ulli quidem unquam adfuisse credo vel vulgarium in exercitu militum, C nedum ducum aut imperatorum. Ibat igitur Siciliam animo complectens & Italiam universam. sed, ut solet, fortuna veram sententiam amoliri, & militiam arte ac scientia nixam vertere in contrarium facillime potest. Ille quidem, etsi res Scythicæ interim eum avocarant; nihilominus tamen ad Cæratum occurrit, locum unde institui navigationem oportebat. Tum quoque

ἐναντίοις

ἐναντίοις τοῖς ἐπὶ τὰ πρόσω ἀποκοπέντα, εἴτε καὶ τῇ τοῦ δουκὸς περὶ ταῦτα ἀμαθίᾳ, ὀψὲ καὶ κατόπιν ἐλθεῖν τοῦ καιροῦ. Ἔαρος γὰρ τῶν Βυζαντίων ἀναχθεὶς λιμένων, φθινούσης ἤδη τῆς ὥρας ἐς βασιλέα κατῆρεν. Ἐντεῦθεν τε τὰ Ῥωμαίων ἔσφηλε πράγματα. ἀνέβη μὲν γὰρ καὶ τὴν διήρη ὁ βασιλεὺς, καὶ τὸ ναυτικὸν ἅπαν πρὸς ταῖς κώπαις ἐκάθητο, ὡς αὐτίκα ἀποπλευσόμενον, ἀλλὰ χειμὼν ἄγριος καὶ πνευμάτων βία αἰφνίδιον καταῤῥαγεῖσα, ἀπεῖρξαν αὐτὸν τοῦ ἐγχειρήματος. Πελάγιόν τε γὰρ ἐνταῦθα δεινῶς ἀχανὲς τέτακται, καὶ ἔστιν ἐπιεικῶς κινδυνώδης ὁ πλοῦς, καὶ μάλιστα χειμῶνος. ὅθεν καὶ αὐτὸς μὲν ἐπί τινα χῶρον ἀγχοῦ τῆς Βεῤῥοίας ἀναζεύξας ἐνταῦθα διεχείμαζε. Τὸν δὲ γαμβρὸν Στέφανον, ὃν Κοντοστέφανον σμικρολογούμενοι οἶμαι ἐκάλουν. (βραχὺς γὰρ τὴν ἡλικίαν ἦν) ἐπὶ Κέρκυραν ὑπὸ Σικελῶν τῷ τηνικάδε, καθάπερ εἴρηται, ἐχομένην, σὺν παντὶ τῷ ναυτικῷ ἔστελλε Ῥωμαίοις ταύτην ἀνασωσόμενον. ἀλλ᾽ ὁ μὲν πρὸς τῇ πόλει γινόμενος πεῖράν τε παντοδαπῇ τῷ περιβόλῳ προσαγαγὼν ἐνταῦθα τὸν βίον κατέλυσεν. ἔτι τῶν πραγμάτων ἠωρημένων, τρόπῳ ὥσπερ αὐτὸς ἐρῶν ἔρχομαι. Κλίμακα λίαν ἐπιμήκη κατασκευάσας, πολλῷ τε τειχέων ὑπερανισταμένην τῶν ἐκτὸς, διὰ ταύτην ἐπὶ τὴν πόλιν ἀνῆγε τὸ στράτευμα. Λίθου τοίνυν μέγα τι χρῆμα τῆς ἀκροπόλεως ἐκ μηχανῆς τινὸς ἀ-

A & classis, sive adversis detenta ventis, sive ducis imperitia, serius minimeque in tempore advenit. namque portibus vere egressa Byzantinis, exacta jam modo æstate ad principem devecta est. Inde consilia remque Romanam fefellit. quippe imperator conscenderat biremem, & tota classis, velut jamjam discessura, remos expediverat; cum acris hiems, visque repente suboriens ventorum, præpedivere B incœptum. Adjacet enim vastum ibi mare, eoque periculosam navigationem dedit, hieme imprimis; unde in locum haud procul Berrhœa concessit princeps & hiemavit. Generum autem Stephanum, quem diminuendi ergo Contostephanum appellabant, (erat namq; statura exigua) ad Corcyram, quæ tum temporis, ut scripsimus, parebat Siculis, Romano imperio restituendam, cum omni navium ap- C paratu dimisit. Sed is ad civitatem ubi venit, ejusque munitiones omnibus tentat modis, vitam amittit, rebus adhuc suspensis ac dubiis, quemadmodum dicere nunc aggredior. Scalam quam altissimam murisque exterioribus multo sublimiorem fabrefecit; per eam transmittere militem in civitatem contendit. Lapis autem ingenti magnitudine arte quadam de summa arce dejectus & ad scalam collisus

φεθὲν

φθὲν, τῇ κλίμακι προσερείσασα. ὑπὸ A
σφοδρότητός τε καταγὲν τεμμάχια
πολλαχοῦ διαφῆκεν, ὧν ἕν ἐπὶ τὸν δοῦ-
κα μετενεχθὲν, καιρίαν αὐτὸν ἐπλή-
ξεν. Ὁ δὲ καίτοι θνήσκοντος, ὅσον οὐκ
ἤδη αἰσθόμενος αὐτοῦ, ὅμως πολλὴν
ἐποιεῖτο πρόνοιαν, ὅπως ἂν μὴ συν-
αισθήσεως ἀμφοτέροις γεγενημένης,
Ῥωμαίοις μὲν δειλία, ὡς τὸ εἰκὸς,
θάρσος δὲ Σικελοῖς ἤδη ἐνδιδοῦσι
γένοιτο. διὸ καὶ αὐτὸν μὲν ἡσυχῇ ἐπὶ
τῶν τῆς νεὼς ἐκέλευεν ἐνθεμένους κα-
ταστρωμάτων, ἔργου καὶ πάλιν ἔχε- B
σθαι. Ἀνδρόνικον δὲ, ὃς ὕστατος αὐτῷ
τῶν παίδων ἐγένετο, καὶ τῶν πελε-
κυφόρων προσκαλεσάμενος τὸν ἐξάρ-
χοντα, παραινέσεις προσῆγε μηδα-
μῇ τοῦ θάρσους ἐνδοιάσαι Ῥωμαίους.
ἀλλὰ νῦν ἔτι μάλιστα πρὸς ἔργοις γίνε-
σθαι, ὅτε οὐ μακρὰν ἐλπίδων ἑστήκασι τοῦ
τὴν πόλιν ἑλεῖν. Ἀλλ' ἦσαν ταῦτα ψυ-
χῆς μὲν οἶμαι γνωρίσματα ἀνδρικῆς,
καὶ τὸ ὅλον ἀρειϊκῆς τε καὶ φιλοπάτρι-
δος. Τὸ δὲ πρᾶγμα ἅμα τε ἐπέπρα-
κτο, καὶ ἅμα τοῖς πλήθεσιν ἔκπυστον γε- C
γονὸς, εἰς τοὐναντίον περιήνεγκε πάν-
τα. Ῥωμαίους τε γὰρ καίτοι τειχέων ὕ-
περθεν ἤδη γεγενημένους ἀπεώσαντο Σι-
κελοί· καὶ σύγχυσις εἶχε πάντα καὶ
θροῦς· καὶ τὰ μὲν τῶν Ῥωμαίων ἐν τού-
τοις ἦσαν. Βασιλεὺς δὲ τούτων ἀκούσας,
ἠνιάθη μὲν ὡς τὸ εἰκός. στολάρχην δὲ
ἀντ' αὐτοῦ προκεχειρισμένος ἀνεν-
δότως τῆς πολιορκίας ἐκέλευεν ἔχε-
σθαι. Τοῦ δὲ καὶ αὐτοῦ οὐδὲν ὅτι καὶ
λόγου ἄξιον ἐνδειξαμένου, (στάσις μὲν

A est: ac vehementiore quo adige-
batur impetu dissecti passim deci-
dentibus frustis, unum ad Ducem
perlatum letali eum vulnere per-
cussit. Ille vero se tantum non mo-
ri sentiens, omnia providere, ne,
casu utrinque cognito, metus, ut
erat probabile, Romanis, animus
autem Siculis, jam modo succum-
bentibus, adderetur. ideo man-
dare, ut se tacite in foris deposi-
to, opus denuo repeterent. An-
B dronicus vero, qui filiorum erat
minimus, & præfectus bipenni-
ferorum, advocatos hortatur, ne
desponderent animos Romani; sed
nunc potissimum rebus adessent,
cum potiundæ urbis spes nec sera
affulgeret. Erant hæc indicia, cre-
do, virilis prorsusque bellicosi &
patriæ animi amantis. Verum
hoc simul factum fuit, simulque
à multitudine intellectum, o-
mnia statim in contrarium mutari.
C Romani enim, licet supra muros
jam escenderant, repellebantur ta-
men à Siculis: tumultus ac conster-
natio omnia implebant. Atque ea
tum facies erat rei Romanæ. His
cognitis, imperator mœrore, ne-
que mirum, affici, aliique in defun-
cti locum designato classis præfe-
cto jubere, civitatem absque ul-
la remissione summis viribus im-
pugnaret. Sed & ab illo nulla me-
morabili gesta re, (quippe sedi-

γὰρ

γὰρ Ῥωμαίων μεταξὺ Οὐεννέτων τε, A
οἳ τῇδε σὺν αὐτοῖς ἐστράτευον ἐξαπι-
ναίως ἀναφθεῖσα τὸ κατορθωτικὸν τοῦ
Ῥωμαίων παρείλετο στρατοῦ) τέλος
ἠνάγκαστο αὐτὸς βασιλεὺς ἐνταῦθα
γεγονὼς τῆς πολιορκίας ἅψασθαι. Οὐ-
εννέτοις γοῦν, καὶ τῷ Ῥωμαίων στρα-
τῷ τὰ διάφορα λύσας, δίκας τε
τοῖς ἐξ ἀμφοτέρων αἰτίοις πραξάμε-
νος τὰς προσηκούσας, κραταιότατα
τῷ περιβόλῳ ἐπέθετο. Καὶ ὁ μὲν πρὸς
τούτοις ἦν. Ῥογέριος δὲ ὁ Σικελῶν
τύραννος πρὸς τῇ Κορκύρᾳ διατρί- B
βειν βασιλέα πυθόμενος, στόλον ἐπὶ
γῆν τὴν Ῥωμαίων ἔπεμπεν, ἐκεῖνο
κατὰ νοῦν ἔχων, ὅπως δηλαδὴ τῇ
πρὸς ἐκεῖνα μεταφορᾷ τῆς πολιορκίας
ἀποσχέσθαι καταναγκάσειε. Βασιλεὺς
δὲ μοίρας τινὰ τῶν σὺν αὐτῷ ἀποθέ-
μενος νεῶν, αὐτὰς μὲν ὑπὸ στρατη-
γοῦντι τῷ Χουρούπῃ Σικελοῖς ἐπὶ τὴν
Ῥωμαίων, ὥσπερ ἔφην, ἰοῦσιν ἀντιτα-
ξομένας σπουδῇ ἔπεμπεν. Αὐτὸς δὲ ἔτι
μᾶλλον ἐνέκειτο πικρότατα Σικελοὺς
πολιορκῶν. Κλίμακας γὰρ ὑπερμε- C
γέθεις διὰ τῶν νεῶν τοῖς τείχεσι προσ-
ερείσας, μόγις μὲν καὶ ξὺν βίᾳ,
ἀνῆγε δ' οὖν ὅμως τὸ στράτευμα. ὅ-
τε ξυνέβη μίαν τῶν κλιμάκων τῷ
τῶν ἀνιόντων ἄχθει κατασπασθεῖσαν,
εἰς θάλασσαν πολλοὺς ἐνεγκεῖν. Οἳ
δὴ τλήμονες τὰς ψυχὰς ἐκφυσήσαν-
τες πολύν τινα τῆς αὐτῶν ἀρετῆς Ῥω-
μαίοις ἀπολελοίπασι λόγον. Ἀλλὰ
Σικελοί, καί τοι ἔνδον ἤδη τειχέων
Ῥωμαίους γεγονότας ἰδόντες, ἐνδιδόναι

tio Romanos inter Venetosque,
qui tum arma conjunxerant, re-
pente exorta, omnibus recte fa-
ciendi consiliis destituit Roma-
num militem) coactus tandem
est ipse princeps recipere se eo &
oppugnationi accingere. Itaque
diremtis Romani Venetique exer-
citus simultatibus, & sumta utrin-
que à capitibus decenti pœna,
maximo impetu munitiones ag-
greditur. His rebus occupato prin-
cipe, Rogerius Siciliȩ tyrannus u-
bi ad Corcyram esse imperatorem
accepit, classem mittit in fines Ro-
manorum; id animo agitans, ut ea
belli translatione solvendȩ obsidio-
nis necessitatem principi impone-
ret. Verum is divisis navibus, par-
tem alteram ducȩ Churupo ad re-
sistendum euntibus ad regiones
Romanas Siculis confestim able-
gat. ipse persistit in oppugnanda
pertinacissime Corcyra. Scalas
namque longissimas è navibus
muris applicat difficulter & non
sine vi, simulque exercitum adi-
git; adeo ut earum una conscen-
dentium diffracta pondere, com-
plures in altum disjecerit. Qui
miserum in modum effusa ani-
ma egregiam virtutis suæ me-
moriam Romanis reliquerunt.
Verum Siculi etiamsi intra mœ-
nia evasisse jam Romanum mi-
litem conspicerent, non ideo

βασιλεῖ τὴν πόλιν οὐδαμῇ ἤθελον. ὅθεν καὶ ἐπὶ τὴν ἀκρόπολιν ὡς εἶχον τάχους ἀναδραμόντες, ἐντεῦθεν ἠμύνοντο, λίθους καὶ βέλη, καὶ ἅπαν τὸ παρατυχὸν, ὡς ἐξ οὐρανοῦ τινὸς ὀμβρηθὲν ἐπ' ἐκείνους ἀφιέντες. Ἐπὶ τοσοῦτον γὰρ ὕψος ἀνέρπει τὸ φρούριον, ὡς μηδ' ὀφθαλμῷ ῥαδίως ἐξεῖναι τὴν οἰκοδομίαν ἀναβαθέντι περιαθρεῖν. Ὅτε δὴ λέγεται, θυμῷ τὸν βασιλέα παραζέσαντα πρὸς τὸ ἐκ τῆς τύχης ἐκεῖνο δυσκλήρημα, ὄρθιόν τε ἐφ' ἧς ἐφέρετο στῆναι διήρους, καὶ B τοῖς ἐπὶ τῆς εἰρεσίας κελεύειν προσάγειν αὐτίκα τοῖς τείχεσι τὴν ναῦν, ὡς αὐτὸς οἶμαι τῆς ἀνόδου πειράσαιτο. Ἀλλὰ τοῦτο μὲν τῶν στρατηγῶν τινὲς, καὶ πρὸς αἷμα ἐγγίζοντων αὐτῷ, παντὶ σθένει διεκώλυσαν, δοκῶ μὴ οὐδὲ αὐτῷ σφόδρα ἐθέλοντι. πρὸς γὰρ τῷ γενναίῳ καὶ ἀσφαλὴς ἦν τὰ πολλά. ἤδη δὲ τινων ἔγωγε καὶ θρασύτητος αἰτίαν προστριβόντων ἤκουσα αὐτῷ. δαιμόνιον γὰρ ἀεὶ καὶ ἀνδρείας πρόσω ἔστρεφε λῆμμα. Ἀμέλει C καὶ ἑκκαίδεκα ἐνιαυτῶν πολλάκις ἑνὸς χερσὶν οἰκείαις ζωγρείας παρέσχετο βαρβάρους. δι' ἅπερ καὶ ἡ ἐξ Ἀλαμανῶν αὐτῷ ξυνοικήσασα ἐπὶ μέσης ἐξελάλησε τῆς συγκλήτου βουλῆς, μεγάλου μὲν καὶ αὐτὴ καὶ πολεμικωτάτου γένους, εἰποῦσα. μηδέπω δὲ μηδένα τῶν ἁπάντων ἀκοῦσαι τοσούτοις εἰς ἐνιαυτὸν ἐγκαλλωπισάμενον ἀριστεύμασιν. ὅτε γε μὲν πρὸς τῷ Κερκυραίων τείχει

Atamen civitatem tradere, ſed in arcem quam celerrime fugientes, ex ea ſe tueri, lapides, tela, & quæ alia fortuna præſens arma ſubminiſtrabat, inſtar fuſi cœlo imbris in ſubeuntes jacere. Tantam enim in altitudinem aſſurgit arx, ut ne oculis quidem metienti ſtructuræ ſeriem comprehendere perfecte liceat. Quo tempore imperatorem ſciunt accenſum ira propter adverſa fortunæ, rectum in biremi qua vehebatur conſtitiſſe, ac mandaſſe remigibus ut appellerent navem ad mœnia, quo ipſe aſcenſum experiretur. Verum id ducum aliqui, maxime per ſanguinem innexi cunctis viribus prohibuere, ne ipſo, ut opinor, valde volente. etenim ut plurimum quantum audens tam cautus ac providus erat. nonnullos audivi, qui & temeritatis crimen affingerent, ſiquidem humanam ſupra condicionem pectus & animum geſſit. Quin imo annum agens ſextum decimum ſua unius manu captos ſæpe barbaros adduxit: unde uxor Alamanna, & ipſa magno genere ac bellicoſiſſimo prognata, in medio aliquando ſenatu, in hæc verba prorupit: *neminem unquam omnium audiviſſe, quemquam tot egregiis facinoribus uno anno editis claruiſſe.* Cum muris forte Corcyræorum

ἐγένετο

ἰλύετο ναῦς τῶν ἐκ τοῦ Ῥωμαϊκοῦ A στόλου, οὐ τῶν κουφοτέρων, οὐδ' ὁποῖαι χθαμαλαὶ τυγχάνουσιν αὗται καὶ ἐπιμήκεις, ἀλλὰ ὕψους μὲν καὶ εὔρους ἱκανῶς ἔχουσα, ἵππων δὲ πλήρης καὶ ὅπλων μεστὴ παντάπασιν οὖσα, βίᾳ πνευμάτων ἐπί τι τοῦ περιβόλου παρενεχθεῖσα μέρος, ἔνθα πετρῶν προσβολαὶ ῥαχίων ἱκανῶς ἐπισυμβαζόμεναι, δυσπρόσοδον πάνυ τὸν χῶρον ποιοῦσι, δεινῶς ἐκλονεῖτο. Λίθοι γὰρ ἁμαξοπληθεῖς, καὶ βέλη, καὶ πᾶν τὸ πα- B ρατυχὸν ὁμοῦ ἐπ' αὐτὴν ἐφέρετο πάντα. ὡς τοὺς ἐν αὐτῇ ἀπαγορεύσαντας ἤδη τοῖς ξυμπεσοῦσι περιδεεῖς τε καὶ καταπεπληχότας τὰ τῆς νεὼς ὑπεισελθεῖν καταστρώματα. Ὁ κατανοήσας βασιλεὺς, θατέρᾳ μὲν χειρὶ ἀσπίδα εἵλετο, οὐ τῶν συνήθων δὴ τούτων, οὐδὲ ἐξ ὧν σῶμα φράγνυται ἕν, εὐρεῖαν δὲ μάλιστα, καὶ ἣν οὐδὲ κουφίσαι ἀνδρὶ ῥᾴδιον γίνεται. θατέρᾳ δὲ, τὸ ἐπὶ τῆς βασιλικῆς συνήθως τεταμένον διήρους χειρωσάμε- C νος ἱστίον ὅτε ξυναγαγὼν ὡς δι' αὐτοῦ ἅτε μὴ ἀντιτυποῦντος τὰς ἐκ τοῦ τείχους βολὰς ἀποκρούσοιτο, ἐπὶ τὴν ναῦν ἐφέρετο. Καλωδίοις τε οὕτω ξυνδήσας, ἑλκύσαι τε ἐκεῖθεν αὐτὴν ἴσχυσε καὶ τοῦ κινδύνου διασώσασθαι. ὅτε δὴ λέγεται ὡς ὁ τὴν Κερκύραν πρὸς τοῦ Ῥογερίου ἐπιτετραμμένος φρουρὰν, λίθους τῶν ἐκ πόλεως ἐπὶ βασιλέα συχνοὺς ἐπαφιέντων, μὴ δῆτα πρὸς τῆς ὑμῶν ἔφησε σωτηρί-

A adacta navis esset, è classe Romana, non levium ex genere, aut quæ esse solent humiliores & oblongæ, sed altitudine ac latitudine egregia, equorum plena, armisque refertissima, vi autem ventorum compulsa ad munitiones, ubi est objectu petrarum & rupum satis coarctatarum difficilis aditu locus, graviter afficiebatur. Quippe plaustra lapidum & tela, & quidquid insuper se offerebat armorum, o- B mnibus partibus in subjectam cõjiciebantur; adeo ut qui in ea vim hostilem prohiberent, trepidi admodum & consternati continere se sub tabulata cogerentur. Id ubi imperator advertit, altera manu clypeum arripit, non consuetum, neque talem, quo corpus solum protegitur unius, sed multo ampliorem, & quem erigere haud facile viro esset: altera prehendit solita imperatoriæ biremi intendi C armamenta, quæ ubi apte convolvit collegitque, ut illis mollibus neque repercutientibus telorum è muro ictus propulsaret, ad navem hærentem fertur; ac funibus colligatam detrahere, inde & eximere periculo omnibus viribus contendit. Tum vero eum, cui permissum à Rogerio Corcyræ præsidium erat, omnibus ex urbe frequenti impetu lapides in principem conjicientibus, dixisse tra-

ας, μὴ δῆτα, ὦ συστρατιῶται, βέλος ὑπὲρ ὑμῶν σώματι τηλικούτῳ ἐπιφέρεσθαι μηδὲν, κἂν λόγους ὑπὲρ τούτου δεδωκέναι χρεὼν, αὐτὸς ὑποίσω τὴν ἀγανάκτησιν. ταῦτα μὲν οὖν τῇδε ἐφέρετο. Ὁ δὲ Σικελὸς στόλος εἰς χεῖρας τοῖς ἀμφὶ τὸν Χουρούπ ἐλθὼν, ὁ μὲν πλεῖστος κατηγωνίσθη. Τετταράκοντα δὲ νῆες ἐξ αὐτῶν τὸν κίνδυνον διαφυγοῦσαι, ἐπὶ Βυζάντιον ἦλθον. ἔνθα καταχθέντες, οὐδὲν ὅτι καὶ λόγου ἄξιον ἔδρασαν. Ταῖς δὲ περὶ τὴν Δαμάλεως περαίαν πῦρ ἐπαφεῖναι πειρασάμεναι καταγωγαῖς, αἰσχρῶς ἐκεῖθεν ἀπηλλάγησαν, πολλοὺς τῶν σφετέρων ἀποβαλόντες. Οὐ μὴν οὐδ' ὅσοι τὸν κίνδυνον ἔφυγον ἐρρύσθησαν ἐς τὸ παντελές, ναυσὶ γὰρ περιτυχόντες αἳ τὸ δημόσιον Κρήτηθεν ἐκόμιζον νόμισμα, τῆς μάχης οἱ πλείους γεγόνασι λάφυρον. Βασιλεὺς δὲ λιμῷ καὶ πολιορκίᾳ τὴν πόλιν παραστησάμενος, ἐκεῖθεν ἀνέζευξε. καὶ τοῦ λοιποῦ περὶ τῆς Σικελίας τε καὶ τῆς Ἰταλῶν ἐσκέπτετο γῆς. ὡς καὶ ταύτας Ῥωμαίοις ἀνασώσαιτο. Πυθόμενος δὲ, ὅτι δὴ Ἀλαμανοὶ καὶ Δαλμάται καὶ Παίονες, ἐπὶ τῇ κατὰ Σικελίας συσκευάζεσθαι πόλεμον μεμαθηκότες αὐτὸν, αὐτοὶ μὲν ἐξ ἑσπέρας Ῥωμαίοις ἐπιθήσεσθαι εἰς ὁμολογίαν ἀλλήλοις ξυνῆλθον. Γαγουπασὰν καὶ ὁ Περσῶν φύλαρχος τῷ Σουλτὰν ἅμα Ἀσίαν ληΐζεσθαι ἔγνωσαν· αὐτὸς μὲν ἐπὶ Δαλμάτας ἐφέρετο, τὸν ἐν σφίσι Ἀρχιζουπάνον ἤδη. καὶ χειρῶν ἄρξαντα τῷ πρὸς ἀμύνεσθαι

A dunt: *Haud quaquam ad salutem id nostram facit; haud quaquam à vobis, commilitones, tale corpus saxis impugnetur: si rationes propterea reddere oportebit, sustinebo ipsus indignationem.* Ea tum quidem istic agebantur. Classis autem Siculorum congressa cum Churupo, majorem partem expugnata est. quadraginta autem naves eorum subterfugientes periculum Byzantium petivere. quo postquam venissent, B nulla alia re memorabili gesta, ædificia ultra Damalin igne vastarunt, turpiterque inde cum jactura plurium repulsę sunt. Neque tamen omnes, quotquot se discrimini subtrahebant, evasere incolumes, sed in naves incidentes quæ apportabant publicum è Creta vectigal, magnam partem pugnæ præda fiebant. Imperator interea fame & oppugnationibus Corcyra potitus, abscessit, utque Siciliam Italiamque C Romanis restitueret, secum deinde consilia agitavit. Ubi autem intelligit, Alamannos & Dalmatas & Pæonas, apparare adversus Siciliam bellum principem edoctos, de impugnandis ex occidente Romanis conditiones & pacta inter se fecisse; Jagunpasanem adhæc & Persarum phylarchum cum Sultano infestare Asiam incursionibus proposuisse: ipse in Dalmatas festinat, ingenti studio, ut

δέξ

διὰ σπουδῆς εἶχον. Τὸ δὲ ναυτικὸν A ἅπαν Ἰωάννῃ τῷ τῶν ἀνατολικῶν καὶ ἑσπερίων δομεστίκῳ πιστεύσας, ἐκέλευε τῷ Ἀγκῶνι προσεσχηκέναι. Ἐμπόριον δὲ Ἰταλίας ἐστὶν ὁ Ἀγκών. Ἐντεῦθεν τε ὡς ἐξ ὁρμητηρίου κατὰ τῆς Ἰταλίας ἰέναι. Ἀλλ' ὁ μὲν Ἰωάννης μέχρι ποταμοῦ Βοόσης ἐλθὼν, περαιτέρω ἰέναι οὐδαμοῦ ἐφρόντισεν. εἴτε δὲ ἀπειρίᾳ τῇ περὶ τὰ ναυμαχικὰ τούτῳ τῷ δομεστίκῳ διημάρτητο, εἴτε καὶ ταῖς Οὐενετίκων ἡγμένῳ ξυμβουλαῖς, ὡς μὴ Ἰταλίας ἐγκρατεῖς Ῥωμαῖοι B γεγονότες, χώρας τε ἐν γειτόνων ἤδη καταστάντες τῆς αὐτῶν, ὑπερφρονεῖν αὐτοὺς, ὡς τὸ εἰκὸς, ἔχοιεν, καὶ ξυμμαχίας ὀλίγα τῆς ἐξ αὐτῶν χρήζοιεν. εἴτε οὖν οὕτως, εἴτ' ἐκείνως οὐδὲν ὅμως ὁ δομέστικος ὧν πρὸς βασιλέως ἐνετέταλτο πέρας ἐδιδοὺς, εἰκῇ τὸν καιρὸν ἔτριβεν. Ὅθεν καὶ λαίλαπος ἀθρόον ἐπιγεγονότος πολλοῦ (ἤδη γὰρ ἐπὶ τροπὰς μετοπωρινὰς) συνέβη τῶν νεῶν τὰς πλείστας θραυσθῆναι περιορασθείσας ὀλιγωρίᾳ τοῦ στρατηγοῦ. ἐξὸν γὰρ ἐς τὸν C ποταμὸν ἀναχθείσας παρ' ἑκάτερα πάσας ἀνελκυσθῆναι, ὁ δὲ ἐν τῇ τῆς θαλάσσης ἀκτῇ μετεώρους αὐτὰς εἴασεν. Ὁ δὲ βασιλεὺς ἐς Δαλματίαν ἐμβαλὼν, τό Ῥᾶσόν τε κατεστρέψατο φρούριον, καὶ τὰ ἐν ποσὶν ἐληίσατο πάντα. πλῆθός τε ἀνάριθμον ἐν δορυαλώτων μοίρᾳ πεποιηκὼς, Κωνσταντίνῳ μὲν σεβαστοϋπερτάτῳ, ὃν Ἄγγελον ἐπεκάλουν, αὐτοῦ σὺν δυνάμεσιν ἔλιπεν. ὁ δὲ προσωτέρω ἐχώρει. Νικάβαν τε καταλαβὼν χώραν

A Archizupanum illorum, jam modo vim & injurias inferentem, ulcisceretur. Classem totam fidei delegans Joannis orientalium atque occidentalium domestici, jubet ut Anconam Italiæ emporium navigaret. inde, velut è sede belli, imperet Italiam. At vero Joannes ad Boosen fluvium cum venisset, omnem pergendi curam abjecit; sive rei nauticæ imperitia peccaverit hac parte Domesticus, sive suasio- B nibus inductus Venetorum, ne scilicet domini Italiæ facti Romani, & vicinę sibi regionis possessores, Venetos, id quod erat, contemnerent, minusq; eorum commilitio indigerent. sive igitur hanc, sive illam ob caussam nihil exsecutus eorum, quæ imperaverat princeps, tempus inutiliter domesticus consumsit. Quando & procelloso turbine exorto, (quippe jam circa æquinoctium autumnale) pleræque naves C laceratę negligentiâ ducis, qui cum adactę in flumen utrinque potuissent subduci, eas ad litus in mari tenuit. Imperator vero facta in Dalmatiam irruptione, Rasum castellum expugnavit & obvia quæque depopulatus est: multitudine innumera redacta in servitutem & cum aliis copiis Constantino Sebastopertato, cui & cognomen Angelo, commissa, ipse in ulteriora perrexit. Nicaban regionem ingressus,

ὑπὸ τῷ Ἀρχιζουπάνῳ τελοῦσαν καὶ αὐ- A
τήν, φρούρια μὲν τὰ ὅλα ὅσα τῇδε
ἵδρυται πόνῳ οὐδενὶ παρεστήσατο. Ἐν
δὲ Γαλίτζῃ γεγονὼς ἐπειδὴ τοὺς ἐνταῦ-
θα βαρβάρους, πλήθει τε καὶ τῇ ἐκ τοῦ
τόπου δυσχερείᾳ πεποιθότας οὐκ ἐνδι-
δόντας αὐτῷ τὸ φρούριον εὗρε,
χάρακα πηξάμενος βέλεσι καὶ λί-
θοις τοῖς ἀπὸ σφενδόνης τοὺς ἐπὶ τῶν
προπυργίων βάλλειν ἐκέλευε, μηδέ-
να καιρὸν ἀνιέντας. Οὕτω τε τρίτῃ
ὕστερον ἡμέρᾳ καὶ κατὰ κράτος εἷλεν
αὐτό. Ἔνθα πλήθει βαρβάρων περι- B
πετυχηκώς, μοῖράν τε τῆς ὁπλιτικῆς,
καὶ ἄλλως ἀγελαίων τυγχάνουσαν, ἐκεῖ-
θεν ἀνάστατον ἦγεν αὐτό. καὶ αὐτὸς μὲν
ἐπειδὴ παλινοστήσας ἐπὶ τὸ Ῥάσον ἦλ-
θεν, ἔντε Σαρδικῇ καὶ τοῖς ἄλλοις Ῥωμαί-
ων χωρίοις ἐγκατοικισθησόμενον ἔ-
πεμψεν. Ὁ δὲ πρὸς τοῦ ἀγγέλου πε-
πυσμένος, ὅτι δὴ κεροφυλακήσας
ὁ Ζουπάνος μετὰ τὴν αὐτοῦ ἐνθένδε
ἀναχώρησιν ἐπικαταβαίνειν τε Ῥω-
μαίοις ἤρξατο, καὶ τὴν μάχην ἀπὸ
χειρὸς ἤδη κρατεῖν· τὴν ταχίστην C
ἐκεῖθεν ἀπήλαυνε καταλήψεσθαι τοῦ-
τον προθυμηθείς. Ἀλλ' ὁ μὲν ἐπιόν-
τας Ῥωμαίους ἀκηκοὼς ἐς τὰς τῶν ὀ-
ρῶν ἀνατρέχων ὑπερβολάς, τὸν πα-
ρὰ πόδας ἀπεδίδρασκε κίνδυνον. Βα-
σιλεὺς δὲ ἐπὶ τὴν χώραν ἐτράπετο.
ἀλλ' αὐτὴν μὲν κατ' ἐρημίαν τοῦ κω-
λύσοντος ἐληΐσατό τε πᾶσαν, καὶ τοὺς
ἐνταῦθα τῷ Ἀρχιζουπάνῳ εἰς ἀρχεῖον
ἀποτεταγμένους δόμους πυρὶ φλέξας
παρῆλθεν. Ἐπεὶ δὲ χειμὼν ἤδη κατα-

& ipsam Archizupano parentem, castella ibi omnia quot & quanta sunt nullo labore expugnavit. In Galitsam cum esset transmissum, videretque barbaros ibi multitudine & loci fretos natura nolle sibi arcem dedere; castris positis, jubet suos tela, & fundis lapides sine ulla remissione jacere in eos, qui propugnacula defenderent. ita tertio die locum per vim superavit. Ibi cum barbarorum reperisset multitudinem, partim armatam, ceteram imbellem turbam, sedibus mutatis inde abduxit, & ipse quidem ad Rasum rediit, illos vero Sardicam & alias Romanorum oras inhabitatum dimisit. Ab Angelo deinde certior factus, post suum abitum Zupanum occasionem aucupatum incessisse Romanos, jamque & prælio commisso superiorem fuisse, quam potuit celerrime motis castris, ut opprimeret eum, summo studio contendit. Sed enim is ubi intelligit adventare Romanos, fugit in montium juga, eoque modo periculum præsens declinat. Proinde conversus in regionem imperator, totam, utpote orbam defensore, populatur, & haustis incendio domibus Archizupani regiis, abscedit. Ubi vero acris hiems

χε

χει δεινός, ὡς τοῦ φύσει θερμοῦ περὶ τὴν καρδίαν ἀντιπεριισταμένου τῷ κρύει τοῦ ζωϊκοῦ, πολλοῖς ἤδη λώβην περὶ τοῖς ἄκροις ἐμπεπλωκέναι, τότε μὲν τῆς ἐπὶ Βυζάντιον ἐμέμνητο. Ἐς δὲ τὸ ἐπιὸν ἔτος, φθινούσης ἤδη τῆς ὥρας, τηνίκα καὶ μάλιστα εὐέφοδα πολεμίοις τὰ κατὰ τὴν Σερβικὴν γίνεται, ἅτε τοῦ ἀμφιλαφοῦς ἐπιλιπόντος ἤδη τοῖς δένδροις. ἐπὶ Ναισὸν τὸ στράτευμα ἦγεν. Ἔνθα δυνάμεις ἐκ Παιονίας ἐπὶ συμμαχίᾳ Δαλμάταις στέλλεσθαι μαθὼν, σπουδὴν ἐποιεῖτο διὰ τοῦ Λογγομηροῦ λεγομένου χώρου διαβιβάζειν τὸ στράτευμα, ὡς τοῖς Παίοσιν ἐν δεξιᾷ πορευομένοις συμμίξαι γένοιτο τῷ Ῥωμαίων στρατῷ. Ἐπεὶ δὲ ἐγγὺς Σάου ἐγένετο, ἐφ' ἕτερον ἐκεῖθεν μετῆλθε ποταμὸν Δρουνᾶν ὄνομα. ὃς ἄνωθεν πόθεν τὴν ἐκβολὴν ποιούμενος, Βόσθναν τῆς ἄλλης Σερβικῆς διαιρεῖ. Ἔστι δὲ ἡ Βόσθνα οὐ τῷ Σερβίων Ἀρχιζουπάνῳ καὶ αὐτὴ εἴκουσα, ἀλλ' ἔθνος ἰδίᾳ παρὰ ταύτῃ καὶ ζῶν καὶ ἀρχόμενον. ὅθεν γε μὴν Οὔννους Ῥωμαίοις συγκεκρουκέναι ξυνέβη αὐτίκα δηλώσω. Ἦν τις ἐν τῷ Δαλματῶν ἔθνει, ὄνομα μὲν οὐκ οἶδα, ὅπερ αὐτῷ ἔκειτο, ἀδελφὸς δὲ αὐτῷ Βέλσης ἦν. ἄμφω λογίμω παρὰ Δαλμάταις ὄντε. Οὗτος τοῦ Ἀρχιζουπάνου μὲν ἀδελφῇ ξυνοικῶν ἦν. Τὼ ὀφθαλμὼ δὲ στερηθῆναι τυχὼν, τρόπῳ ὥσπερ αὐτὸς οὐδαμῇ ἐρεῖν ἔχω, ἐς Παιονίαν ἀνεχώρησεν. Ἐνταῦθα τε πολύν τινα διατρίψας χρόνον, Γεΐτζᾳ τῷ ῥηγὶ αἰδεσιμωτά-

A suboriebatur, adeo ut naturali calore animantium circa cor collecto, multorum artus vi frigoris fuerint ambusti; de reditu Byzantium cogitavit. In sequentem vero annum, qu a jam præterlapsa erat æstas, quum longe facillima hostibus in Serviam itinera sunt, & arboribus comæ deciderant, castra ad Næssum transtulit. Posteaquam ibi cognovit ex Pæonia mitti auxilia Dalmatis, summis viri-
B bus annixus est, ut traducto per regionem Longomerum dictam milite, proficiscentibus à dextra Pæonibus legiones Romanas committeret. Ad Saum cum venisset, ad aliud inde flumen deflectit, nomine Drunam. quod superiori è loco factis ostiis, Bosthnan à reliqua Servia dividit. Ceterum Bosthna imperio non subest Serviæ Archizupani; sed gens suis tum temporis moribus, suoque magi-
C stratu agebat. Unde vero & Hunnos Romani conciderint, nunc quoque planum faciemus. Erat apud Dalmatas quis, nomen ignoro quale fuerit, fratrem autem habebat Belsin, ambo clari ad suos, hic vero uxorem duxerat sororem Archizupani, sed ambobus privatus oculis, quo casu dicere non possum, in Pæoniam rediit. Hic longo tempore apud Geitzam regem maximo in honore & reve-

τῳ μάλιστα κατέστη, ἅτε τῆς ἐκ παίδων αὐτῷ τροφῆς μεταδοὺς καὶ παιδεύσεως. Διὰ δὴ ταῦτα χάριτας ὀφλῶν Γειτζᾷ, Δαλματίαν ὑπόσπονδον αὐτῷ καθιστᾶν ἐπεχείρει· ξυμβουλεύων τε ἑκάστοτε περὶ τούτου, τῇ συνεχεῖ λογίᾳ πείθειν ἔσχε τὸν ἄνθρωπον. ὅθεν ἐπειδὴ τὴν ἐπὶ Δαλματίας Ῥωμαίων ὁ Γειτζᾶς ἤκουσεν ὁρμὴν, δυνάμεις ἐπὶ συμμαχίᾳ Δαλμάταις ἔπεμψεν· αἰτία μὲν Ῥωμαίοις τῆς ἐς τοὺς Οὔννους δυσμενείας αὕτη ἦν. Τοῦ δὲ Ῥωμαίων στρατοῦ προσωτέρω χωροῦντος, οἱ ἐπὶ χορτολογίαν ἐξιόντες τοῖς Οὔννοις ὁδῷ πορευομένοις ἐντετυχηκότες ἐς χεῖρας ἦλθον. Βασιλεὺς δὲ συναισθήσεως αὐτῷ γενομένης, Ἰωάννην ἅμα στρατεύματι τὸν Πρωτοσεβαστὸν ἐπιβοηθήσοντα ἔπεμψε. Καὶ δὴ συμβολῆς γενομένης, Οὔννοι πρὸς τῶν Ῥωμαίων ἡττηθέντες, φεύγοντες ἐς τὸ τοῦ ποταμοῦ Στρυμμόνος ῥεῦμα καθῆκαν ἑαυτούς. Ἔνθα μετρίους ἀποβαλόντες ᾤχοντο ἀμεταστρεπτί. Ῥωμαῖοι δὲ φεύγουσι κατὰ νώτου ἀεὶ εἵποντο. Ἐπὶ Τάραν δὲ ποταμὸν ἐλθόντες, ἐπειδήπερ οὐδένα σφίσιν ἀντεπεξιόντα ἔβλεπον, παλινῳδίας ἐμέμνηντο. Βασιλεὺς δὲ ἐπὶ μέσης τῆς εἰς Σετζενίτζαν φερούσης τὸν χάρακα πηξάμενος, οὐκ ἔχων τε μαθεῖν ἔνθα τὸν Ἀρχιζουπάνον εἶναι ξυνέβαινεν, ἐν τῷ τέως μὲν ἐν ἀπόρῳ ἐγένετο. Ἐπεὶ δὲ πρὸς τῶν ἁλισκομένων Δαλματῶν δυνάμεις περιμένειν αὐτοὺς ἤκουσεν Οὐννικὰς ἐπὶ συμμαχίᾳ, ὅσον οὐκ ἤδη ἀφιξομένας, ἐπὶ τὰ πρόσω λοιπὸν μετῆγε τὸ στράτευμα. Μέχρι

A rentia fuit, utpote à pueris uno cum illo victu, una institutione usus. Ea propter gratias debens Geitzæ, fœdere illi Dalmatiam jungere intendit: idque suasit passim, & continuis denique adhortationibus etiam persuasit. Simul itaque audiit Geitza irrupisse in Dalmatiam Romanos, copias auxilio Dalmatis submittit. ea quidem inimicitiæ adversus Hunnos caussa Romanis fuit. Quorum pro- B cedente exercitu, cum qui pabulatum exierant, Hunnis & ipsis iter agentibus occurrerent, prælio dimicatum est. Quo cognito, princeps auxilio cum exercitu mittit Joannem Protosebastum: prælio autem transacto victi à Romanis Hunni, fuga se ad Strymonem fluvium recipiunt. inde post idoneam suorum cladem sine conversione fugientes à tergo Romani insequuntur. sed ubi ad flu- C men Taran pervaserunt, neminemque eis resistere apparuit, rediere ad suos. Imperator autem, medio viæ, quæ Setzenitzam ducit, locatis castris, cum resciscere non posset, quo ageret loco Archizupanus, eo usque quidem animi dubius hæsit. Intellecto dein ex captivis Dalmatis, exspectare illum ad belli societatem jam jam adventuras Hunnorum copias, legiones in ulteriora duxit. Jamque

μὲν

μὲν ποταμοῦ Τάραν γεγονόσιν, οὐδὲν οὐδαμόθεν Ῥωμαίοις διεφάνη πολέμιον. Ἐπεὶ δὲ ἐνταῦθα ἦλθον Δαλματῶν ἀνάριθμος ὅμιλος, ὕπω ἡλίου τὸν δυτικὸν ὁρίζοντα περιμείψαντος, ὅπλοις κατάφρακτος ἐξεφάνη. ὅπερ οἱ θεασάμενοι ἀγωνίᾳ καὶ δέει ἐχόμενοι Ῥωμαῖοι ἦλθον ἀγγέλλοντες. Βασιλεὺς δὲ τὴν ἐκ Παιόνων ἀφικέσθαι προσδοκωμένην Δαλμάταις ἰσχὺν ταύτην εἶναι τὴν ὁρωμένην εὐστοχώτατα τεκμηριωσάμενος, ἅμα δὲ καὶ σκοπῷ τῷ Χουρούπῃ πρὸς τοῦτο χρησάμενος, νῦν αἰφνίδιον Δαλμάται Ῥωμαίοις ἐπιστρατεύεσθαι διανοοῦνται. Ἦσαν δὲ οὐ μακρὰν ἄποθεν ἤδη ποιούμενοι τὴν παρεμβολήν. Ἐπειδὴ γοῦν τάχιστα νὺξ ἤδη ἐγένετο, τοιάδε τινὰ ἐνενόει. Ἔθος ἐστὶ Ῥωμαίοις ἐπὶ πόλεμον ἰοῦσιν, εἴπου διατριβὴν ποιεῖσθαι χρεὼν, τὸν στρατὸν σάλπιγκα τῆς ἡμέρας ἀλαλάζειν ὀψὲ, καὶ σύνθημα τοῦτο τοῖς πλήθεσι γίνεται τοῦ καὶ τὴν ἑξῆς πρὸς ἐκείνῃ διακαρτερῆσαι τῷ χώρῳ. Ὅπως οὖν ἐνταῦθα ἀπατηθῆναι γένοιτο, τοῦτο δὴ τὸ Ῥωμαίων ἔθος εἰδόσι καὶ αὐτοῖς, σαλπίζειν μὲν ἐν τῷ παραυτίκα παρεκελεύσατο. λαθραιότατα δὲ καθ' ἕνα τοῖς στρατηγοῖς ἐμήνυε τὰ βουλευθέντα. καὶ ὡς χρὴ τούτους ἅμα ἡλίῳ ἀνίσχοντι τὸν περὶ αὐτὸν ἕκαστον φάλαγγος ὁπόσον ἐν ὅπλοις πεφράττοιτο, καὶ ἐν ἐπιλέκτοις ἐστὶν εὐπρεπὲς, ἔχοντα ἡσυχῇ ἵστασθαι, καὶ τὴν παρ' αὐτοῦ προσέχεσθαι κέλευσιν. ὅπως γε μὴν οὐκ ἐπίδηλοι γένοιντο, ἐκέλευσε περιχλαινίσμασι τῶν εὐτελεστέρων περιαμπίσχειν τὴν ὅπλισιν. οἱ μὲν οὖν κατὰ ταῦ-

ad flumen Taran pervenerant, & adhuc nihil uſqua viſum fuerat hoſtile. Eo vero ut eſt ventum, Dalmatarũ innumerabilis vis toto corpore armata ante ſolis occaſum ſe oſtendit. qua conſpecta, angore & metu perculſi Romani nunciatum principi ivere. Is eventu haud dubio eas eſſe copias conjectans, quas auxilio ſibi à Pęonibus exſpectaverant Dalmatæ, atq; una Churupo ad id ſpeculatore utens, *nunc repente, inquit, Dalmatæ inceſſere Romanos deſtinarunt animis.* Neq; ita magno dirimente intervallo caſtra jam cõmuniebant: ſed quia nox aderat, capit hujuſmodi conſilium. Moris eſt euntibus in bellum Romanis, ſicubi conſiſtere & morari neceſſe eſt, præcipiti jam die tuba per exercitũ canere, idque ſignum multitudini dare, etiam poſterum eo in loco diem tranſigendum fore. Quo igitur & illi tum fallerentur, conſuetudinis hujus Romanæ non ignari, canere tubas continuo imperat; ſingulis autem ducibus mentem ſuam quam poteſt occultiſſime aperit: oportere nimirum, ſole oriente, quemque è phalange ſua cataphractos & delectiſſimos militum apud ſe habentem, immotum conſiſtere & juſſum exſpectare principis. neve manifeſti forent, præcipit viliſſimis tegumentis circumduci armatos. Illi prout imperatum erat

τα ἐποίουν. Ἐπεὶ δὲ ἤδη ἡμέρα δια- A φανὴς ἦν, ἐξῄει σὺν αὐτοῖς τοῦ στρατοπέδου, ὡς ἐπὶ χορταγωγίαν δῆθεν ἰών· ἔθεν καί τινας ἀνόπλους τοῦ προάγειν σκαπάναις ἅμα καὶ πτύοις, οἷς ἔθος ἐστὶ τοὺς ὑπογαίους ἀνερευνᾶσθαι σιτῶνας τοῖς τὰ ἐπιτήδεια τῷ στρατῷ εὐκομιζομένοις, ἔμπροσθεν ἐκέλευεν ἰέναι. Ἐπειδὰν μέντοι πολεμίους κατ᾽ αὐτῶν ἰόντας ἴδοιεν, φεύγειν παρήγγειλεν, ἕως τοῖς κατόπιν ἰοῦσι Ῥωμαίων συμμίξαντες, ἤδη ἐν τῷ ἀσφαλεῖ γένωνται. ὡς γὰρ ἐν και- B ρῷ τῶν γινομένων αἴσθησις γένοιτο τῷ στρατηγῷ, ἐκέλευε δύο μὲν τὸ πρῶτον, ἐξῆς δὲ καὶ οὐ πολλῷ ἄποθεν τέτταρας, εἶτα ἓξ καὶ αὖ δέκα, καὶ ἐξῆς πλείους χωρεῖν· ἄλλην δὲ φαρετροφόρον καταστησάμενος φάλαγγα ἑτέρωθεν ἐπὶ τοὺς πολεμίους ἰέναι προὐτρέπετο, κἂν μὲν Δαλμάται χειρῶν ἄρχοιεν, φεύγειν ἐλασσουμένους τῷ πλήθει· ἑστάναι δὲ ἡσυχῇ πρὸ τῆς παρεμβολῆς, εἰ μηδεὶς σφίσιν ἀντεπεξίοι. Ἔπραττε δὲ ταῦτα, ὡς ἂν εἴγε αὐτοῦ σὺν C τῷ ἄλλῳ ἐπιστάντος στρατεύματι, φεύγειν ἐπιβάλλοιντο τὸ Δαλματικὸν ὑπὸ τῶν κουφοτέρων τούτων κτείνοιντο καταλαμβανόμενοι. Οὔπω τοίνυν μακρὰν ἐγένοντο προϊέμενοι, καὶ τῶν ἐπὶ κατασκοπῇ τινὲς Ῥωμαῖοι ἐς τὸν βασιλέα ἦλθον, συγκεχυμένοι τε τὴν φωνὴν καὶ δεινῶς ὠχριῶντες, ἀριθμοῦ κρείσσω ἔλεγε στρατιὰν ἐπὶ θάτερα τοῦ ποταμοῦ ἐπὶ φάλαγγος ἑστάναι. οὐχ ὅσον μόνον ἐγχώριον, ἀλλὰ καὶ

faciunt. Posteaquam itaque dies illuxit, ea cum manu castris velut pabulatum excedit: eoque inermes aliquot præcedere jubet cum ligonibus & dolabris, quibus subterranea investigare solent granaria, qui commeatu & rebus necessariis exercitui provident. Simul itaque occurrentes sibi hostes cernerent, fugere imperat; donec subsequentibus à tergo Romanis in tutum reciperentur. Ut enim quæ gerebantur cognita in tempore prefecto essent, primum duos, inde parvo intervallo quatuor, tum sex, postea decem, denique complures jubet præire: aliamque adhæc phalangem pharetratam cum ordinasset, aliunde in hostem dimittit, cum mandatis, si in prælium irent Dalmatæ, terga verterent velut numero inferiores; sin autem nemo occurreret, quieti ante vallum consisterent. Non alio hæc ita instituit, quam ut, ipso cum legionibus instante si fugere Dalmata inciperet, ab expeditioribus illis comprehensus cæderetur. Haud igitur longe processerant, cum Romani quidam speculatores reversi ad principem anhelantes & metu pallidi, nunciarunt, exercitum militum numero superiorem in adversa fluminis ripa phalange facta stare, contractum non ex indigenis solum,

μύεσόν

μύριόν τι φῦλον συμμαχικὸν, ἔκ τε A Οὔννων ἱππέων καὶ δὴ καὶ τῶν παρ' αὐτοῖς ἑτεροδοξούντων Χαλισίων. Οὔννων γὰρ τὰ χριστιανῶν πρεσβευόντων, οὗτοι Μωσαϊκοῖς, καὶ τούτοις οὐ πάντη ἀκραιφνέσιν, εἰσέτι καὶ νῦν διεξάγονται νόμοις. Τούτους τε σὺν Δαλμάταις συστρατεύειν ἔλεγον, καὶ δὴ καὶ Πετζινάκους. Ταῦτα ἐπειδὴ βασιλεὺς ἤκουσεν, ἐννοησάμενος μήτι καὶ βιασθεῖεν ὀλίγοι πρὸς πολλῶν κυκλωθέντες Ῥωμαῖοι, οἱ ἐπίπροσθεν ἐπορεύοντο, συντο- B νώτερον ἤλαυνε, ἐπείγων ἕπεσθαι καὶ τὸν σημειοφόρον· ἐπεὶ δ' ἐκεῖνος, κεκμηκότος αὐτῷ τοῦ ἵππου, σχολῇ τὴν ὁδὸν ἐποιεῖτο. αὐτὸς βασιλεὺς τὴν σημαίαν ἀναλαβὼν κατετάχυνε τὸν δρόμον, ἐπί τινός τε περιωπῆς γεγονὼς, ἑαυτόν τε ὅστις εἴη, καὶ τὸ σημεῖον ἐδίδου γνωρίζειν τοὺς ἀντιπάλους. Ἐν τούτῳ δὲ καὶ οἱ τοξοφόροι τὸν ποταμὸν κατειληφότες, ἀντιμέτωποι Δαλμάταις ἵσταντο. Ἐπὶ πλεῖστον δὲ οὐδέτεροι μάχης ἀρχόμε- C νοι, ἡσυχῇ ἔμενον. Ἐπεὶ δὲ ἤδη ἡ βασιλέως αὐτοῖς διεφάνη σημαία, τῆς τε γεφύρας ἀπέχοντο Δαλμάται, καὶ ἄδειαν Ῥωμαίοις ἐδίδοσαν ἀκροβολισμοῦ. ὁ γοῦν βασιλεὺς, (εἱστήκει γὰρ ἄνωθέν ποθεν, ὥσπερ εἴρηται, τὰ πρασσόμενα κατανοῶν) ἔλαυνε καὶ αὐτὸς ὡς σὺν αὐτοῖς τὸν ποταμὸν διαβησόμενος. Ἦν γὰρ, ὥς μοι πολλάκις ἐρρέθη, δαιμόνιόν τινα καὶ ἀνδρείας πρόσω τρόπον τὰ ἐς τὰς μάχας κεκινημέ-

A sed vi immensa socialium copiarum, ex Hunnis equitibus & diversæ inter illos opinionis Chalisiis. Namque Hunnis religionem profitentibus Christianam, illi legibus Mosaicis, neque iis multum laxatis, etiam nunc vivunt. Hos igitur atque insuper Betzinacos cum Dalmatis junxisse arma referunt. Ea ubi audivit imperator, cogitans ne pauci qui præcesserant Romani circumventi à pluribus op- B primerentur; egit citius agmen, impulitque signiferum ut ocyus iret. cum vero is, defesso scilicet equo, sequeretur lentius, ipse signo accepto acceleravit cursum, ac loco editiore consistens, & se, qualis esset, & signum conspiciendum hostibus præbuit. Inter quæ delati modo ad flumen sagittarii se barbaris opponebant: sed, neutris concitantibus pugnam, diu quies utrinque fuit. si- C mul autem ab iis imperatorium vexillum conspiciebatur, à ponte abscedere Dalmatæ, & facultas dari Romanis jaciendi sagittas. Id ubi imperator vidit, (stabat enim superius paullo & quæ gerebantur intuebatur) & ipse cum ceteris flumen transiturus advolat. Namque, ut est sæpius à me relatum, supra fortitudinis humanæ modum pugnas semper & certamina affectabat. Dalma-

νος ἀεί. Δαλμάται δὲ, καίτοι ὑπὸ ἀναριθμήτων διωκόμενοι στρατιωτῶν, ἔφευγον ὅμως, ἕως ἐν δυσχερείαις ἐγένοντο. Τὸ δὲ ἀπὸ τοῦδε ἐπιστραφέντες, ὁμόσε τούτοις ἐχώρουν. ξυμβολῆς δὲ γενομένης, ὀλίγοι ἐξ ἀμφοῖν ἔπεσον. Δαλμάται γὰρ τοῦ βασιλέως αἰσθόμενοι παρουσίας, διελύοντο αὖθις, Ῥωμαῖοί τε φεύγουσιν ἀεὶ ἐφεπόμενοι, πολλοὺς Παιόνων τε καὶ αὐτῶν ἔκτειναν. Ὅτε δὴ Γυρδήσης τε καὶ Βυλτζίνης, ἄνδρε ὀνομαστοτάτω ἐπὶ Δαλμάταις, ὑπὸ τὰς Ῥωμαίων ἐγενέσθην χεῖρας. Βασιλεὺς δὲ περὶ πλείονος τοῦ λοιποῦ ἐποιεῖτο, ὅπως ἂν αὐτῷ πανοπλίαν ὑποδῦναι τὴν αὐτοῦ γένοιτο. Χρόνου δέ τινος διὰ τοῦτο τριβέντος αὐτῷ, (οὐ γὰρ ἐκ τοῦ σχεδὸν αὐτῷ παρῆσαν οἱ ταύτην ἐκόμιζον) συνέβη τῶν παρὰ Ῥωμαίοις στρατηγούντων τινὰς, ἐν οἷς Γιφάρδος τε ἦν, καὶ Μιχαὴλ, ᾧ ἐπώνυμον Βρανᾶς, καὶ πλεῖστοι ἕτεροι ἄνδρες αὐτουργῆσαι ἱκανοὶ καὶ στρατηγῆσαι δεξιοὶ, ἐπί τινος δυσπορεύτου καὶ ἀνάντους ἐν τῷ διώκειν γεγονότας λόχμης, ἀγωνιᾶν ἅτε εἰς προὖπτον κινδύνου ἐληλακότες. Δαλμάται γὰρ πόρρω τῶν ἄλλων Ῥωμαίων γεγονότας αὐτοὺς κατανοήσαντες, ἐπεστράφησάν τε καὶ ἀντιμέτωποι ἔστησαν. Οἱ μὲν οὖν ἐν τούτοις ἦσαν. Βασιλεὺς δὲ ἤδη τὴν ὅπλισιν περιθέμενος, ἀνέτῳ ῥυτῆρι διώκων ἐπ᾽ αὐτοὺς ἦλθεν. ἐν χρῷ τε ἀλλήλοις ἐφ᾽ ἕνα χῶρον συνιόντας εὑρὼν, ἐκατηγόρει τε ἀναφανδὰ, καὶ πικρότατα ἐλοιδορεῖτο, δειλίαν αὐτοῖς προσονειδίζων, καὶ

A tæ vero, licet non adeo multi insequerentur Romanorum, fugere nihilominus, donec ventum est in loca difficilia. tum se convertentes obviam illis ire, ac prælio transacto utrinque pauci cadere. Posteaquam enim adesse principem Dalmatæ adverterunt, iterum dissolvebantur. fugientibus perpetuo instantes Romani, multos eorum, ut & Pæonum, conciderunt. Tum quoque in manus venere B Romanas celeberrimi inter Dalmatas nominis viri, Gurduses & Bultzines. Imperator dein facere plurimi, si armatura sua indui posset. Ea cura cum aliquantum temporis consumtum esset, (neque enim statim aderant qui arma adportarent) evenit interea, ut duces quidam Romani, inque iis & Giphardus, & Michaël cognomento Branas, & alii multi, tum militis, tum imperatoris munia C exsequi juxta gnari, ubi effusius sequendo in saltum avium arduumque incidissent, manifesto involuti periculo gravissime laborarent. Nimirum Dalmatæ simul eos procul à suis distractos videre, obversi restare. His ita apud illos constitutis rebus, jam armis indutus princeps plenis habenis insequitur: eosque inveniens uno in loco arctissime in se coeuntes, aperte reprehendit, increpatque

πλε-

πολεμικῶν ἀμαθίαν ἤλεγχεν. Τῶν δὲ τοῦ χώρου τὴν φύσιν, καὶ τὸ τῆς χιόνος προσφερόντων ἄμετρον, αὐτὸς τῆς ὁδοῦ κατάρχων ἕπεσθαι σφίσιν ἐκέλευεν. Ἤδη γὰρ καὶ ἄλλο αὐτοῖς Ῥωμαίων συνίστατο πλῆθος. Ἐν ᾧ δὲ τὴν πορείαν ἐτίθεντο, ἐνέδρα πολεμίων ἐκ τοῦ ἀφανοῦς ἐκπηδήσασα τοῖς ἐν ἀριστερᾷ Ῥωμαίοις ἐπετίθετο. Ἀλλὰ ταύτην μὲν ἐπειδήπερ ὀλιγανδροῦσαν βασιλεὺς ἔγνω, οὐδὲ ὅσον ἐπεστράφθαι ἠξίωσεν· ἀεὶ γὰρ ἀνεπιστρόφως ἐδίωκεν, ὅπως ἢ αὐτὸν χειρώσασθαι οἱ τὸν Ἀρχιζουπάνον, ἢ τὸν παρὰ τοῖς Παίοσιν εἰς ἐκείνην στρατηγοῦντα τὴν ἡμέραν ἀνδρείας εὖ ἥκοντα. Οἱ μὲν οὖν ἐκ τῆς ἐνέδρας μηδὲν ἄξιον λόγου πεπραχότες διελύοντο αὖθις. Βασιλεὺς δὲ μικρὰ διώξας, ἐπειδὴ τοὺς ἀμφ' αὐτὸν ἔγνω ἐκκεκμηκότας ἤδη, αὐτοὺς μὲν παρῆλθε. δύο δὲ συγγενῶν παρειληφὼς τῶν αὐτοῦ, ὧν ὁ μὲν Ἰωάννης ὁ Δούκας ἦν, ἅτερος δὲ, ὃς τὴν Ἀνδρονίκου τοῦ Σεβαστοκράτορος ἔγημε παῖδα, ὄνομα Ἰωάννης καὶ αὐτὸς, ἐπίκλησιν Καντακουζηνὸς, σὺν αὐτοῖς ἐπὶ τοὺς πολεμίους ἐχώρει. Οἱ δὲ ἐκ τῆς ὁπλίσεως αὐτὸν κατανοήσαντες, χρυσῷ γὰρ κατακόρως ἀλήλιπτο πᾶσαν, καὶ τοῦ σώματος καὶ ἀναδρομῆς τε καὶ εὐφυΐας τεκμηριούμενος μάλιστα, (ἥρωσι γὰρ ἀτεχνῶς ἐῴκει, ἅτε τῷ ξένῳ τῆς ἱππασίας καὶ τῆς ἀμφιδεξίου περὶ τὰ ὅπλα κινήσεως, πολλῷ διενεγκὼν) τὰ νῶτα διδῶναι

A acerbissime, & metum & militiæ imperitiam exprobrat. Illis vero naturam regionis & immensam vim nivium caussantibus, ipse præcedit, reliquis ut sequantur imperat: jam enim & aliæ advenerant Romanorum copiæ. Dum itaque iter faciunt, hostium aliqui ex insidiis repente coorti, à sinistra Romanos adoriuntnr. Sed imperator videns eos numero pauciores, neque operæ ducens ideo B se subsistere, pertinaciter insequitur, si forte capere posset vel Archizupanum, vel Pæonum ea tempestate fortissimum ducem. Quare insidiatores nullo memorabili opere edito iterum dissipati sunt. Post brevem persecutionem ubi suos princeps delassatos animadvertit, relictos prætergreditur, ac duobus assumtis cognatis, quorum alter Joannes Ducas erat, alter, qui uxorem duxerat C Andronici Sebastocratoris filiam, & ipse Joannes cognomine Cantacuzenus, ire cum iis in hostem pergit. Sed illi imperatorem ex armis agnoscentes, utpote multo fulgentibus auro, atque insuper se corpore & cursu & indole prodentem (vere enim heroibus similis videbatur, equitandi modo & armorum tractandorum arte longe præcellentissimus) terga dare haudquaquam

οὐδαμῆ ᾐσχύνετο. Ὁ δὲ φεύγουσιν A ἐπικείμενος λέγεται ὅτι μιᾷ δόρατος προσβολῇ πεντεκαίδεκα τῶν πολεμίων εἰς γῆν ἔβαλεν. Ἐν γὰρ ταράχῳ καὶ συγχύσει φερομένους, συγκρούειν ἀλλήλοις οὐδενὶ κόσμῳ συνέβαινεν· αὐτοὺς τετταράκοντα ἢ τοὺς πάντας ἐπὶ στόμα κατενεγκὼν τοὺς ἄλλους ἐτρέψατο. Φεύγουσί τε ἐφεπόμενος συνέκοπτεν ἀεὶ κατὰ νώτου, καὶ ξίφει καὶ δόρατι χρώμενος. Ὅτι συνέπεσέ τι καὶ τοιοῦτον· τῶν τις προκαταδορατισθέντων αὐτῷ τοῦ πτώμα- B τος ἀνενεγκὼν (οὐ γὰρ καιρίαν ἐτύγχανε πεπληγμένος,) ἔφευγεν, ἐκ ποδὸς τὴν πορείαν ὁ τάλας ποιούμενος. Ἐπειδή τε ἀγχοῦ βασιλέως γεγονότα εἶδε, σπασάμενος τὸ ξίφος πατάξων ἐφέρετο τοῦτον. Ὁ δὲ λὰξ τῷ στήθει ἐπιβὰς, αὐτὸν μὲν εἰς γῆν καθεῖλκε. σημειωσάμενος δὲ ἔκ τινος ἐπισήμου περὶ τὸν ὀφθαλμὸν πάθους παρῆλθε. Κάμνοντος δὲ τοῦ ἵππου αἰσθόμενος ἤδη τῷ βάρει τῶν ὅπλων, παλινδρομεῖν μὲν οὐ- C δὲ ὡς ἤθελε. Τῷ δὲ Καντακουζηνῷ, (ἐτύγχανε γὰρ ἤδη τῶν βασιλέως ἐποχούμενος) ἐκέλευε πρόσω χωρήσαντι συμμίγνυσθαι τοῖς βαρβάροις, ὡς ἂν οὕτω τῇ πρὸς αὐτὸν ἀσχολίᾳ, ἐπικαταλαβεῖν σφᾶς καὶ αὐτὸν γένοιτο. Καὶ ἔτυχέ γε τοῦ σκοποῦ. Ἐπειδὴ γὰρ τάχιστα τῶν πολεμίων ὁ Ἰωάννης ἐγγύθεν ἐγένετο, Βαχχῖνον τὸν Ἀρχιζουπάνον, παίει μὲν κατὰ τοῦ μεταφρένου, διελάσαι τὸ δό-

erubescere. Illum fugientibus instantem ajunt uno hastæ ictu quindecim ex hostibus ad terram prostravisse. quippe in tumultu & turba fœde in alios alii impingebantur ac se ipsi impellebant: ipsis autem quadraginta universis in os projectis, reliquos avertit: novissime insecutus, ac modo gladio, modo hasta usus, terga carpsit profugorum. Tum quoque & istud accidit. Quidam ex iis, qui hasta ante ab imperatore cæsi, posteaquam ex lapsu resurrexisset (neque enim letali vulnere erat confossus) fugam inde pedibus miser paravit. Ubi autem prope se principem conspicit, stricto gladio in eum velut percussurus fertur: qui summo pede pectus feriens alterius, protrusum humi atque insigni circa oculum vulnere notatum relinquit. Equum vero etiamsi adgravatum advertebat armorum pondere, non ideo tamen sistere impetum voluit, sed Cantacuzenum, qui solus ex imperatoriis accesserat, progredi & concurrere cum barbaris imperat; ut sic nimirum in illum intentos & ipse opprimeret. Prout intenderat, res successit. Postquam enim quam citissime hostibus se intulit Joannes, Bacchino Archizupano tergum percussit,

ρυ

ρυ προθυμηθεὶς, οὐ μέντοιγε καὶ ἐδυνήθη τῆς ὁπλίσεως αὐτὸν περιεχούσης. Ὁ δὲ ἐπιστραφεὶς ἔγνω πρὸς ἀνδρῶν διωκόμενος δυεῖν. συμπαρῆν γὰρ βασιλεῖ καὶ θάτερος Ἰωάννης, οὗπερ ἤδη ἐμνήσθην. Ἑπτὰ γοῦν τῶν ἀμφ' αὐτὸν ἐπαγόμενος, ξυμπλέκεται τῷ Καντακουζηνῷ, καὶ ἡ μάχη ἀπὸ χειρὸς ἤδη ἐγένετο. Ἐν τούτῳ δὲ τῶν βαρβάρων ἄλλου ἀλλαχόθεν συρρέοντος ἀεὶ, ἐν ἐσχάτοις ὁ Καντακουζηνὸς ἦν. Καὶ εἰ μὴ βασιλεὺς ἐγγύθεν ἤδη παραφανεὶς ἐξεῖλεν αὐτὸν τοῦ κινδύνου, ἐδέησεν οἶμαι οὐδὲν βαρβαρικῆς ἔργον μαχαίρας γένεσθαι τὸν ἄνθρωπον. Οὐ μὴν οὐδὲ αὐτὸς βασιλεὺς ἔξω κινδύνου ἐγένετο. Λογισάμενος γὰρ ὡς εἰ τοῖς τὸν Ἰωάννην κυκλοῦσιν ἑπτὰ τέως οὖσιν αὐτὸς ἀντιτάξοιτο, ἐξέσται τοῖς ἄλλοις εἰς τριακοσίους ἤδη ἀριθμουμένοις κατ' ἀμφοτέρων ἰέναι· δεῖν ἔγνω τῷ πλήθει συμπλακήσεσθαι πρότερον, ἐκείνων γὰρ ἀποχωρούντων, ξυναπιέναι καὶ τοὺς τὸν Ἰωάννην περιστοιχίζοντας εἰκὸς ἦν. Καὶ δὴ τὸν ἵππον μυωπίσας περὶ μέσους ἐσήλασεν. Ἀλλά τινα τούτων παίσαι τῷ δόρατι προθυμηθεὶς τούτου μὲν διήμαρτεν, ἐγκλίναντι γὰρ τῷ βαρβάρῳ ξυνέβαινε κενὴν τῆς πλευρᾶς διεκπεσεῖν τὴν αἰχμήν. Ἀπὸ χειρὸς δὲ λοιπὸν αὐτῷ συνεπλέκετο. Ὅπερ ὁ Βακχῖνός τε αὐτὸς καὶ οἱ περὶ ἐκεῖνον ἰδόντες, Ἰωάννην μὲν αὐτοῦ ἔλιπον. Ἐπὶ δὲ βασιλέα δρόμῳ ἦλθον. Καὶ τὸ πρᾶγμα φρίκης μεστὸν ἦν. Ἀλλὰ βα-

A ac totum hasta transverberare cogitaverat, nisi arma præpedivissent. Is vero conversus, videt se à duobus impeti: namque principi aderat jam & alter Joannes, cujus modo fecimus mentionem. Iccirco septem suorum ascitis, cum Cantacuzeno congreditur, & jam cominus pugna decernunt. Intèr ea aliis alia barbarorum circumfluentibus, in extremum adduci periculum Cantacuzenus. quo si non B eum imperator subveniens liberasset, haud utique dubium credo erat, quin barbarico mucrone vir interemtus concidisset. Neque ipse imperator expers discriminis fuit. Quippe reputans, si ipse occurreret iis, qui numero adhuc septem Joannem circumvenerant, integrum fore aliis, & jam numero quidem trecentis, impugnare utrumque; primum oportere putavit cum multitudine decernere. C quibus cedentibus, haud dubie & obsessores Joannis destituros. Inde equo concitato medios invehitur. Sed aliquem transfigere intendentem ictus fallit, dum hac illac inclinante barbaro, innoxia ad latus hasta decidit. Tum vero ad manus deventum. Quod cum Bacchinus & qui circa illum videre, omisso Joanne, ad imperatorem cursu vadunt. hinc horribile certamen. Verum princeps abjecta hasta ac-

σιλεὺς

σιλεὺς τὸ μὲν δόρυ μεθίει, ὁ δὲ παρηρτημένον ξίφος ἑλκύσας πυκνὰ παρ' αὐτοῖς ἐστρέφετο παίων ἀεὶ, καὶ παιόμενος, ἕως τῶν ἄλλων σκεδασθέντων, εἰς αὐτόν τε καὶ Βακχῖνον τὰ τῆς μάχης ἀπεκρίνατο πάσης, ἀνδρείᾳ τε διαφέροντα καὶ σώματι μεγάλῳ ἐς ἄγαν κεχρημένον. Μετὰ πολλὴν γοῦν τινα συμπλοκὴν, Βακχῖνος μὲν τῷ βασιλεῖ τῆς σιαγόνος τὸ ξίφος κατενεγκὼν ἔπληξεν, οὐ μὴν καὶ διελᾶν τὸ ἐκ τοῦ κράνους ἐπὶ τὰς ὄψεις ἠρτημένον ἠδυνήθη περιπέτασμα. Οὕτω μέντοι ἰσχυρὰ ἡ πληγὴ γέγονεν, ὡς τοὺς κρίκους ἱκανῶς τῇ σαρκὶ ἐνιζήσαντας ἐπὶ πλεῖστον ἐκτυπωθῆναι. Ὁ δὲ βασιλεὺς τῆς χειρὸς τὸν βάρβαρον ἀφελόμενος τῷ ξίφει τῷ ἐξαδέλφῳ παρεδίδου φέρων. Ὁ δὲ καὶ πάλιν ἐπὶ τοὺς πολεμίους ἐσφάδαζεν ἰέναι, ἀλλ' ἀμφοτέρω τε τὼ Ἰωάννα καὶ Βακχῖνος ὁ βάρβαρος ἐπισχεῖν αὐτοῦ τὴν ὁρμὴν ἴσχυσεν. ἤδη γὰρ τὸ εὔνουν ἐκεῖνος δεδουλωμένος ἐσχηματίζετο. Τὰς οὖν τῆς κεφαλῆς αὐτοῦ τρίχας ὑποδεικνὺς, ἐντεῦθεν πῶς τὸ ὑπαντιάσον αὐτοῦ πλῆθος ὑπεσημαίνετο. ἐν τούτῳ τῷ πόνῳ δυεῖν ὁ Καντακουζηνὸς δακτύλων θατέρας ἐστέρητο χειρός. Βασιλεὺς δὲ ἀμφὶ τεσσαράκοντα πολεμίων ἐπαγόμενος δορυαλώτους, ἐπὶ τὸ στρατόπεδον ἦλθεν. Ὅτε δὴ κἀκείνου εἰς μνήμην ἐλθὼν, ὃν ἤδη καταβαλὼν ἐκ τοῦ κατὰ τὸν ὀφθαλμὸν ἐπισήμου παρῆλθε τεκμηριωσάμενος, ἀνεζήτει τοῦτον ἐπὶ τοῦ στρατοπέδου τὸ σημεῖον εἰπών. ἐγένετο τοίνυν κἀκεῖ-

A cinctum ensem stringens inque eos convertens, lædit & vicissim læditur; donec aliis disjectis, penes illum & Bacchinum, fortitudine excellenti & procero admodum corpore virum, tota pugnæ summa constitit. Post longum ergo certamen Bacchinus maxillam imperatoris gladio ferit, nec dissecare potuit dependens ex galea super oculos velamentum. adeo autem vehemens B ictus fuit, ut annuli satis firmiter carni innexi, maximam partem excussi fuerint. Imperator vero manibus Bacchini extortum mucronem patrueli suo tradidit: inde iterum vadere in hostem contendit, sed uterque Joannes & Bacchinus barbarus, inhibere impetum conari. quippe captus jam benevolentiam simulabat. Capillis autem capitis sui ostensis, sic quodammodo ingentem nu- C merum occursuræ illi multitudinis significabat. eo in certamine duobus digitis alterius manus privatus Cantacuzenus: imperator vero quadraginta secum ex hostibus captivos adducens, in castra rediit. Ibi eum memoria subiit illius, quem paullo ante prostratum & signo circa oculum notatum reliquerat. hunc ergo dicto signo quæsivit in castris: isque inventus agnovit victorem,

νος,

ν@, καὶ ἀνεγνώριζε τὸν νενικηκότα, καὶ ἀνεγνωρίζετο. Οὐκ εἰς μακρὰν δὲ πρέσβεις ἐπὶ τοῦ Ἀρχιζουπάνου ἐπὶ τὸ στρατόπεδον ἧκον, ἀμνηστίαν αὐτῷ κακῶν ἐξαιτούμενοι. Καὶ δὴ βασιλέως κελεύσαντος ἧκε μετὰ μικρὸν ὁ ἀνὴρ, ἱκέτην ἐλεεινὸν ἑαυτὸν παρεχόμενος. καὶ βασιλεὺς μὲν ἱκετεύοντα προσηκάμενος, ἀφῆκε τούτῳ τὴν ἁμαρτάδα. Ὁ δὲ δὴ ἐδάφους μικρὸν ἀνανεύσας, ἔνθα περὶ τῶν βασιλέως ποδῶν ἰχνῶν ἔκειτο καταβαλὼν ἑαυτὸν, ὅρκοις τὰ δεδογμένα ἐπίστου. δοῦλος ἐς τὸν πάντα ἔσεσθαι Ῥωμαίοις αἰῶνα βεβαιῶν, κἂν μὲν ἐπὶ τὴν ἑσπέραν στρατεύοιε, σὺν δισχιλίοις ἕπεσθαι ὁμολογεῖ, πολεμοῦσι γε μὴν ἐπὶ τῆς Ἀσίας, πρὸς οἷς τὸ πρότερον ἐπεπόμφει τριακοσίοις, καὶ διακοσίους ἤδη προσπέμπειν. Ταῦτα κατορθωκὼς βασιλεὺς, ἐπὶ τὴν Κωνσταντίνου παλινδρομεῖ. Ἐν τούτῳ δὲ καὶ ὁ στόλος τῆς ἀμφὶ τῇ Ἰταλίᾳ διαπεπραγμένος οὐδὲν, ἐς Βυζάντιον ἦλθε. Δαλμάται μὲν τούτῳ δὴ τὸ ἐς Ῥωμαίους ἐτήρησαν δοῦλον, ὥστε χρόνοις πολλοῖς ὕστερον Οὔρεσιν τῆς ἀρχῆς παραλύσαντες, ἐπειδὴ βασιλέως μηδὲν συνειδότος θατέρῳ τῶν ἀδελφῶν αὐτὴν ἐνεχείρισαν, ἔδεισάν τε ὡς τὸ εἰκὸς μή τι αὐτοῖς χαλεπήνῃ, καὶ Δέσε καὶ Οὔρεσιν ἄγοντες παρ' αὐτὸν ἦλθον. ὅτῳ αὐτὸς ἐπιψηφιεῖται ἀναγκαίως ὑπακούσεσθαι λέγοντες. δίκης τοίνυν αὐτοῖς ἀνοιγείσης, βραβεῖόν τι ἐκ βασιλέως Οὔρεσιν αὖθις τὴν ἀρχὴν ἔσχεν. Ἀλλὰ ταῦτα μὲν ὕστερον. Βασιλεὺς δὲ ἐπὶ τὴν Οὐννικὴν ἐχώρει, τὴν εἰς

A & vicissim ab illo agnoscebatur. Neque ita multo post legati ab Archizupano venerunt, oblivionem illi malorum precantes, ac statim, jubente principe, & ipsus adesse, seque miserandum in modum supplicem præbere. sic admisso imperator veniam delicti concedit. Ille vero, paullisper solum intuitus, ubi se ante pedes imperatoris projecerat, jurejurando pacta confirmat: sidemq; dat servum se omni tempo-
B re futurum Romanis, & si vel in Occidentem arma princeps circũferret, cum duobus se millibus secuturum pollicetur: seu vero in Asia gerant bellum, trecentis, quos primum mittere consueverat, ducentos additurum. His rebus feliciter gestis, Byzantium imperator rediit. Eo quoq; circa idem tempus classis relata est, nullo in Italia confecto negotio. Ita quidẽ servitutem pertulerunt Romanam Dalmatę, ut
C longo post tempore, postquam Uresin imperio deturbassẽt, atq; ignaro principe alteri ej[9] fratri tradidissẽt; veriti ne merito ipsis indignaretur, adductis Dese & Uresin ad eũ venerint. cui suffragatur[9] ille foret, huic se omnino parituros dicentes. Ergo aperto illis velut judicii stadio, Uresis certaminis pręmium ab imperatore principatum obtinuit. De his autẽ postea. In Hunnicam deinde duxit princeps, & cõjuncta ante cũ

Δαλμάτας πρότερον, καθάπερ εἴρηται, συμμαχίαν, ὑπόθεσιν πολέμου πεποιημένος αὐτοῖς. Οὐ μὴν ἀπαγγελτὶ ἐπ' αὐτοὺς ἦλθεν, ἀλλὰ γράμμασι πρότερον τά τε ἐς αὐτὸν ἡμαρτημένα σφίσιν ἐδήλου, καὶ τὴν Ῥωμαίων αὐτίκα ἐμήνυεν ἔφοδον. Ἐπειδὴ γοῦν πρὸς ταῖς Ἴστρου ὄχθαις ἐγένετο, νεῶν οὐδαμῆ παρουσῶν, ἃς ἐκ Βυζαντίου ἑτοιμασάμενος εἶχεν, ὡς μὴ τὴν ὀξύτητα τοῦ καιροῦ καταπροήσεται, ὃ καὶ μάλιστα κατορθωτικὸν ἐν τοῖς τοιούτοις φιλεῖ γίνεσθαι, λεμβάδιον τι ἀναβάς, ὁποῖα πρὸς ταῖς ἀκταῖς ἐνταῦθα διασαλεύει αὐτόξυλα, ἐπὶ τὴν περαίαν ἐφέρετο, ἀπὸ ῥυτῆρος ἑλκόμενον τὸν ἵππον αὐτὸς ἔχων. ἑξῆς δὲ καὶ Ῥωμαίων στρατὸς τρόπῳ τῷ αὐτῷ περαιωσάμενος τὴν Οὐννικὴν ἐπάτουν. Ἐνδοτέρω τε προχωροῦντες ἀφειδῶς ἀεὶ τὰ ἐν ποσὶν ἐχείρουν. Ἦν δέ τι χρησφύγετον ἐνταῦθα ἐπὶ θάτερα τοῦ ποταμοῦ ἱδρυμένον Ζεύγμινον ὄνομα, τειχέων τε καρτερότητι, καὶ τῇ ἄλλῃ ἀσφαλείᾳ ἱκανῶς ἔχον. Τοῦτο ἐπειδὴ μὴ ἐξ ἐπιδρομῆς ἑλεῖν εἶχεν, αὐτοῦ Θεόδωρον τὸν Βατάτζην σὺν στρατεύμασιν ἔλιπε, γαμβρὸν αὐτοῦ ἐπ' ἀδελφῇ γεγονότα. Ὁ δὲ τὰς τῇδε κώμας περιιὼν, ἄρδην ἠνδραποδίζετο. ὅτε καὶ Οὔννων στρατὸς ἐχώρει μὲν ὡς Ῥωμαίοις ἀντιταξόμενος. Ἐπειδὴ δὲ ἔγνω ἀνεφίκτοις ἐπιχειρεῖν μέλλων, προσεχώρει καὶ αὐτὸς τῷ βασιλεῖ, καὶ τὸ λοιπὸν κατ' ἐξουσίαν ἤγετό τε καὶ ἐφέρετο πάντα. Ἦν οὖν

A Dalmatis arma, sicuti memoravimus, prætextum belli fecit. Non tamen improvisus, aut non indictis hostilibus, accessit; sed literis primum & delicta ipsis sua ob oculos posuit, simulque adventum indicavit Romanorum. Ubi itaque ad Istri ripam est perventum, nusquam apparentibus navibus, quas Byzantii præparari jusserat, ne occasionem negligeret temporis, quę in talibus ad recte faciendum maB ximi esse momenti solet, ingressus lintrem, quales ibi multæ ad litus reperiuntur uno ex ligno cavatæ, atque una equum fræno attrahens in adversam ripam trajicit. eodem deinceps modo transportatæ omnes legiones Romanæ in Hunnicam descendunt; atque interiora petentes obvia quævis effuse depopulantur. Erat in altera fluminis ripa situm præsidium nomine Zeugminum, murorum ceteC rarumque munitionum robore satis validum. quod ubi primo impetu capere non posset, relicto cum exercitu Theodoro Batatze affine sororio, ipse vicos circumeens plurimos in potestatem accipit. Interea ad resistendum Romanis agmen procedere Hunnorum. Postquam vero adverterunt, se viribus longe superari, dediderunt se imperatori: isque deinceps abegit sustulitque pro libitu omnia. Ita-

ἰδεῖν ἡλικίαν πᾶσαν δορυάλωτον ἐλαυνομένην, καὶ ἔθνη ὅλα κινούμενά τε καὶ ἀνασπώμενα. Καὶ ἣν Ἴστρος καὶ Σάος ποταμοὶ ἐξ Ἄλπεων ῥέοντες ἐπὶ Οὐννικῆς αὐτομαλίζουσι νῆσον (ἄνωθεν ἐφ' ἑκάτερα σχιζόμενοι, καὶ μετὰ πλείστην ὁδὸν ἐς ταυτὸ πάλιν ἰόντες περίοδον) κενουμένην πᾶσαν, καὶ κατοίκων σπανίζουσαν. Ὅτε καὶ αὐτὴν τὴν Ῥηγικὴν Ῥωμαῖοι κατέστρεψαν οἰκίαν; πρᾶγμα ἐν τοῖς μεγίστοις Ῥωμαίων εὐτυχήμασιν ἀναγεγράφθαι ἄξιον. Ταῦτα κατορθωκὼς βασιλεὺς, ἐπὶ Ζεύγμινον ἦλθεν. Ἔνθα ὁ Βατάτζης, καθάπερ εἴρηται, λειφθεὶς τὴν προσεδρείαν ἐποιεῖτο. Ἀλλ' οἱ τὸ φυλακτήριον ἔχοντες, ἕως μὲν οὐκ εἰς μακρὰν ἐπιβεβοηθηκέναι σφίσι τὸν ῥῆγα ἤλπιζον, ἰσχυρῶς αὐτοῦ μετεποιοῦντο. Ἐπεὶ δὲ ὁ μὲν ἠγγέλλετο παρὼν οὐδαμοῦ, Ῥωμαῖοι δὲ πρὸς τὸ τειχομαχεῖν ἤδη ἐγίνοντο, πρὸς τὸν ἐπηρτημένον καταρρωδήσαντες κίνδυνον, ἐχρῆζον βασιλέως, ὡς ἐπ' ἀθῴοις ἐντεῦθεν ἀπαλλαγησόμενοι σώμασιν ἐνδῶσι τὸ φρούριον αὐτῷ. Τοῦ δὲ πρὸς τοῦτο ἀνανεύοντος σχοίνους τε τῶν τραχήλων ἐξῆψαν, καὶ τὰ καλύμματα τῶν κεφαλῶν ἀποθέμενοι, ξὺν ἀτιμίᾳ τῷ βασιλεῖ παρεῖχον ἑαυτούς. Ὁ δὲ ἀπεῖπε Ῥωμαίοις τούτων μὲν ἀπολλύναι οὐδένα. Τὸ φρούριον δὲ μεγάλων μεστὸν ὂν ληΐζεσθαι ἀγαθῶν. Ταῦτα Ῥωμαῖοι καταπραξάμενοι, ὡς ἐπὶ Σάον περαιωσόμενοι ἐφέροντο, πολλῷ στρατοπέδου τοῦ αὐτῶν πλείω τὴν ἀνδραποδισθεῖσαν τῶν

A que videre erat ætatem omnem captam bello agi, & totas gentes subactas alias in sedes transferri; Profluentes autem ex alpibus fluvii Ister & Saus suo cursu insulam in Hunnica faciunt (superius nimirum diffissi à se invicem, ac post longum circuitum confluentes iterum) vacuam omnino & incolarum inopem. Tum quoque subverterunt Romani domum eorum regiam, rem exsecuti inter maxi-
B mos fortunæ successus referri dignam. His ita prospere gestis rebus imperator ad Zeugminum redit, quod relictus ibi, ut exposui, Batatzes circumsidebat. Sed qui præsidium loci tenebant, quamdiu spes erat, brevi cum auxilio regem adfuturum, omnia fortiter administrare. Verum intellecto eum procul esse, & jam mœnia modo impugnare Romanos; periculo imminente conterriti, rogare prin-
C cipem, ut tradentes arcem integris inde corporibus abscederent. Ipso renuente, appendunt cervicibus funiculos, & aperientes capita, cum dehonestamento corporis imperatori se dedunt. qui prohibuit Romanis, quemquam interficere eorum: sed arcem gravi refertam prçda diripiendam concessit. Romani, his rebus confectis, ad Saum, transituri flumen, se recipiunt: multo proprio majorem exercitu ca-

Οὔννων ἄγοντες ἡλικίαν. Ἀλλ' οὔπω A ἐπεραιώσαντο, καὶ διήγγελεν ἡ φήμη τὸν Παιόνων ῥῆγα χειρὶ ἐπαγόμενον βαρεῖαν θυμῷ πολλῷ κατὰ Ῥωμαίων ἥκειν ἤδη, θᾶττον τῆς Γαλίτζης χώρας Ταυροσκυθικῆς πόλεμον εὐτυχῶς διενεγκόντα. οὗ δὴ ἕνεκα μάλιστα βασιλεὺς αὐτὸν ἠμύνατο, ὅτι ἐπὶ γνώμην τὴν αὐτοῦ Βλαδιμηρῷ ἐπιφυέντα (τοῦτο γὰρ ὄνομα τῷ Γαλίτζης ἄρχοντι ἔκειτο) ἀνδρὶ ὑποσπόνδῳ Ῥωμαίοις ὄντι. Τούτων ἀκούσας βασιλεύς, τὸ μὲν ἄλλο στράτευμα, καὶ ὅσον ἐν σκευοφόροις ἦν, καὶ τὰ B πλεῖστα τῶν ζωγρηθέντων πλήθη ἀριθμοῦ κρείσσω τυγχάνοντα, ἐκέλευσε διαπεραιωθησομένους ἐπὶ τῆς ἀντιπέρας μεῖναι ὄχθης. ὁ δὲ τὸ ἀπόλεκτον τοῦ στρατοπέδου ἀναλαβών, καίτοι πολλὰ τῶν στρατηγῶν οὐκ ἐπιψηφισαμένων ταῖς δόξαισιν, ἠπείγετο τὴν ταχίστην συμπλακησόμενος αὐτῷ. Λύκων ἢ λεόντων εἶναι φάμενος ἔργον, τοῦ μὲν τῶν προβάτων καταπείγεσθαι πλήθους, ποιμένων δ' ἔπειτα ἢ κυνῶν ἐκφανέντων, φεύγειν μηδὲν αἰσχυνομένους, μόνῳ τῷ C αὐτοὺς κατεθηραθέντα περισώζειν μόγις καὶ ἀγαπητῶς ἀρκουμένους. ὅτι λέγεται καὶ τοιοῦτον, ὁποῖον εἰ μὲν καὶ ἀντικρὺς προαιρουμένῳ ἔδοξεν αὐτῷ, οὐκ ἔχω ἐπαινεῖν. Εἰ δὲ καὶ προμηθείας τινός, ὥσπερ οἶμαι, ἕνεκα, καὶ τοῦ εὐψυχότατα Ῥωμαίους ἀμφ' αὐτὸν ἀγωνιεῖσθαι, στρατηγικῆς ἥγημαι ἐπινοίας ἄξιον εἶναι. Ἐπειδὴ γὰρ τῶν Σάου ναμάτων ἀπαίρειν ὡς ὑπαντιάσων τοῖς Παίοσι συνεσκεύαστο ἤδη, παρεγγύα τοῖς τὴν πολλαρ-

ptivam adducentes Hunnorum multitudinem. Prius vero, quam transiverant, fama asfertur, Pæonum regem magno exercitu impetuque in fines tendere Romanos, bello Galitzæ regioni Tauroscythicę illato superiorem. ea maxime de caussa ultum eum imperator ivit, quod ex animi nimirum sententia Bladimerum (id nomen erat Galitzæ præfecto) fœderatum Romanorum invasisset. Quo cognito, imperator reliquum agmen, & calones omnes, & infinitam captivorum multitudinem, flumen transductos in adversa ripa considere jubet: ipse cum delectis militibus, nequicquam dissentientibus ducibus, contracturus extemplo certamen, vadere in hostem festinat. *Luporum esse, non leonum,* dicens, *pecorum quidem incessere gregem, ceterum, pastoribus aut canibus visis, sine pudore ullo fugere, eo solo, si ipsi prædam modo retineant, abunde contentos.* Tum & hoc, quod dicam, fecisse fertur: quod si vere deliberatum ei atque constitutum fuit, laudare haudquaquam possum: si providentiæ alicujus ergo, sicuti existimo, utque plenissimi animorum circum se Romani pugnarent, militare dico commentum fuisse. Posteaquam enim paratus jam esset ad occurrendum Pęonibus ab Sao discedere; imperat

χίαν

χίαν ἐμπεπιστευμένῳ, θατέρας τοῦ ποταμοῦ ὄχθῃ προσεσχηκότα, αὐτοῦ σὺν ταῖς ναυσὶν ἵστασθαι. Ἦν δή ποτε Ῥωμαίων τις φυγὰς ἐπὶ τὴν ἑτέραν ἰὼν διαπορθμεύεσθαι ἀξιοίη, τὸν δὲ ἀλλὰ μηδὲ ὁρᾶν προσποιεῖσθαι τὸν ἄνθρωπον. Καὶ αὐτὸς, ἔλεγε, παρέσομαι, βασιλεὺς, ἑτέρως τῶν παρόντων ἑλόμενος ἀποπροσποιεῖσθαί σε τοὺς λόγους χρεὼν, ἢ μὴν μὴ οὕτω ποιῶν, τὸ αὐτίκα οὐκ ἐκφύξῃ ἀνασκολοπισμόν. Ταῦτα μὲν ὧδε διετάξατο, θάρσους οἶμαι θύραν τοῖς στρατιώταις, ὅπερ ἤδη ἔφην, ἐντεῦθεν ὑπανοίγνυς. Τῆς γὰρ ἐκ δειλίας ὀνήσεως οὐδαμῇ παρούσης, ἀνάγκη ἐς τὴν ἐπὶ τοῦ θάρσους μετασκευάζεσθαι ἀρωγήν. Μέλλοντι δὲ λοιπὸν ἐκεῖθεν ἀπελαύνειν, ἧκέ τις δορυαλώτων Ῥωμαίων, φυγὰς ἐκ Παιόνων, τὴν τοῦ ῥηγὸς ὅσον οὐκ ἤδη μηνύων ἔφοδον. Τούτων ἀκούσας ὁ βασιλεὺς, οὐκέτι κατέχειν ἑαυτὸν, οἷός τε ἐγένετο, ὡς μὴ πρότερον ἀφικόμενον τὸ Οὐννικὸν φθάνουσιν ἐπιθέσθαι δόξειε Ῥωμαίοις. Ταξάμενος τοίνυν ἐχώρει παλίμπους. Ὡς δὲ ὁ ῥὴξ μὲν οὐ παρῆν, Βέλοσις δὲ ὁ τὰ πρῶτα παρ' ἐκείνῳ φέρων, (Μαπάνον ταύτην καλοῦσιν Οὖννοι τὴν ἀρχὴν) οὐ μακρὰν εἶναι ἠγγέλλετο, σπουδῇ ἐπ' ἐκεῖνον ἐφέρετο. Ἐπεὶ δή τι συνεσκότιαζεν ἤδη, τοῦ ἵππου ἀποβὰς, αὐτός τε ἐπὶ τῆς ἀσπίδος ὕπτιος πρὸς τοῖς ὅπλοις ὕπνωσε τοῖς αὐτοῦ, καὶ τὸ στράτευμα ἐπὶ τοῖς αὐτοῖς ξυνδιήγαγεν ἅπαν. Τῇ δ' ὑστεραίᾳ Βέλοσις μὲν ἐπιόντα βασιλέα πυθόμενος, ᾤχετο πανστρατιᾷ, σκέψεις τινὰς οὐχ ὑγιεῖς ἀνα-

A navium præfecto, ut appulsis ad alteram ripam navibus, ibi consisteret, & siquis Romanus ex fuga se transjici oraret, quasi non videret, hominem nihil moraretur. *Quin & ipse*, aiebat, *si adsim*, imperator, *& aliter quam nunc cummaxime tibi præcipiam, nihili facere sermones meos te volo*: ni paruisset, palo fixum iri comminatus. Ea quidem sic ideo instituit, ut ad confidentiam, quemadmodum diximus, B militi quasi januam aperiret. Ubi enim nullum ex metu levamen apparet, petendum necessario auxiliũ à fiducia est. Abitum itaq; molićti quidam è captivis Romanis, à Pęonibus transfuga, jam jã adventurũ regem indicat. quo intellecto, non se diutius eo tenere loco ausus imperator, ne priores supervenientes Hunni fugientibus instare Romanis viderentur; ordinato agmine retro cessit. Ut vero constitit, non iC psum adesse regem, sed Belosin Mapanum (secundum à rege honorem sic Hunni vocant) appropinquare cum exercitu, in eum citatus fertur. Cumque jam se tenebræ intenderant, equo descendere, super clypeum in armis somnum resupinus capere, idemque ut facerent milites imperare. Postero autem die, Belosis cognito adventare principem, omni cum agmine abscessit, consilia haud sana

πλάσας. Πρόφασιν γὰρ τῆς φυγῆς ἐκπλαζόμενος, μεμηνῦσθαι αὐτῷ πρὸς τοῦ Ῥηγὸς ἔφασκε τῆς προκειμένης ἀποκλίνοντι, ὡς ἐπὶ Βρανιτζόβαν πόλιν ἰέναι ὅπως ἐντεῦθεν μᾶλλον Ῥωμαίοις ἰέναι ἐλθεῖν αὐτὴν γένοιτο. Βασιλεὺς δὲ τοῦ καὶ εἰσέτι διώκειν ἀποσχόμενος, ἐπὶ τὸν ποταμὸν ἐλθὼν ἐπεραιοῦτο, ἐν Βρανιτζόβῃ τε γεγονὼς, ἐνταῦθα ηὐλίζετο. Ὀλίγῳ δὲ ὕστερον, καὶ κατ' ἄλλο τι τῆς Οὐννικῆς μέρος, ὃ δὴ τὸ ὄρος ἐστὶν, ὃ Τεμίσης πρὸς τῶν ἐγχωρίων ὠνόμασται, προνομεῦσαι διανοηθεὶς, B Βορίσην ἅμα στρατεύματι ἔπεμπεν, ὃς καὶ αὐτὸς ἐκ τῶν αὐτῶν ἐλέγετο τῷ Γιάτζᾳ φῦναι σπερμάτων. κατὰ διάνεξιν δέ τινα ἐς βασιλέα Ἰωάννην φυγὰς ἔτυχε πολλῷ πρότερον ἐλθών. ὁ δὲ τιμῆς τε μετέδωκεν ἱκανῶς καὶ κῆδος ξυγγενοῦς τινος ξυνῆψε κόρης αὐτῷ. Οὗτος δὲ ὁ Βορίσης πρὸς τῷ χώρῳ γενόμενος περιῄει τὰς τῇδε κωμοπόλεις ἀνασπῶν, πλήθεσι τε κατοίκων μονονουχὶ στενοχωρουμένας, καὶ παντοίοις περιβεβριθεῖς οὔσας καλοῖς. Ὅτε C δὴ καὶ φάλαγξι τρισὶν Οὐννικαῖς εἰς χεῖρας ἐλθὼν, ἐτρέψατό τε κατὰ κράτος, αὐτὸν βασιλέα παρεῖναι οἰηθεῖσας, καὶ βαρὺς ταῖς ὠφελείαις ἐκεῖθεν ἀναστρέψας, εἰς τὸ Ῥωμαίων ἦλθε στρατόπεδον. Ὁ δὲ Ῥὴξ γνοὺς ὡς Βορίσης ταῦτα, οὐ βασιλεὺς Ῥωμαίων, εἰργασμένος ἔτυχε, Παιονίαν τὰ δεινὰ, θυμομαχήσας ὀπίσω ἐδίωκεν. Οὐ μὴν καὶ ἐδυνήθη Βορίσῃ συμμῖξαι, ἤδη νυκτὸς ὑπὸ λαμπάσι περαιου-

A commentus. Quippe excogitato fugæ prætextu, monitum se à rege aiebat, flectere propositum iter & ad civitatem Branitzobam ducere; ut inde potius Romanos adoriretur. Princeps vero insequi ulterius desistens, reversus ad flumen, moxque traductis legionibus, Branitzobam venit, & castra ibi posuit. Paullo post & aliam Hunnicæ partem, qua mons est Temises ab incolis dictus, depopulari cogitans, B mittit eo cum exercitu Borisen, qui & ipse natus ex semine Jatzæ ferebatur; sed propter dissidium haud multo ante ad Joannem imperatorem profugus venerat. isque amplis eum honoribus affecit, & data in matrimonium cognata affinitatem cum illo junxit. Eum in locum postquam venit Borises, vicos magnarum instar urbium populando circuire, incolarum multitudine late extensos & o- C mne genus plenos bonorum. Adhæc cum tribus Hunnorum phalangibus manibus collatis, aciem earum, ipsum interesse prælio imperatorem opinantium, virtute militum avertit, rediitque in castra præda gravis. Rex autem ubi intellexit Borisen, non principem Romanorum, sic affecisse Pæoniam; cupidus prælii a tergo insequitur. Sedenim congredi cum eo eon potuit, ut pote qui jam in-

σαμένῳ,

σκημένῳ, αἳ πολλαὶ ἐκ τοῦ στρατοπέδου βασιλέως ὑπανῆψεν αὐτοῦ. Ὅτε καὶ δύο τῶν ἐκ τοῦ πεζῶν καταλόγου ἐπὶ τῆς ἀντιπέρας ἔτι λειφθέντες ὄχθης, τῶν Οὔννων ἀφικομένων τὰς τῇδε ὑπελθόντες λόχμας, καθεῖν ἴσχυσαν. Ταῦτα κατωρθωκὼς βασιλεὺς, πόλεις τε τὰς παριστρίους ὡς εἶχον κεχειρωμένος, ἐνταῦθα διατριβὴν ἐποιεῖτο. σκεπτόμενος τὸν Ἴστρον τε αὖθις διαβῆναι, καὶ τῷ Ῥηγὶ συμπλακήσεσθαι περὶ θατέραν τοῦ Ἴστρου ὄχθην ἐστρατοπεδευομένῳ καὶ αὐτοῦ. Ὅπερ ἐκεῖνος μαθὼν πρὸς τὴν ἀπὸ τῆς τύχης ἀποδειλιάσας ἔκβασιν, μὴ καὶ ἐν τούτῳ δυστυχήσαντος πανωλεθρίᾳ λοιπὸν τὸ Οὐννικὸν ἐκτριβῇ, ἐς βασιλέα πέμψας εἰρηναῖα διελέξατο, τοῦ λοιποῦ δέ τε βασιλεὺς ἐς Βυζάντιον ἦλθεν. ἀποθριαμβεύσας τε πομπεύσας, λαμπρῶς θεῷ τὰ χαριστήρια ἔθυσεν. Ὑπὸ τοῦτον τὸν χρόνον καὶ θυγάτριον αὐτῷ πρώτως ἄρτι ἐκ τῆς Αὐγούστης ἐτέχθη, Εἰρήνης κάλλει διενεγκὸν, Μαρία τε ὠνομάσθη, καὶ βασιλὶς ἀνεβοήθη. Ῥωμαῖοι μὲν ἐν τούτοις ἦσαν. Ῥογερίου δὲ τοῦ Σικελῶν τυράννου τὸ ζῆν καταστρέψαντος, Γυλιέλμος ὁ ἐκείνου παῖς τὴν ἡγεμονίαν παραλαβὼν, πολλά τε ξυνειδὼς ἐς τὴν Ῥωμαίων ἀρχὴν τῷ πατρὶ διημαρτημένα, δεῖν ἔγνω πρέσβεις ἐς βασιλέα πέμψαι, οὕτω τε τὰ διάφορα λῦσαι. Ἧκον οὖν ἄνδρες ἐπισκοπὴν ἕκαστος περικείμενος ἀρχήν. Ἦν δὲ ὁ τῆς πρεσβείας νοῦς τοιοῦτος. Χρήματα

A cedente nocte transmisisset, prælucentibus facibus, quas frequentes illi imperator è castris accenderat. Tum etiam adversa in ripa relicti adhuc duo de pedestribus numeris, adventantibus Hunnis subducentes se in propinquos saltus, prætereuntes fefellere. His scite & fortunate gestis, quæque ad Istrum quoquo modo expugnatis oppidis, commorari ibi imperator; transire iterum flumen cogitans, & cum B Pæonum rege, in altera item ripa castra habente, prælium committere. Quod postquam ille advertit, metuens fortunæ exitum, ne adversis belli rebus totus Hunnorum exercitus internecione deleretur; legatos ad petendam pacem ad imperatorem misit. qui tandem Byzantium redux, acto triumpho, magno Deo supplicavit. Sub idem tempus prima illi ex Augusta filia nascitur, Eirenem forma superans: C vocaturque Maria, & imperatrix proclamatur. Hæc apud Romanos gesta. Mortuo autem Siciliæ tyranno Rogerio, Gulielmus filius ejus successit in regnum: ac multa in imperium Romanum peccasse patrem conscius, necessum putavit ad dirimendas simultates legatos ad principem mittere. Venerunt ergo viri, episcopali quisque dignitate insignes. eratque ea fere legationis sententia: Prædam &

μὲν

μὲν καὶ σώματα ὁπόσα Ῥογέριος Εὐβοίας τε καὶ Θηβῶν τῶν ἐν Ἑλλάδι, πόλεώς τε Κορίνθου, καθάπερ μοι δεδήλωται, ναυσὶ περιαρπασάμενος ἔτυχε, ταῦτα δὲ πάντα ἀποδοῦναι ἀπηγγέλλετο. βασιλεῖ δὲ πάντα ὅσα βουλομένῳ ἐστὶν ὑπηρετήσειν ἄσμενος ὡμολόγει. Ἀλλὰ βασιλεὺς τοὺς πρέσβεις μὲν ἀπεπέμψατο, στόλον δὲ νεῶν ἀγείρας, στρατὸν δὲ ἐμβιβάσας αὐτῷ, ὑπὸ στρατηγοῦντι Κωνσταντίνῳ, ὃν Ἄγγελον ἐπεκάλουν, θεῖον αὐτῷ γεγονότα, ἐκέλευε περὶ τὴν Λακωνικὴν προσεσχηκότα, ἐνταῦθα καὶ τὸ λοιπὸν τοῦ στόλου, ὅσον οὐδέπω ἀφιξόμενον περιμεῖναι μέρος. Ὁ μὲν οὖν ἄρας ἐκ Βυζαντίου, πνεύματός τε ἐπιφόρου τυχὼν, Ἀκρωτηρίῳ τῆς Λακωνικῆς προσέσχεν, ὃ Μονεμβασία ἐκ τοῦ τόπου θέσεως πρὸς τῶν πολλῶν ὀνομάζεται. Βασιλεὺς δὲ Γέτζαν τῶν Παιόνων Ῥῆγα τοῖς φθάσασιν ὠδίνοντα ἐξαπιναίως ταῖς Παριστρίοις ἐπιτεθήσεσθαι πόλεσι διανοεῖσθαι μαθὼν, προφθάνειν ἠπείγετο τὴν ἐγχείρησιν. Καὶ δὴ πρὸς ταῖς τοῦ Ἴστρου καὶ πάλιν ὄχθαις, ᾗ τάχους εἶχε γενόμενος ἀντικάθητο τῷ Οὐννικῷ, ἐπὶ θάτερα ἐνστρατοπεδευμένοι καὶ αὐτῷ. Μέχρι μὲν οὖν τινὸς οὐδέτεροι χειρῶν ἄρχειν ἤθελον. ἄλλως τε καὶ νεῶν οὔπω Ῥωμαίοις ἐν τῷ τέως παρουσῶν· ἐπεὶ δὲ ἡμέραις τισὶν ὕστερον Ῥωμαῖοι ἐκ τῶν παρόντων ναυπηγησάμενοι ἀκάτια ὅτι πλεῖστα καθείλκυσαν εἰς τὸν ποταμόν· γνοὺς τὰ πραττόμενα τῶν Παιόνων ὁ Ῥήξ, δείσας τε, ὅπερ ἔφην, μὴ καὶ δεύτερον

A captivos, & quæcunque pater ejus Rogerius ex Eubœa & Thebis Bœotiis & Corintho, ficuti ante dictum eft, navibus avexerat, illum omnia ifta redditurum, & alia quævis, fimul imperator juberet, libentiffime fuppeditaturum. Sed enim princeps, rejectis legatis, claffem contrahere, ei copias imponere, duce Conftantino cognomine Angelo, avunculo fuo: cum mandatis ut circa Laconicam B adpelleret, ibi ceteram claffis partem jam jam adventuram operiretur. Ille igitur Byzantio folvens, vento fecundo ad promontorium Laconicę, Monembafiam vulgo ob fitum vocatum, defertur. Imperator autem poftquam accepit, Jatzam Pæonum regem acceptis indolentem cladibus, tranfiftrianas civitates improvifo aggredi cogitare; prævertere hominis conatus occupat. Itaque ad Iftri ripam C quanta poterat celeritate reverfus, caftrametatis in altera Hunnorum legionibus fe objecit. A parte utraque temperatum aliquandiu manibus; dum fcilicet naves nondum acceſſerant Romanorum. Sed ubi illi aliquot poft diebus fabricata de præfentibus acatia quam plurima deduxere in flumen, edoctus quę gerebantur Pæonum rex, metuenfque, ut diximus, ne fecundo belli fortuna inclinante i-

ἡττη-

ἠτυχηκὼς περὶ αὐτοῦ κινδυνεύσῃ τῇ ἀρχῇ, ἐπὶ συμβάσεις καὶ πάλιν ἐχώρει. πρέσβεις τε πέμψας, ᾐτεῖτο χιλιάσιν οὐ πλέον δέκα ζημιωθὲν τὸ Οὐννικὸν, τὴν ἄλλην τῶν αἰχμαλώτων πληθὺν ἀπολαμβάνειν αὖθις. οὕτω γὰρ φίλα διὰ βίου Ῥωμαίοις φρονήσειν ἔλεγε, καὶ ἐν ὑποσπόνδοις τετάξεσθαι αἰῶνα τὸν πάντα. Ἐπὶ τούτοις οὖν τῆς εἰρήνης περαιωθείσης ἐκεῖθεν ὁ Ῥωμαίων ἀνεζεύγνυ στρατός. ἐν τοιούτοις μὲν τὰ κατὰ τὴν ἤπειρον εἶχε. Τὰ δὲ κατὰ θάλασσαν κακότητι στρατηγοῦ εἰς τοὐναντίον ἐτελεύτα. Ὁ γὰρ Ἄγγελος ἐκ τῆς κατ' Αἴγυπτον γῆς καὶ ποταμοῦ Νείλου τὸν Γιλιέλμου στόλον ἀνάγεσθαι μαθὼν λαφύρων πλησάμενον, ἐβούλετό τε ἐνταῦθα μέγα τι δρᾶσαι ᾠήθη. ὅθεν καὶ τὸν ἐκ Βυζαντίου λοιπὸν οὐκ ἀναμείνας στόλον, ὡς εἶχε τάχους ἀνήγετο, ὑπαντιάσειν αὐτῷ προθυμούμενος. Καίτοι πολλὰ πρὸς τοῦ βασιλέως ἀπολέγοντος, γράμμασί τε παρεγγυωμένου μὴ ἂν οὕτω ὀλιγανδρούσῃ δυνάμει πρὸς πολλῷ πλέονα διαγωνίσασθαι ἰσχὺν, κωλύσαι γὰρ ἐμαρτύρετο, οὐδὲν αὐτὸν πρὸς τῶν βαρβάρων ἁλῶναι τὸν Ἄγγελον, καὶ οὐδὲ ἄγγελον γοῦν ἐκεῖθεν ἐπανήξειν, ὃ δὴ λέγεται. Ἀλλ' ἐκεῖνος περὶ ἐλάσσονος ταῦτα πεποιημένος τῷ Σικελικῷ ἤδη προφανέντι ξυνέμιξε στόλῳ. Σικελοὶ τοίνυν τὸ μὲν πρῶτον πρύμναν ἐκρούσαντο, παλίντροποί τε συντεταγμένως ἐχώρουν. Ἐπεὶ δὲ Ῥωμαίους ἀταξίᾳ πολλῇ ἔχεσθαι ἔγνωσαν, τότε δὴ ἀριθμη-

A psam imperii summam periclitaretur, iterum se ad pacis condiciones contulit. Proinde per legatos rogare, ut decem non amplius millibus Hunnis multatis, reliquam captivorum multitudinem reciperet, ita se amicum per vitam Romanis, sociumque in omne fore ævum, promittere. His ergo condicionibus facta pace, iisque terra gestis rebus, legiones inde Romanæ abducuntur. sed valida
B ea fortuna mari in contrarium vertit ducis malitie. Namque Angelus ubi cognovisset Gulielmi classem ex Ægypto & Nilo flumine prædarum gravem adnavigare, opes inde sibi ingentes parare præsumit. hinc non exspectata Byzantio altera classis parte, aviduspugnę vela in hostem quam celerrime cõvertit. Licet multum idinterdicẽte principe, literisq; monente, ne cum tam exigua manu copiis se longe
C frequentioribus committeret. testabatur enim, nihil impedimento fore, quo minus à barbaris caperetur Angelus, & ne nuncius quidem, ut proverbio dicitur, inde reverteret. Verũ ille nihil ea pensi habens, cum propinqua jam Siculorũ classe congreditur. Siculi ergo primo quidem inhibebant, & compositis inde navibus retrocedebant. Ubi vero nullo ferri ordine Romanos conspexere, tum demum quam exigua

-τον αὐτοῖς τῶν νεῶν ἤδη καταφανὲς A ἦν· αἴφνης ἐπιστραφέντες ἐφέροντο κατ' αὐτοῦ, τοῦ κατὰ πρύμναν Ῥωμαίοις ἱσταμένου πνεύματος, τύχῃ τινὶ ἐπὶ τὴν πρῶραν μετατεθειμένου. αἱ μὲν οὖν ἄλλαι Ῥωμαίων νῆες τοῦ Ἀγγέλου κατάρξαντος, ὃς τοῦ πρωτοστρατήγου ἀδελφὸς ἦν, (ὀλίγων δὲ νεῶν καὶ αὐτὸς ἦρχε) φυγῇ ἀκόσμως ἐχρῶντο. Κωνσταντῖνος δ' ἐν μέσοις τοῖς πολεμίοις ἀπολειφθεὶς ὑπὸ ταῖς αὐτῶν ἐγεγόνει χερσὶ, τοῦτο τῆς ἀβουλίας ὀνάμενος τῆς αὐτοῦ. Τοιαῦτα καινοτομηθέντων ἐξήκει ἤδη B τὸ ἔτος ἐκεῖνο. Βασιλεὺς δὲ νεωτερίζειν καὶ πάλιν τὸν Παιονάρχην ἀκούσας, (οὐ γὰρ ἠνείχετο τηλικαῦτα περιυβρισμένος ἤδη), τὰ ἐπὶ τὸν Ἴστρον καὶ πάλιν φερόμενος ᾔει. τοῦ δὲ πρὸς τὴν ἐπέλευσιν ἐκπλαγέντος, ἐπὶ εἰρήνης τε καὶ αὖθις διαπρεσβευσαμένου, τότε μὲν ἐλύετο σφίσιν ὁ πόλεμος, καὶ τὰ τῆς εἰρήνης ἐγέλα καλά. Ὀλίγῳ δ' ὕστερον, Ἀνδρονίκου τοῦ βασιλέως ἐξαδέλφου τὰς αἰτίας ἐνδόντος, καὶ κατὰ Ῥωμαίων καὶ αὖθις ἐπολεμώθη. Ἀλλὰ ταῦτα μὲν ὕστερον. C Τότε δὲ βασιλεὺς τοῦτον δὴ τὸν Ἀνδρόνικον ἐπὶ τὴν Κιλίκων καὶ Ἰσαύρων ἐπέμψε γῆν, στρατηγὸν αὐτοκράτορα τοῦ πολέμου τοῦδε καταστησάμενος. Τερόζης γὰρ ἀνὴρ τύχης ἐπιφανοῦς, Ἀρμένιος γένος, πρὸς βασιλέως Ἰωάννου δορυάλωτος ἐκ μακροῦ γεγονὼς, ὁπότε περὶ τοῖς Ἰσαύρων ἐκεῖνος ἐστράτευεν ὅροις, φυγὰς ἐκ Βυζαντίου ἐπὶ Κιλικίαν ἦλθε, καὶ ἀποστασίαν ὠδινήσας, τῆς Ῥωμαίων χειρὸς ἀφιστᾶν ἐπεχείρει πόλεις

classis eorum esset apparuit: itaque repente conversi eam invadunt; cum & ventus, quem primum à puppe habuerant Romani, nunc fortuna interveniente in proram spiraret. Quare aliæ Romanorum naves, Angelo pugnam concitante, qui frater protostrategi (& is paucis navibus imperio præerat) turpi fuga abscedunt. Constantinus in medio hostium relictus captusque, cum temeritatis suæ fructum retulit. His novis rebus gestis, annus ille præteriit. Imperator autem intellecto res innovare iterum Pæonum regem (neque enim perferre illatam contumeliam poterat) iter denuo Istrum versus capessit. Quo impetu illo conterrito, rursumque pacificatum legatos mittente, solutum tum quidem bellum & bona pacis riserunt. Interjecto deinde haud magno spacio, caussas præbente Andronico principis patruele, bellum iterum adversus Romanos concivit. Sed de eo postea. Tum vero hunc eundem Andronicum in Ciliciam Isauriamque misit imperator, ducem illius belli pleno imperio constitutum. Quippe Terozes, fortuna vir præpollens, Armenius genere, à Joanne, cum in montibus Isauriæ bellum gereret, captus quondam, Byzantio fugiens in Ciliciam venit, & defectionem par-

τὰς

τοὺς τῇδε. Ἀνδρόνικον μὲν δὴ τούτου ἕνεκα βασιλεὺς ἔπεμψε, Καίσαρα δὲ ἐφ' ᾧ Κωνστάντζᾳ τῇ Ῥαϊμούνδου πρίγκιπος ἐς γάμον συνελθεῖν γυναικὶ ἐξ ἀνθρώπων ἤδη γεγενημένου τρόπῳ, ὃν αὐτὸς ἄρτι δηλώσων. Φρούριόν τι ἀγχοῦ Βερροιαίων ἱδρυμένον Ἀντιοχεῦσιν ἐς φόρους τυγχάνον ἀπαγωγὴν, οἱ τῇδε περικαθίσαντες βάρβαροι, ἐπειδὴ τῶν ἀναγκαίων ὑποσπανίζειν αὐτὸ ἔγνωσαν, πολιορκίᾳ παραστήσεσθαι ἐπεχείρουν. Ῥαϊμοῦνδος τοίνυν ἐντιμότατος, εἴπερ τις, εἰς τὰ πολέμια γεγονὼς πράγματα, τούτων ἀκούσας, σπουδῇ πολλῇ σὺν τῷ ἀμφ' αὐτὸν στρατεύματι ἐπὶ τὸ φρούριον ἦλθεν. Οὐχ ὑπομεινάντων δὲ τῶν πολεμίων, τὰ ἐπιτήδεια τῷ φρουρίῳ ἐσκομίσας, ἐκεῖθεν ἀνεζεύγνυ. Ἐπειδή τε ἀμφὶ δείλην ὀψίαν ἤδη ἦν, τῷ μὲν προσωτέρω ἔτι ἀπιέναι ἐδόκει, ἅτε χώρου ὄντος παρὰ τέως μηδαμῇ, ἐφ' ᾧ καταλύειν αὐτοὺς ἀσφαλὲς ἦν. τοῖς μέντοι περὶ αὐτὸν καμάτῳ τῷ ἐκ τῆς ὁδοιπορίας πεπονηκόσιν ἤδη αὐτοῦ που σκηνοῦν ἤρεσκεν. Χῶρόν τε οἱ ὑπεδείκνυσαν μέρει μὲν τῷ πλείστῳ τέλμασι περιειλημμένον, τῷ δ' ἄλλῳ βουνοῖς εἰργασμένῳ καὶ ἀκρολοφίαις, αἳ τῇδε ἀνεῖχον. Ἀλλ' ὁ μὲν αὖθις ἰσχυρογνώμων ἦν, καὶ δεδιέναι ἔλεγε μὴ ἐντεῦθεν, τὸν λόφον δεικνύς, νύκτωρ τῶν πολεμίων ἐπιθεμένων ἀδιεξίτητα ἡμῖν ἔσται, καὶ τὸ λοιπὸν ἅτε ἄρνες ἔνδον ἐνσηκασθέντες θνήσκοιμεν, οὐδὲν ἀμύνεσθαι ἱκανοί.

A turiens, civitates eas Romano surripere imperio aggreditur. Eam quidem ob caussam misit eo Andronicum imperator; Joannem vero Cæsarem, ut matrimonio sibi jungeret Constantzam, uxorem Raimundi principis, eo, quem referam, modo rebus jam mortalibus exemti. Castellum prope Berrhœam situm, ad convehēda tributa inserviens Antiochenis, qui circumjacebant barbari, postquam B rerum necessariarum vacuum intellexerunt, vi & armis expugnare aggressi sunt. Ubi ea Raimundo comperta sunt, impigro, si quis alius, militiæ viro, quantum maturari potuit, copias ad castellum ducit. ejus adventum non opperientibus barbaris, & convecto deinde in arcem commeatu, digreditur. Cum jam serum diei esset, ulterius illi procedere virum, penuria loci, ubi considere absque C periculo posset: sui vero laboribus itinerum defatigati, ponenda ibi castra censebant, & simul locum commonstrabant maximam quidem partem paludibus obductum, ceterum tumulis collibusque adjacentibus frequentem. Sed obstinatus ille, *vereor*, inquit, *ne inde*, (tumulum ostendebat) *noctu ingredientibus barbaris evadere non possimus, atque ita ovium instar in medio interclusi moriamur*, ad de-

Ἀλλά τῶν σὺν αὐτῷ τις ἰταμῶς ἐς τὸν A
ἄνδρα ἀπερρίπτει λόγους, καὶ δειλίας
ταῦτα ὑμένοιαν ἑρμηνείας ἔλεγεν
εἶναι; πρὸς ταῦτα θυμῷ Ῥαϊμοῦνδος
ὑποβληθεὶς· οἶδα εἶπεν, ὦ βέλτιστε,
ὡς εἴ γε ἐντεῦθεν παρέλθοιμεν, οὐ μήποτε
ταῦτα ἐπεγκαλῶν ἡμῖν παύσαιο,
ταύτῃ καὶ ἡμεῖς μὲν, ἐπεί σοι δοκεῖ,
ἐνταῦθα σκηνώσομεν. σὺ δὲ ὅρα μὴ
οὐκ ἐπὶ τῶν ἔργων δεικνύναι, ἣν ἄρτι
οὐδὲν δέον ἐπηγγέλλω γενναιότητα,
ἱκανὸς ἔσῃ ἡμῖν· ἡνίκα πολεμίων
στρατὸς, ὅθεν αὐτὸς ἔφην, ἡμῖν εἰσπε- B
σὼν δεινὰ ἐργάζεται. Ῥαϊμοῦνδος
μὲν τοσαῦτα εἰπὼν εἴσω τοῦ χώρου
ἐγένετο, ἔνθα καθείρξεσθαι διηνεκὲς
αὐτῷ ἔκειτο. Πέρσαι δὲ ἐπειδὴ πόρρω
τῶν νυκτῶν ἦν ἤδη, ὅθεν εἴρηται αὐ-
τοῖς ἐπιθέμενοι, ἵππους τε καὶ αὐτοὺς
ἔκτειναν, οὐδὲν ἔτι ἀμύνεσθαι οὔτε ἄλ-
λως σώζεσθαι δεδυνημένους. Ἀλλ' ὅ-
περ ἐλέγομεν, Ἰωάννης μὲν Καῖσαρ
ἐπὶ τοιούτοις εἰς Ἀντιόχειαν ἤει. ὧν
δὲ ἕνεκα ἦλθε δράσας οὐδὲν, ἅτε
γὰρ ἄωρον ὄντα οὐ σὺν ἡδονῇ Κων- C
στάντζα εἶδεν, ἐπὶ Βυζάντιον ἀνεχώ-
ρει, νόσου τε ἐνσκηψάσης αὐτῷ, ἐ-
κείρατό τε τὴν κόμην καὶ μέλανα
ἠμφίεστο. Ἀνδρόνικος δὲ ἐπειδὴ τῆς
Κιλίκων εἴσω ἐγένετο γῆς, Τερόζου
ἐπὶ Μοψουεστίας διατρίβειν ποιου-
μένου, πανστρατὶ εἰς πολιορκίαν κα-
θίστατο. Καὶ τάχα ἂν ἐξέδρασέ τι
καὶ γενναῖον, καὶ τὸν ἀποστάτην ἐν
χερσὶ κατὰ πολλὴν ἐπεποιήκει εὐπέ-
τειαν, εἰ μὴ ῥαστώναις καὶ παιδιαῖς

sensionem inhabiles. Verum aliquis eorum, qui aderant, acerbe allocutus virum, eum metum esse non prudentiam, dicere. ad quæ commotus animo Raimundus, *novi, inquit, ego, o optime, etiamsi inde digreßi fuerimus, minime te destiturum ea nobis objicere: nos ergo, quia sic animo tuo placet, castra hic locabimus. Tu autem vide, ut, quam nequicquam modo invocabo, re ipsa ostendere nobis generositatem queas; quando hostium exercitus ex eo, quem dixi, loco insultans, graviter nos afficiet.* Hæc posteaquam dixisset Raimundus, locum intrat, ubi æternum illum concludi fatis destinatum erat. Et Persæ multa jam nocte, unde dicebamus, ingruentes, equos hominesque occidunt, cum neq; tueri se, nec quidquam ad salutem conferre possent. Joannes ergo Cæsar eum in finem, quemadmodum retuli, Antiochiam profectus, cum senex jam haud gratus Constantzæ esset; rebus, quarum caussa venerat, infectis, Byzantium rediit, & tonsa post morbum coma, pullo amictus est. Sed Andronicus ubi in Ciliciam pervenisset, Teroze Mopsuhestiæ agente, omnibus copiis expugnare urbem aggreditur. Et fecerat aliquid egregii operis, ipsumque sine labore in manibus defectorem habuerat; nisi otio se & sceni-

ἑαυτὸν

ἑαυτὸν τῆς ἐπὶ σκηνῆς ἐδεδώκει. Οὕτω τε τὰ Ῥωμαίων ἔσφηλε πράγματα. Τερόζης γὰρ ἐπειδὴ τὴν Ἀνδρονίκου ἔγνω μαλακίαν, καὶ τῆς οὐδὲν δέον ἐπικαθιζούσης αὐτῷ ξυνῆκεν ἀσελγίας, νύκτα τηρήσας ἀσέληνον, καθ' ἣν ὕειν ἔτυχεν ἄχετα, πολλὰ τοῦ Μοψουεστίας τείχους διαλύσας μέρη, ἀθρόον τε τὸ σὺν αὐτῷ ἅπαν ἐξαγαγὼν πλῆθος, προσέβαλε τε Ῥωμαίοις μηδὲν προειδῶσι, καὶ κατὰ κράτος ἐτρέψατο. Ἀνδρόνικος δὲ ὀψὲ τοῦ καιροῦ συναισθόμενος, (ἐτύγχανε γὰρ καθάπερ ἔφην ὀλιγωρίᾳ πολλῇ τινι κεχρημένος) ἵππου τε ἀνέβη καὶ σὺν τῷ δόρατι ἀπελαύνων, ἔργα μὲν χειρὸς ἀπεδείξατο θαυμαστά. ὡς γὰρ πολλάκις ἔφην, τῶν τῆς γενναιότητος λόγων οὐδενὶ τῶν μεγάλων ὑπεχώρει. δρᾶσαι ὅμως δεδυνημένος οὐδὲν, μόγις διαφυγὼν εἰς Ἀντιόχειαν ἦλθεν. Ἐν ταύτῃ τῇ μάχῃ καὶ Θεόδωρος ὁ Κοντοστέφανος ἐς τὸ τῶν σεβαστῶν ἀξίωμα ἥκων, τὸν ἵππον τοξεύματι ἀποβαλὼν, ὑπό του τῶν Ῥωμαίοις μισθαρνούντων τὴν κεφαλὴν ἀπερράχθη, κατὰ ἔχθος τὸ πρὸς αὐτόν. Λέγεται γὰρ ὡς ἐτύγχανε πολλῷ πρότερον ὁ Θεόδωρος τὸν κακοδαίμονα τοῦτον τῆς βασιλείου ἐπὶ κακῷ τῷ αὐτοῦ διωσάμενος αὐλῆς. Ἃ μὲν ἐπὶ Κιλικίας κατ' ἐκεῖνον τὸν χρόνον ἐγένετο, τοιάδε ἄττα ἦσαν. Ἀνδρόνικος δὲ ἐξ Ἀντιόχου πόλεως ἐπὶ Βυζάντιον ἰὼν, ἐν βασιλείοις

A cis ludis dedisset. iis rem destituit Romanam. Namque Terozes ubi languorem vidit Andronici, eumque luxui, cum minime oporteret, indulgere advertit; noctem observans, qua deficiente luna intolerabilis imbrium vis cœlo decidebat, mœnibus Mopsuhestiæ multis partibus laxatis, atque omni repente educta secum multitudine, Romanos inopinatos adoritur, vique inde eos avertit. Quę
B postquam serius Andronico comperta sunt (quippe luxui & ignaviæ deditus rei deerat) insilit in equum, & hasta ordines invectus, miranda manu facinora edit. Sicuti enim sæpius memoravi, fortiter & strenue agendo nulli cedebat. & sic tamen cum succurrere laborantibus non posset, vix evitato periculo Antiochiam fugiens pervenit. Ea in pugna & Theodorus Contostephanus ad hono-
C rem evectus Sebastorum, equo sagitta trajecto, ab aliquo eorum, qui stipendia Romanis mercede faciebant, odio sui capite cæsus est. Fertur enim diu ante Theodorus miserum illum imperatoria ex aula ejecisse, quod ipsi in caput vertit. Quæ in Cilicia ea tempestate gesta sunt, ejusmodi quidem fuere. Andronicus autem Byzantium Antiochia reversus, nihilo minore loco aut honore in aula

καὶ πάλιν οὐδὲν ἧττον ἀπόβλεπτος ἦν. A παῤῥησίας τε παρὰ δόξαν ἀπέλαυε τῆς προτέρας. Ἐλέγετο δὲ ὅτι λάθρα τοῦτον παραλαβὼν βασιλεὺς πικρότατα ἐλοιδορήσατο, ὀλιγωρίαν τε περὶ τὰ στρατιωτικὰ τῷ ἀνθρώπῳ ἐπικαλῶν, καὶ τὰς παρακαιρίους αὐτῷ προσονειδίζων ἀνέσεις· ἐν γε μὴν τῷ ἐμφανεῖ λαμπρῶς αὐτὸν ἐδωρεῖτο, καὶ ὑπὲρ τοὺς ἄλλους ἐτίμα. Ἀμέλει καὶ τότε Ναισσοῦ τε καὶ Βρανιτζόβης προκεχείριστο δοὺξ. προσθήκην καὶ Καστορίαν αὐτῷ ἔδωκεν. Ἀλλ' ἐκεῖνος εἰ μὲν καὶ ἀρχῆθεν ἀπο- B στασίαν ὤδινε, καὶ ταύτην παρ' ἑαυτῷ τὴν ἐπιθυμίαν εἶχεν, οὐκ ἔχω ἰσχυρίσασθαι. Ἐξότου γέ μην τὸ δυσμενὲς αὐτῷ καταφανῆ, ἐντεῦθεν ἑλὼν διηγήσομαι. Βασιλεῖ Μανουὴλ, ἄρτι τὴν βασιλείαν παραλαβόντι, ἐπιμελὲς ἐγένετο μάλιστα, ὅπως ἂν Ῥωμαῖοι ἐπὶ τὸ βέλτιον τοῦ λοιποῦ τὴν ὅπλισιν μεταβάλοιεν. Ὅθεν καὶ ἀσπίσι κυκλοτερέσι φράγνυσθαι εἰθισμένον αὐτοῖς πρότερον, φαρετροφορεῖν τε τὰ πλεῖστα, καὶ τόξοις τὰς μάχας διαφέρειν. Ὁ δὲ ταύτας μὲν πο- C δήρεις προβεβλῆσθαι αὐτοὺς ἐδιδάξατο, δόρατα δὲ κραδαίνειν μακρὰ, καὶ ἱπποσύνῃ δεξιώτατα χρῆσθαι ἠσκήσατο. Τὰς γὰρ ἐκ τῶν πολεμίων ἀνέσεις, πολέμων αὐτὸς ποιεῖσθαι θέλων παρασκευὰς, ἱππεύεσθαι εἰώθει τὰ πολλὰ, σχῆμά τε πολέμου πεποιημένος, παρατάξεις τινὰς ἀντιμετώπους ἀλλήλαις ἱστᾶν. οὕτω τε δόρασιν ἱππελαύνων τοῖς αὐτοξύλοις κίνησιν ἐγυμνάσαντο τὴν ἐν τοῖς ὅπλοις. Τοίνυν καὶ ἐν βραχεῖ Ῥωμαῖος ἀ-

esse: immo antiqua præter opinionem libertate frui. Sed imperatorem ajunt eum, aliis omnibus remotis, clam assumtum acerbissime perstrinxisse, negligentiæ in rebus militaribus increpasse, & remissiones objecisse intempestivas: propalam autem splendidis illum affecisse muneribus, ante alios omnes honorasse, denique & Næssi & Branitzobæ ducem constituisse, ac Castoriam insuper dono adjecisse. Sed ille an olim & proprio quidem impulsu defectionem paraverit, asseverare non possum. Ex quo autem inimicus esse cœperit, facto inde initio, expediemus. Manueli imperatori, postquam rerum jam esset potitus, curæ cum maximo fuit, ut quam optime ornateque Romani deinceps armarentur. Hinc cum insuevissent primum clypeis subligari rotundis, atque ut plurimum pharetris succinctos pugnas telis conficere: ille vero scuta illos oblonga protendere docuit, projectis clypeis, & in usu equitandi expeditiore exercuit. Quippe remissionem ex hostibus belli esse præparationem volens, ille plerumque ferri equo: & facta aciei figura ordines quosdam sibi invicem oblocare, ita tum concurrentes hastis ligneis equites assuescere in armis moveri. sic bre-

νὴρ

τὴν τῶν Γερμανῶν καὶ Ἰταλῶν ὑπερῆρεν αἰχμήν. Οὐ μὴν οὐδὲ αὐτὸς βασιλεὺς τῶν ἀγώνων τούτων ἀπῆν, ἀλλ' ἐν τοῖς πρώτοις ἐπάλλετο δόρυ περιβαίνων μήκει καὶ μεγέθει, οὐδενὶ ξυμβλητόν. Πρὸς γὰρ τοῖς εἰρημένοις καὶ ὑπερφυές τι χρῆμα ἐξῆπτο σημαίας, ἣν ἅτε μέρεσι διῃρημένην ὀκτὼ, ὀκτώποδα καλεῖν ἔθος ἐστί. Ὁ δὲ καὶ Ῥαιμούνδον φασὶν ἐκεῖνον θαυμάσαντα ἄνδρα κατὰ τοὺς θρυλλουμένους Ἡρακλέας, ὁπηνίκα ἐς Βυζάντιον ἦλθε, τέχνην τέ τινα τὸ πρᾶγμα εἶναι νομίσας, καὶ προσιόντα βασιλεῖ, αὐτό τε τὸ δόρυ καὶ τὴν ἀσπίδα αἰτῆσαι. Λαβόντα τε ἐπειδὴ τἀληθὲς ἔγνω, σὺν ἐκπλήξει τὸν σκοπὸν εἰπεῖν. Τοῦτον δὴ τὸν ἀγῶνα πρὸς Ἡρακλείᾳ ποτὲ τῇ Μυσῶν γυμναζομένου βασιλέως, τετύχηκε τὸν Ἀνδρονίκου τοῦ Σεβαστοκράτορος παῖδα Ἰωάννην, περικαλλῆ τὸν νεανίαν καὶ ἀγαλματίαν, ἀντικρὺς Ἰταλικοῦ τινὸς δόρατος προσβολῇ θάτερον πηρωθῆναι τοῖν ὀφθαλμοῖν. ὅθεν καὶ παραμυθεῖσθαι αὐτοῦ τὸ δυστύχημα θέλων, Πρωτοβεστιαρχόντι προὐβέβλητο, καὶ ἐς τὸ τῶν Πρωτοσεβαστῶν ἀνεβίβασεν ἀξίωμα. Τοῦτο φασὶ μεγάλως τῆς Ἀνδρονίκου καθίκετο ψυχῆς. ὠδίνων τοίνυν ἐξ ἐκείνου καὶ δολώσεις ἀεὶ ἐπινοῶν, ὁπότε μὲν προσεχῶς ἐπὶ τῆς Κιλίκων ἐστρατεύετο γῆς, Ῥῆγά τε τὸν Παλαιστίνης καὶ τῶν

A vi ſpacio Germanorum Italorumque fortitudinem miles Romanus ſuperabat. Neque ipſe certaminibus ejuſmodi abſtinebat imperator, ſed inter primos conſiſtens haſtam vibrabat longitudine ac latitudine nulli comparandam. ad hæc inuſitatæ magnitudinis ſignum ferebat, quod, octo diſtinctum partibus, octopes ſolebant appellare. Fama eſt, Raimundum, ſecundum Hercules celebrem virum,

B cum Byzantium aliquando veniſſet, id ipſum admiratum fuiſſe, & artem ſubeſſe ratum, acceſſiſſe principem haſtamque & clypeum popoſciſſe. poſtquam vero accepiſſet, agnoviſſe veritatem, & tum demum quare popoſciſſet cum ſtupore confeſſum eſſe. Id itaque certamen ad Heracleam Myſorum edente principe, accidit forte fortuna, ut Joannes Andronici Sebaſtocratoris filius, elegans admodum & formoſus adoleſcens,

C ictu adverſo Italicæ haſtæ alterum oculum amiſerit. quem caſum ut ſolatio levaret imperator, Protoveſtiarium fecit, inque dignitate etiam Protoſebaſti locavit. Eam rem graviter ferunt animum affeciſſe Andronici. Ex eo igitur tempore ſemper parturiens aliquid, & ad dolos animum convertens, cum in Cilicia bellum ſedulo quidem gereret, Palæſtinæ regem ſibi &

Περσῶν

Περσῶν ἀπεποιεῖτο Σουλτάν. καὶ Ναϊ- A σσοῦ καὶ Βρανιτζόβης, ὥσπερ εἴρηται, ἀρχὴν πιστευθεὶς, γράμμασι τῷ Παιόνων ὑπισχνεῖτο Ῥηγὶ, εἴγε βουλομένῳ ἐπιθέσθαι τυραννίδι συλλήψοιτό τε τῆς ἐγχειρήσεως αὐτῷ, ἐπειδὰν τοῦ ἐφετοῦ τύχῃ, Βρανιτζόβης τε αὐτῷ καὶ Ναϊσσοῦ ἀποστήσεσθαι πόλεως. Ὅπως μέντοι μὴ ἔκπυστα ταῦτα γεγονότα ὑπαίτιον αὐτὸν τοῦ λοιποῦ καταστήσωνται, ἔγνω ἑτέραν τραπέσθαι. Ἐδήλου τοίνυν βασιλεῖ βούλεσθαι τῶν κατὰ Παιονίαν τινὰς δυναστῶν, φιλίως αὐτῷ προσφέ- B ρεσθαι ἀρξαμένους, δόλῳ ὑπελθὼν ὑπὸ τὴν ἑαυτοῦ ῥᾳδίως θεῖναι παλάμην. Βασιλεὺς δὲ ξυνίει μὲν τοῦ δόλου· ἔφθη γὰρ ἤδη καὶ εἰς χεῖρας αὐτῷ τὰ γράμματα ἐλθεῖν, δι' ὧν Ἀνδρόνικος τῷ Παιονάρχῃ τὰ προειρημένα ἐτύγχανε διωμολογηκώς. ἐξελέγχειν δὲ θέλων αὐτὸν, ἐφίησι ποιεῖν κατὰ ταῦτα μηδὲν ὑποστελλόμενον. Ὁ δὲ πάντα αὐτῷ τοῦ λοιποῦ περιῃρῆσθαι τρόπον ὑποψίας οἰηθεὶς, ἀδεῶς ἐς Οὔννους καὶ τῶν Ἀλαμανῶν διεπρεσβεύετο C Ῥῆγα, πρὸς ἐπικουρίαν ἐν καιρῷ καὶ αὐτὸν ἐπισπώμενος. Ταῦτα Ἀνδρόνικος ἐσκαιωρηκὼς, ἐπὶ Βυζάντιον ἦλθε, τὰς μεταξὺ Ῥωμαίων καὶ Οὔννων σπονδὰς ἤδη τῷ φαινομένῳ τετελεκώς. Βασιλεὺς δὲ οὐκ οἶδα εἴτε κηδόμενος τοῦ ἀνθρώπου, (ὑπερφυῶς γὰρ ἐφίλει τοῦτον, ἅτε καὶ ἡλικιώτην αὐτῷ γεγονότα, τροφῆς τε αὐτῷ μεταλαχόντα καὶ παιδείας τῆς αὐτῆς, ἀμέλει καὶ δρόμοις τε αὐτῷ, καὶ πα-

Persarum Sultanum conciliavit: & ducatum adeptus Næſſi & Branitzobæ, ut modo dictum eſt, per literas Pæonum regi promiſit. ſi invadere & habere imperium cupienti opera & auxilio adeſſet, ſimul id, quod intenderat, perfeciſſet, Branitzobam & Næſſum civitates continuo ſe illi ceſſurum. Ne autem prodita hæc & evulgata reum denique facerent; alio eis viſum eſt deflectere. Significavit ergo principi, quoſdam in Pæonia primores jam in amicitiam veniſſe; illos ſe dolo aggreſſum velle in poteſtatem haud difficulter accipere. Sed enim perceperat fraudem imperator ex delatis ad ſe literis Andronici, quibus ſupra dicta pactus cum Pæonarcha fuerat. convincere autem eum volens manifeſtius, agere ea incoercitum permiſit. Ille itaque omnem ſuſpicionis occaſionem ablatam ratus, ſine metu ad Hunnos & regem Germanorum miſſa legatione, ut auxilium in tempore ferrēt, ſollicitabat. His perfide & nequiter actis, Andronicus Byzantium venit, fœdere, uti apparebat, inter Romanos Hunnoſque jam ſancito. Imperator vero, neſcio an cura hominis (deperibat enim eum, utpote æqualem ſibi, ejuſdem victus, ejuſdem inſtitutionis participem, inque curſu, luctationi-

λαις καὶ ἀγῶσιν ὅλοις συγγυμνασά- A
μενον πολλοῖς) ὅτι καὶ ἄλλο τι ἐννο-
ούμενος, τότε μὲν καὶ ἔτι ἠνείχετο
κακουργοῦντος. Ἐπεὶ δέ ποτε καὶ ἐν
Ἡρακλείᾳ ἐγένετο τῇ Μυσῶν, ἣν
Πελαγονίαν τινὶ γλώττῃ κατακολου-
θοῦντες Ῥωμαῖοι νῦν ὀνομάζουσιν, ἐξ-
ῆλθε μὲν πρὸς θήραν ὁ βασιλεὺς
ἔννυχος, ὥσπερ εἰώθει τὰ πολλὰ, κοι-
ταζόμενος. Ἡ γὰρ τοῦ σώματος
αὐτοῦ γενναιότης καὶ πρὸς ἄρκτους
ἐξῆγε, καὶ πρὸς τοὺς ἀγρίους ἀνθώ-
πλισε τῶν συῶν, πεζῇ τὰ πλεῖστα B
σὺν ἀκοντίῳ ξυμπλεκόμενος. Ἐλέ-
γετο δὲ ὡς καὶ τεθωράκιστο τὰ πρῶ-
τα, καὶ σχεδόν τι ἑκάστοτε πρὸς τοῖς
ὅπλοις ἦν, τὰς, ὡς ἐφέρετο, τοῦ
Σεβαστοκράτορος Ἰσαακίου, καὶ τοῦ
μεγάλου στρατάρχου φυλαττόμενος
ἐπιβουλάς, κἂν οὗτος οὐδὲν ἄλλο
αὐτὸν μέχρι τέλους ἔδρασεν ἄχαρι, εἰ
μὴ τὰς βασιλείους ἀφείλετο σφρα-
γῖδας, δι' ὧν ἀποσημαίνεσθαι τὰς δω-
ρεὰς βασιλεὺς εἴωθεν. Οὐ μὴν ἀ-
προφασίστως καὶ ταύτας, ἀλλ' ἀπ' C
αἰτίας ἧς αὐτὸς ἐρῶν ἔρχομαι. Δια-
τρίβοντι ἐν Μελαγγείοις τῷ βασι-
λεῖ περί τινα χῶρον, ᾧ Μεταβολὴ ὄ-
νομα, λόγοι περιεφέροντο ἐπὶ ἀρί-
στου. ἔνθα τῶν ἄλλων καθάπαξ ἁ-
πάντων τὰ βασιλέως ἐξαιρόντων ἔρ-
γα, ὁ Ἰωάννης τὰ τοῦ πατρὸς μᾶλ-
λον ὑπερῆγε καὶ ὑπερετίθει πολ-
λῷ. Ὁ μὲν οὖν βασιλεὺς ἔστεργε
τοῖς λεγομένοις, καὶ ἠγάπα τοῦ πα-
τρὸς ἐλασσούμενος. ὡς δ' ἐπαχθὴς

bus, omni denique certaminum genere socium) an aliud quid in animo habens, etiam & tum quidem ferre delinquentem. Aliquando cum Heracleæ esset in Mysia, quam alia lingua Pelagoniam nunc Romani vocant, nocte imperator venatum exiit; ut solebat plerumque ipsa ferarum cubilia adire. Namque corporis ejus virtus & nobilitas tum contra ursos illum educebat, tum & in feros armabat sues, pedibus ut plurimum & jaculo cum iisdem concurrentem. Fertur & hæc causa, cur primum thoracem induerit, & quotidie fere in armis esset; ut nimirum Sebastocratoris, quas ajebant, Isaacii & magni ducis vitaret insidias: & si nihil ad ultimum in eum statuerit gravius, præterquam quod sigilla sustulerit imperatoria, quibus confirmare donationes suas princeps solebat. neque id temere quidem, sed ob caussam, quam nunc memorare aggredior. Commorante in Melangiis principe ad locum, cui Metabole nomen, sermones habiti, uter esset imperator melior. ibi omnibus utique res à principe gestas uno ore extollentibus; Joannes efferre magis patris opera, immo longe præferre. Haud ægre quæ dicebantur accepit princeps; & gavisus est se patre haberi inferiorem. ubi vero jam gravis

τοῖς ἄλλοις Ἰωάννης εἶναι ἐδόκει, ὁ δὲ A οὐ μέχρι τούτου τὸν λόγον ἵστησιν. ἔδοξε γὰρ αὐ ἐπιδείξει πίστεως τῆς πρὸς τὸν οἰχόμενον αὐτοκράτορα ταῦτα προφέρειν, ὅπερ οἶμαι πολλοὶ τῶν ἀνθρώπων ποιεῖν εἰώθασιν. Αἱ γὰρ περὶ τοὺς μηκέτι ὄντας εὔνοιαι ἐχέγγυοι τοῖς περιοῦσιν εὐγνωμοσύνης τῆς εἰς αὐτοὺς γίνονται. ὁ μὲν οὖν πρὸς τούτοις καὶ δριμύτερον ἥπτετο καὶ ἠγνωμόνει τῷ υἱῷ. Ὅτι δὴ στάσεως ἀναφθείσης, Ἀνδρόνικος μὲν οὗτος θυμοδακὴς λίαν ἐς τὸν Σεβαστοκράτορα ἐπιρρίψας, παρ' B ὀλίγον ἦλθε τοῦ ξίφει πρὸς αὐτοῦ τὴν κεφαλὴν ἀφαιρεθῆναι, εἰ μὴ βασιλεύς τι αὐτοῦ τὴν χεῖρα ὑπερέσχε, καὶ Ἰωάννης ὁ Δούκας, ὃς καὶ αὐτὸς ἐξάδελφος τῷ βασιλεῖ ἦν, τὴν μάστιγα, ᾗ τοὺς ἵππους ἐπείγειν εἴθισται, τῷ ξίφει καταφερομένῳ ὑποθεὶς, ἀμβλεῖαν ἐπὶ τὴν Ἀνδρονίκου γνάθον ἐνεχθῆναι ἐποίησε τὴν φοράν. Ὁ μὲν οὖν τοῦτον ἐρρύσθη τὸν τρόπον. Βασιλεὺς δὲ τὴν χεῖρα, καθάπερ ἔφην, τοῦ Ἀνδρονίκου ὑπερσχὼν C ἐπλήγη, οὐ μέντοι καιρίαν, ἀλλ' ὅσον ὀλίγον τὴν σάρκα διαστῆναι, ἧς τὴν οὐλὴν διὰ βίου ἐπὶ καρποῦ ἔφερεν. Ἡ μὲν οὖν τούτου φιλονεικία ἐπὶ τοσοῦτον προελθοῦσα, κατεσιγάσθη. Βασιλεὺς δὲ Ἰσαάκιον μὲν ἀφ' ἑαυτοῦ ἐποιήσατο, ἡμερῶν τινῶν ἄχρι. Ἰωάννην δὲ κρίσει παραδοὺς, δίκην αὐτοῦ τὴν εἰρημένην ἐπετίθει, πολλῷ τῆς ἐκ τῶν νόμων ἐλάσσω. Ἀλλ' ἐπανακτέον τὸν λόγον ἐπὶ τὰ πρότε-

A aliis molestusque visus est Joannes; ipse tamen sermonem ejus non sistere: putabat enim illum ea velut fidei documentum erga imperatorem mortuum proponere, quemadmodum facere multi mortalium solent. Favor siquidem in defunctos certum viventibus signum erga ipsos benevolentiæ est. Adhæc ille acerbiora proloqui, & in filium ingrata. Unde orta contentione, Andronicus hic in Seba- B stocratorem irritato animo invectus, quin capite ab illo truncaretur parum abfuerat, nisi imperator extensa supra illum manu prohibuisset; & Joannes Ducas, qui & ipse patruelis erat principis, flagello, quo equi incitari solent, incidentem gladium reprimens, ictum debilem fractumque in maxillam Andronici avertisset. Ita is quidem periculo eximebatur. Imperaror autem supra caput, ut di- C ximus, Andronici manum protendens, vulnus accepit, non letale quidem, sed quo paullulum dissecta fuerit caro. cujus quamdiu vixit cicatricem in carpo tulit. Eo posteaquam evasisset certamen, compressum est. Princeps vero aliquot diebus Isaacium è conspectu removit: Joannem judicio tradidit, pœnamque dictam imposuit, longe mitiorem ea, quæ legibus jubetur. Sed redeundum

eo.

ειν. Ἐπειδήπερ ὁ Ἀνδρόνικος νυ- A
κτέρῳ κυνηγεσίῳ βασιλέα διατρίβοντα ἔγνω, ἱκανοὺς Ἰσαύρων τῶν περὶ αὐτὸν ὁπλισάμενος, οἵπερ ὡς κατὰ παντὸς αὐτῷ ξυμμαχήσουσι, πίστεις ἔδοσαν φθάσαντες, ἵππον τε αὐτοῦ τὸν δρομικώτατον ἐπαγόμενος, σὺν αὐτοῖς ἐπὶ τὸν τόπον ἦλθεν, ἀλλ' αὐτοὺς μὲν ἀπωτέρω ἐπὶ λόχμης τὸν ἵππον καθέξοντας ἔστησεν, ὁ δὲ ξὺν ἡμιόνῳ ἐγγὺς τῆς βασιλέως ἦλθε σκηνῆς, ἀποβὰς δὲ ἡσυχῇ, ἐπορεύετο βάδην, ἐγχειρίδιον ἐπισείων B
τῇ δεξιᾷ. ὅπως γε μὴν μηδενὶ φωραθείη, Ἰταλὴν ἀντὶ τῆς ἐξ ἔθους ὑπέδυ στολήν. ὡς δὲ ἔγνω καταφανὴς γεγονὼς (ἤδη γὰρ καὶ ξίφη παρεγύμνουν, οἱ τὸν βασιλέα ὑπνοῦντα περιεστῶτες, ἐν οἷς καὶ Ἰωάννης ἦν ὁ βασιλέως ἀδελφιδοῦς, πρῶτος φασὶ τὸν Ἀνδρόνικον ἐπιόντα εἰδὼς) ὡς οὖν ἔγνω ταῦτα ὁ Ἀνδρόνικος, ἐπὶ γόνυ κλιθεὶς, τὸν τῆς γαστρὸς δῆθεν ἀποκρίνειν προσεποιεῖτο σκυβαλισμόν. Οὕτω τε κατὰ βραχὺ ὑποπο- C
δίσας, ᾤχετο ἀπιών. Καὶ τὰ μὲν τῆς ἐπιβουλῆς ἐκείνης ἐνταῦθα ἐλύετο. Ὀλίγῳ δὲ ὕστερον σὺν πλείοσιν Ἰσαύρων ἐξῄει νύκτωρ ἐπὶ βασιλέα σταλέμενος. οὗπερ ἀγγελθέντος τῇ βασιλίδι πρὸς Ἀλεξίου, ὃς τοῖς βασιλικοῖς τηνικαῦτα ἱπποκομίαν ἐφεστὼς ἦν (πρωτοστράτορα τοῦτον καλοῦσι Ῥωμαῖοι τὸ λειτούργημα) ἐν μὲν τῷ παραυτίκα τῶν τις ὀξυτέρων ἐστέλλετο μηνύσων βασιλεῖ τὴν ἐπιβουλήν. Εἶτα καὶ Ἰσαὰχ,

ad priora. Postquam Andronicus nocturna venationi intentum imperatorem intellexit, delectos Isaurorum, qui se adversus quemvis cum ipso militaturos fidem dederant, armat, atque una pernicissimo assumto equo, ad locum ea cum manu venit: sed illis equoque longius in silva constitutis, ipse mulo insidens ad tabernaculum succedit imperatoris. ibi tum tacite descendit & pugionem dextra vibrans lento progreditur gradu: neve deprehenderetur ab aliquo, Italicam pro consueta stolam induerat. Mox vero ut se agnitum cognovit, (quippe jam gladios strinxerant qui dormientem principem circumstabant, inter quos & Joannes erat fratris ejus filius, primusque ut ajunt Andronicum adverterat) ut inquam id vidit Andronicus, continuo in genua flexus, exonerare se alvum simulat. ita inde paullatim retrocedens abiit. Atque illi quidem conatus consiliaque irrita cecidere. Brevi interjecto tempore cum majore Isaurorum manu ad imperatorem nocte proficiscitur. quod ubi nunciatum Augustæ ab Alexio erat, stabuli imperatorii præfecto (Protostratora id munus Romani vocant) extemplo expeditissimus quis propositum hoc indicaturus principi mittitur: statimque & Isach,

ἀνὴρ βαρβαρογενὴς, εὔνους δὲ βασιλεῖ A μάλιστα, σὺν ὁπλοφοροῦσι τριακοσίοις ἐπέμπετο. Ἀλλ' οὔπω δὲ Ἰσαὰκ ἐπὶ τὸν τόπον ἐληλυθότος, πυθόμενος ἤδη τὸ πρᾶγμα βασιλεὺς, τῶν ἄλλων ἀγωνιώντων καὶ συνταραττομένων ἐφ' ἑαυτοῖς (ἐτύγχανον γὰρ οἱ πλείους ἡμιόνοις οὕτω τυχὸν ἐφεζόμενοι) αὐτὸς χρῆναι ἔλεγε τῆς εὐθείας ἀποσχομένους, ἣ ἐπί τε τὸ στρατόπεδον, καὶ τὴν βασίλειον σκηνὴν ἄγει, τὴν ἀσυνήθη ἐκείνην, ὑποδείξας τῇ χειρὶ, καὶ ἄστιπτον ἰέναι, μὴ μέντοι κατὰ πλάτος, ἀλλ' ἕνα καθ' ἕνα ἐν διαστά- B σει τὴν πορείαν τιθεμένους. Οὕτω γὰρ ἔφη τῶν ἐκ τῆς χορταγωγίας ἐπανιόντων δόξαιμεν εἶναι τινὲς, ἐπὶ σκηνάς τε τὰς τῇδε φαινομένας χωρεῖν. Βασιλεὺς μὲν οὖν οὕτως ἀτρέστως ἐπὶ τὴν σκηνὴν ἐπορεύετο. Ἰωάννην δὲ, ὅπερ ἄρτι ἐμνήσθην, σῦς ὑπαντιάσας τοῖς ὀδοῦσι διεσπάραξεν. ὃ τάχιστα πυθόμενος βασιλεὺς ἐπιθόρμητος ἐπ' ἐκεῖνον ἦλθεν. ἐπιμελησάμενός τε τὰ εἰκότα, ἀπηλλάγη. Οὕτω μέντοι μεγαλοψύχως τῷ πράγματι προσηνέχθη, ὡς μηδὲ ἄχρι C καὶ βλέμματος Ἀνδρονίκῳ προσενεχθῆναι κακῶς. Ὁ δὲ ὥσπερ τῶν πεπραγμένων οὐδὲν ἑαυτῷ ξυνειδὼς, τοῦ τε ἵππου, ὃν ἤδη ἔφην, ἐς ἄγαν ἐπιμελεῖτο, καὶ πολὺς ἦν τῷ φαινομένῳ κατὰ Ἰωάννου καὶ λέγων ἀεὶ καὶ φρονῶν. Ὅθεν καὶ πυνθανομένου ποτὲ τοῦ βασιλέως, τί βούλεται τούτῳ τὰ τῆς τοῦ ἵππου τῆσδε ἐπιμελήσεως; ὡς ἂν, ἔφη ἐκεῖνος, τὸν πάντων ἐμοὶ δυσμενέστατον τῆς κεφαλῆς ἀφελόμενος, οἰχήσωμαι ἀπιών. διὰ τούτων

A vir barbaro natus sanguine, ceterum fidus cummaxime principi, cum trecentis armatis subsequitur. sed prius re cognita imperatori, quam ad eum Isach pervenerat; trementibus aliis & metu consternatis, (forte enim sic casus tulerat, ut mulis plerique veherent) ipse necessarium esse ait, via recta deflectere, quæ ad castra & prætorium ducebat; verum insolita & minus trita, quam ostendebat ma- B nu, neque lato agmine, sed singulatim, spacio intermisso, proficisci. ita enim pabulatores quidam, inquit, videbimur, & visa ibi tentoria petere. Intrepide ergo princeps adire prætorium: sed Joannem, cujus modo memini, sus obvius dentibus dilacerare. quod simul imperator rescivit, continuo ad eum conversus rediit, imperatisque, quæ res monebat, abscessit. Tanta autem animi magni- C tudine rem illam accipiebat, ut ne vultu quidem torvo Andronicum intueretur. Ille vero, quasi nullius omnium, quę acciderant, sibi conscius, equum, quem modo diximus, sedulo curare, & multa propalam adversus Joannem proferre ac meditari. Unde percunctante aliquando principe, quid illa sibi diligens equi cura vellet? ut, inquit ille, omnium inimicissimo mihi truncato capite, aufugiam:

δῆθεν

δῆθεν τὸν Πρωτοσεβαστὸν αἰνιττόμενος. Ὡς οὖν ἔγνω ἀπόνοιαν νοσοῦντα τὸν ἄνθρωπον, κοινωνίας ἐκτεμὼν τῆς αὐτοῦ, ἔμφρουρον ἐν παλατίῳ καθίστησιν. Ὁ μὲν οὖν ἐκ ποδῶν ἐγένετο. Ὁ δὲ Παιονίας Ῥὴξ μήπω τι πεπυσμένος τῶν Ἀνδρονίκῳ συμπεπτωκότων, δυνάμεις ἔχων Τζέχων, καὶ Σαζώνων, ἄλλων τε πλείστων ἑαυτῷ συνισταμένος ἐθνῶν, εἰς τὴν Βρανιτζόβης πολιορκίαν καθίστατο, ἐπαρθεὶς οἶμαι, οἷς Ἀνδρόνικος αὐτῷ διομολογησάμενος ἔτυχε. Τούτων βασιλεὺς ἀκούσας, καταπέπληκτο μὲν πρὸς τὴν ἀκοὴν, καὶ τὴν Οὔννων ἐθαύμαζεν ἀπιστίαν, εἰ τῶν ἔναγχος σφίσιν ὀμωμοσμένων, ἐξ οὐδεμίας ἀλογήσειαν αἰτίας. Ὀξύτητος δὴ ὅμως δεῖσθαι τὸ πρᾶγμα βουλευσάμενος, αὐτίκα τὴν ἐπὶ τὸν Ἴστρον ἐφέρετο. Εἰδὼς δὲ τοὺς σὺν αὐτῷ οὐκ ἀξιομάχους ὄντας τῇ Οὔννων στρατιᾷ, (αἱ γὰρ Ῥωμαίων δυνάμεις μηδενὸς ὅθεν δήποτε τῷ πέως ἀνθισταμοῦντος ἐπὶ χώρας ἑκάστη ἔμενον) ἐνενόει τοιάδε. Ἔστι τις χῶρος ἐρυμνότατος ἱκανῶς ἔχων, Σμήλης ὄνομα. τοῦτον ἔγνω καταλαβὼν ὁρμητήριον τῆς ἐπὶ τοὺς Οὔννους θέσθαι ἐκδρομῆς. Ὅπως μέντοι Βρανιτζοβῖται τὴν πόλιν τῷ πέως αὐτῷ τηρήσωσι, γράμμα χαράξας, ὅσον οὐκ ἤδη ἀφίξεσθαι τούτοις μηνῦον, τῶν στρατιωτῶν τινι ἐνεχείρισε, κελεύσας, ἐπὶ τὴν πόλιν αὐτὸ διαθεῖναι βέλει ξυνδήσαντα. ὁ μὲν οὖν κατὰ τὸ κελευσθὲν ἐποίει. Τὸ δὲ βέλος

A eo videlicet Protosebastum innuens. Ubi igitur hominem vidit redactum ad desperationem, eum è consortio amovit & custodiendum palatio inclusit. atque id quidem extemplo factum. Rex autem Pæoniæ etiam tum nihil edoctus eorum, quæ Andronico evenerant, contracto ex Tzechis & Saxonibus aliisque pluribus populis exercitu, Branitzobam urbem oppugnare contendit, promissis
B credo erectus, quæ illi Andronicus fecerat. Hujus ad famam rei obstupefactus princeps, mirari perfidiam Hunnorum; si quæ jurejurando interposito nuper sanciverant, nulla de caussa negligerent & aspernarentur. simulque maturato opus esse ratus, ite extemplo ad Istrum pergit. Conscius autem Hunnorum exercitui neutiquam pares esse suos (utpote copiis Romanis, dum nemo obsi-
C steret, per totam regionem passim dispersis) talia excogitat. Locus est arduus satis, nomine Smeles, quem occupatum sedem facere instituit excursionum in Hunnos. Ut vero civitatem sibi conservarent Branitzobitæ, literas scribit, quibus se jam jam adventurum illis significat: eas militi cuidam tradit imperatque ut telo alligatas in urbem conjiceret. Is uti imperatum erat facit. Sed enim

περαιτέρω ἢ ἐχρῆν ἀφεθὲν, Οὔννοις εἰς χεῖρας ἦλθεν. εὐθὺς οὖν ταραγμὸς εἰσῆλθεν αὐτοὺς, καὶ δῆτα τάς δε ἑλεπόλεις, καὶ ὅσα πρὸς τειχομαχίαν αὐτοῖς παρεσκεύαστο, πυρὶ φλέξαντες, ἐπὶ τὸν Ἴστρον πορθμὸν ᾔεσαν. πλήθοντι δὲ αὐτῷ ἐντετυχηκότες, χειμὼν γὰρ ἐκ τῶν ἄνωθεν ἤπειγεν, ὡς ἐπὶ Βελέγραδα πόλιν ἐφέροντο. Οὗπερ αἰσθόμενος βασιλεὺς, πυθόμενος δὲ καὶ ὡς Βορίτζης, ὁ Βόσθνης χώρας ἐξάρχων Δαλματικῆς, εἰς συμμά- B χους τῷ Παιονάρχῃ τελέσας, ἀναστρέφειν ἐπὶ τὴν ἑαυτοῦ. τὸ ἀλκιμώτατον τῆς σὺν αὐτῷ ἀπολεξάμενος στρατιᾶς, Βορίτζῃ εἰς χεῖρας ἐλθεῖν ἔστελλεν. Ἦρχε δὲ ταύτης τῆς στρατιᾶς Βασίλειος, οὗπερ ἤδη ἐμνήσθην, οἰκίας μὲν ἀφανοῦς γεγονὼς, χαρτουλάριος δὲ βασιλεῖ χρηματίσας. Ὁ δὲ βασιλεὺς κατόπιν σὺν τῷ ἄλλῳ Ῥωμαίων στρατῷ σχολαιότερον ἔχων. Ἀλλὰ Βασίλειος, οὗπερ οἶμαι λαθόμενος, ὅτου δὴ χάριν καὶ C τίνι πολεμησείοντα βασιλεὺς αὐτὸν ἔπεμψε, τὸν δρόμον καταταχύνας ἔγγιστα τοῦ Οὔννων ἐγένετο στρατοῦ. Προδρόμοις δέ τισιν ἐντυχὼν, ἐπειδήπερ ἐτρέψατο τούτους, εἶτα καὶ ἐς μέσην τὴν Οὔννων φάλαγγα ἐμπίπτει, μέγα τι κατορθώσειν οἰόμενος, ἂν οὕτω πεφοβημένοις αὐτοῖς προσβαλὼν συνταράξῃ. Καὶ τάχα οὐ παντάπασιν ἀπὸ λογισμοῦ ταῦτα ἐποίει. Οὖννοι γὰρ τὸ μὲν πρῶ-

A literæ, longius quam oportebat projectæ, in manus veniunt Hunnorum. quos ubi repente metus invasisset, machinis ceteroque urbis oppugnandæ apparatu incensis, ad Istrum transituri contenderunt: sed illum inundantem invenientes (namque hiems superioribus è locis vim aquarum advexerat) velut ad Belegradæ civitatem vertere. His cognitis rebus simulque intellecto, Boritzen Bosthnæ regionis Dalmaticæ principem, B qui socius in bello fuerat Pæonarchæ, in suam redire ditionem; imperator fortissimos militum delectos ad conserendas cum Boritze manus dimittit. Præerat isti exercitui Basilius, cujus supra à nobis facta mentio, obscura quidem domo natus, ceterum chartularius principis. Ipse imperator à tergo cum reliquo Romanorum agmine lento gradu sequebatur. Verum C Basilius, oblitus credo cujus gratia & quo cum hoste pugnaturum imperator emisisset; maturato itinere ad Hunnos quam proxime successit. Ubi in precursores quosdam incidisset, iis aversis, in mediam deinde irruit hostium phalangem; egregium se facinus editurum credens, si eo conterritos metu aggressus, ordines conturbasset. Neque illa cum penitus spes frustrata est. Namque Hnnni

τὸν αὐτὸν βασιλέα τοῦ πολέμου τοῦδε στρατηγεῖν οἰηθέντες, ἔφευγον οὐδενὶ κόσμῳ. πολλοί τε αὐτῶν, ἅτε ἀθρόον τοῖς σκάφεσι συμπιπτόντων, τῷ ποταμῷ κατεδύοντο. Ὡς δ' ἔγνωσαν βασιλέα μὲν κατόπιν χωρεῖν, Βασίλειον δὲ τοῦ στρατεύματος ἐξηγεῖσθαι, ἀνεθάρσησάν τε, καὶ ἐπιστρεφόμενοι γεγονότες Ῥωμαίοις ἀντικαθίσταντο. Ῥωμαῖοι δὲ καίτοι παρὰ πολὺ πλήθει τῶν πολεμίων ἐλασσούμενοι, ὅμως ὑφίσταντο τούτους. Φόνος τε ἀμφοτέρων πολὺς ἦν. Ἕως οἱ περὶ Στέφανον τὸν Γατζᾶ παῖδα, Οὖννοι Ῥωμαίοις συστρατεύοντες, πρότεροι φυγῆς ἦρξαν. Παλιντρόπου γὰρ τὸ λοιπὸν γινομένης τῆς διώξεως, Οὔννων μὲν τῶν σὺν τῷ Στεφάνῳ σχεδόν τι ἅπαντες, Ῥωμαίων δὲ πολλοὶ ἔπεσον. Οἱ δ' ἄλλοι φυγῇ ἐκεῖθεν ἐσώζοντο. ἐν οἷς καὶ Βασίλειος ὁ στρατηγὸς ἦν. Ταῦτα τῷ βασιλεῖ ἀγγελθέντα, πρὸς δὲ καὶ ὁ Βελεγράδα πόλιν Ῥωμαίων ἀφιστᾶν, πολλὴν ἐνεποίησαν ἀθυμίαν. Καὶ δὴ Ἰωάννην μὲν τὸν Καντακουζηνὸν, τὸ μὲν στηρίζοντα τὴν πόλιν ἔστειλε, λογισμοῖς ἀποστασίας, καθάπερ ἔφην, σαλευόμενον; τὸ δὲ καὶ ταφῇ τοὺς Ῥωμαίων δώσοντα νεκρούς, ἀνακαλεσόμενόν τε τοὺς ἐκ φυγῆς, ὅπου δήποτε γῆς τῆς ἐκεῖ κρυπτόμενοι ἦσαν. Ὁ δὲ θυμαίνων ἄγαν ἐπὶ τοῖς συμπεσοῦσιν, ἐσφάδαζε δὲ καὶ ἤθελεν ὀπίσω Οὔννων διῶξαι. Ῥωμαίων τε οὐκ ἐπαινούντων, ἀλλ' αἰσχύνη μοι ἔλεγεν, ὦ ἄνδρες, περὶ τραυμάτων

A primo quidem ipſum illi bello præeſſe imperatorem rati, diſſipati aufugium; multique eorum, dum in ſcaphas conferti incidunt, flumine hauriuntur. Ut vero cognovere, pone imperatorem ducere, & iſtius moderatorem exercitus eſſe Baſilium; ſuſtulere animos, & reverſi ſe Romanis oppoſuere. Qui etſi numero militum cummaxime ab hoſtibus ſuperabantur, ſuſtinuere tamen eos: & B magna utrimque facta cædes, donec Hunni, cum Stephano Jatzæ filio commilitantes Romanis, fugere primi cœperunt. Mutata ad ultimum atque ab altera parte facta perſecutione, Hunni qui cum Stephano fere omnes, Romanorum multi cecidere. alii fuga evaſere incolumes, inter quos dux ipſe belli Baſilius. Hæc nunciata principi, atque inſuper civitatem Belegrada defeciſſe à Romanis, C valde ejus animum conſternarunt. Iccirco Joannem Cantacuzenum mittit, tum ad urbem defectione, ut dixi, cogitata fluctuantem, tum ad ſepeliendos Romanos, & revocandos è fuga, quocumque iſtic loco abditi laterent. Ipſe autem eo caſu irritatus maxime, inſequi à tergo Hunnos contendebat: & neutiquam id Romanis approbantibus; *ſed pudori eſt*, inquit, *amici*, *in certami-*

εἴχε-

οἴχεσθαι, ὑπὲρ τῆς Ῥωμαίων ἀγωνιζομένων εὐκλείας. Ἐπεὶ δὲ πόῤῥω γεγονέναι τὸ Οὐννικὸν ἤκουσε, τῆς ὁρμῆς ἀνεκόπη. Ἤδη δὲ καὶ ὁ Καντακουζηνὸς τὰ ἐφ᾽ οἷς ἐστάλη πέρατι δοὺς, ἐπανῆκε δεσμώτας ἔχων καὶ τοὺς ὡς εἴρηται, ἀποστασίαν ὠδίνοντας Βελεγραδιτῶν. Τότε μὲν οὖν ἐκεῖθεν ἀναζεύξας, ἀγχοῦ τῆς Βεῤῥοιαίων διεχειμέριζε πόλεως. Ἔαρος δὲ τὰς δυνάμεις ἁπανταχόθεν ἀγείρας, ἐπὶ τὴν Οὐννικὴν αὖθις ἐχώρει, ὁρμὴν ἔχων ἐς αὐτά που τὰ τῆς χώρας διαβιῶναι μέσα. Ὁ μὲν οὖν ἄρτι πρὸς ταῖς Ἴστρου πανστρατιᾷ αὐλισάμενος ἔμενεν ὄχθαις. Καὶ αἱ νῆες ἐκ Βυζαντίου ἀναχθεῖσαι ἑστήκεσαν ἀθρόαι ἀναβαίνειν μένουσαι τὸ ὁπλιτικόν. Ὁ δὲ Παιόνων Ῥὴξ ἐπειδήπερ ἐν στενῷ κομιδῇ τὰ κατ᾽ αὐτὸν ἔγνω, ἐπὶ τὴν πρεσβείαν λοιπὸν ἔβλεψεν. Ἄνδρας τοίνυν τῶν παρ᾽ αὐτῷ ἐπισήμων ἐς βασιλέα πέμψας, τούς τε δορυαλώτους Ῥωμαίων ἀποδώσειν αὐτίκα ἐπήγγελλε, καὶ εἰσέπειτα δὲ πάντα αὐτῷ ὑπηρετήσειν, ὅσαπερ ἂν βουλομένῳ ἔσται. Βασιλεὺς δὲ τὰ μὲν πρῶτα ἀνανεύοντι ἰσχυρῶς ἐῴκει, καὶ τοὺς περὶ εἰρήνης ἀποπροσποιουμένῳ λόγους. Ἔπειτα προσήκατό τε δεομένους, καὶ τὴν πρεσβείαν ἐπὶ τοῖς εἰρημένοις ἐπέρανεν. Ἤλθησαν οὖν ἐν τῷ Ῥωμαίων στρατοπέδῳ οἵ τε δορυάλωτοι μάχῃ τῇ προηγησαμένῃ, καθάπερ εἴρηται, γεγενημένοι, καὶ ὅπλα καὶ ἵπποι, καὶ εἴ που ἄλλο πολέ-

A *ne, ubi fortuna Romana agitur, ante sanguinem missum discedere.* Ubi vero longius jam progressos Hunnos audivit, impetum remisit. Inter ea confectis ob quas missus erat, rebus redierat Cantacuzenus, vinctosque adduxerat, qui Belegraditensium defectionem fuerant moliti. Igitur motis inde copiis haud procul Berrhœa civitate in hiberna militem locat: vere autem primo contracto undi-
B que exercitu iterum in Hunnicam ducit, animo in medios fines penetrandi. Jamque positis supra Istri ripam castris toto cum agmine considebat, & quæ Byzantio venerant naves frequentes stabant, exspectantes dum legiones transportarent. Sed enim Pæonum rex ubi res suas in arcto vidit, de mittendis denique legatis cogitavit. Missis ergo ad imperatorem nobilissimis viris, captivos Ro-
C manos continuo se redditurum, & alia omnia, quæcumque imperata forent, suppeditaturum pollicebatur. At princeps primo quidem videri difficilis, & verba sermonesque de pace rejicere atque aspernari: tandem vero audire supplicantes & in condiciones dictas concedere. Redierunt itaque in castra Romana qui capti superiore, ut memoravimus, prælio fuerant, & arma, & equi, & quæcum-

μυ

μιν λάφυρον ἦν. Ἵππων μέντοι, καὶ A ὑποζυγίων τῶν πεσόντων ζωὰς ἐκ τῶν τοῖς Οὔννοις ἀντεκομίσαντο αὐτοχθόνων. Οὕτω τὸν πόλεμον λύσαντες, ἐπ' οἶκον ἀνεκομίσθησαν. Καὶ τὸ ἐντεῦθεν τὸ τῶν Ἰταλικῶν πολέμων ἀρχὴν, ἣν ἤδη ἔφην, ἐσχηκότα, λαμπρότερον ἄρτι κινεῖσθαι ἤρξατο, λέγομεν δὲ καὶ ἀναλαβόντες μικρόν.

que alia belli præda esse solet. Ad hæc pro jumentis equisque, qui perierant, vivi & apud Hunnos geniti restituebantur. Ita composito bello, domos abiere. Et hinc Italicum bellum, inchoatum jam ante, majoribus animis geri cœpit: id vero nos, paullum repetitis rebus, memorare aggredimur.

ΡΩΜΑΙΚΗΣ
ΙΣΤΟΡΙΑΣ
Βιβλίον Τέταρτον.

HISTORIÆ
ROMANÆ
Liber Quartus.

ΦΕδερῖκος ὁ Κορράδου A τοῦ Ἀλαμανῶν ἄρξαντος ἀδελφιδοῦς, ὑπὲρ ἱκανῶς ἐν τοῖς ἔμπροσθεν ἐμνήσθημεν λόγοις, Κορράδου τὸ χρεὼν ἀναπλήσαντος, αὐτὸς τὴν ἀρχὴν ἔσχεν. Οὗτος ἐπειδήποτε λόγον εὐγενείας πέρι ποιούμενος (ἦν γὰρ αὐτῷ περὶ πλείστου γυναικὶ συνοικήσοντι τὴν εὐγενῆ μάλιστα ἐκ πασῶν ἑλέσθαι) Μαρίαν τὴν Ἰσαακίου τοῦ Σεβαστοκράτορος θυγατέρα, γένει τε καὶ περιουσίᾳ κάλλους διάφορον οὖσαν,

FRedericus Conradi regis Alamannorum fratris filius, de quo in prioribus libris satis conlocavimus, mortuo Conrado, regnum obtinuit. Hic cum aliquando sermonem faceret de nobilitate (conjugem enim ducturus admodum desiderabat accipere omnium nobilissimam) audiretque Mariam, Isaacii Sebastocratoris filiam, genere ac formæ dotibus præcellen-

ἐν Βυζαντίῳ τρέφεσθαι ἤκουσεν· ἥλω A αὐτίκα τῆς κόρης, καὶ πρέσβεις ἐς βασιλέα πέμψας, ᾐτεῖτο πρὸς γάμον αὐτῷ κατεγγυηθῆναι ταύτην, πάντα ποιήσειν ἐπαγγελλόμενος, ὁπόσα Κόῤῥαδός τε ὁ θεῖος καὶ αὐτὸς, ὁπηνίκα Παλαιστίνης ἀνέστρεφον, ἐπὶ τῇ Ἰταλίας κατακτήσει Ῥωμαίοις ὑπηρετήσειν ὑπέσχοντο. Ἡ μὲν Φρεδερίκου πρεσβεία ἐν τούτοις ἦν. Βασιλεὺς δὲ τοὺς λόγους ἀποδεξάμενος, πρέσβεις καὶ αὐτὸς ἐπὶ Φρεδερίκον ἔπεμψεν, ἐμπεδοῦν τὰ δεδογμένα κελεύσας. Ἀλλ᾽ ἐκεῖνο, B ἐπειδήπερ εἰς λόγους ἦλθον αὐτῷ, μηδὲν ὑγιὲς τὸν ἄνδρα βεβουλῆσθαι διαγνόντες, ἄπρακτοι ἐκεῖθεν ἀπηλλάττοντο. Δευτέρᾳ πρεσβείᾳ πρὸς βασιλέα χρῆσθαι αὐτὸν ἀναπείσαντες, ἧς καὶ αὐτῆς τῷ βασιλεῖ ἀποψηφισθείσης, ἄνδρες τῶν ἐπὶ δόξης ἐσαῦθις ἐστέλλοντο, Μιχαήλ τε ὁ Παλαιολόγος, καὶ Ἰωάννης ὁ Δούκας, ἄμφω εἰς τὸ τῶν Σεβαστῶν ἀξίωμα ἥκοντες, ἐν οἷς ἦν καὶ Ἀλέξανδρος, Γραβίνης μὲν πόλεως ἄρξας Ἰταλικῆς, Ῥογερίου δὲ αὐτὸν ἀπελάσαντος, βασιλεῖ C πρότερον ἤδη προσπεφευγώς. Ἐντέταλτο δὲ αὐτοῖς χρήματα μεγάλα πρὸς βασιλέα κεκομισμένοις, εἰ μὲν ἐντὸς Ἄλπεων διατριβὴν ποιεῖσθαι τὸν Φρεδερίκον ἀκούσαιεν, ὁμοῦ πάντας ἐντυγχάνειν αὐτῷ. Ἀπωτέρω δὲ γεγονότος, τὸν Μιχαὴλ μὲν σὺν τοῖς χρήμασιν ἐπὶ Ἰταλίαν ἰέναι. Τοὺς δὲ τὴν ἐπὶ τὸν Φρεδερίκον στέλλεσθαι, κἂν ἐκεῖνος τῶν δεδογμένων ἀμελήσῃ, αὐτοὺς λοιπὸν καὶ καθ᾽ ἑαυτοὺς Ἰταλίας μεταποιεῖσθαι. Ὅπερ δὴ καὶ γέ-

tem, Byzantii educari; continuo captus amore virginis, missis ad principem legatis, eam sibi in matrimonium petiit: omnia se facturum spondens, quæcumque & patruus Conradus, & ipse, ex Palæstina redeuntes, pro restituenda Romanis Italia polliciti erant. Ea legatorum Frederici erat oratio. quam haut aspernatus imperator, legatos & ipse ad Fredericum mittit, & firmare pacta jubet. Sed illi, postquam in colloquium cum eo venerunt, nihil utique sani constituisse hominem videntes, rebus infectis digrediuntur. Altera autem legatione instandum illi apud principem esse monuerunt: quam ubi & imperator adprobavit, viri celebres denuo missi sunt, & Michael Palæologus & Joannes Ducas, ambo dignitate Sebasti ornati, & cum his Alexander, qui Grabinæ civitatis Italicæ princeps, à Rogerio pulsus, ad principem confugerat. Gravibus autem datis ab imperatore pecuniis, imperatum illis est, si intra Alpes agere Fredericum audivissent, simul eum omnes adirent; sin longius abesset, Michael quidem cum pecunia in Italiam tenderet, ceteri ad Fredericum ire pergerent: atque is si promissa negligeret, ipsi tum per se curam gererent reciperandæ Italiæ. Quod & fa-

gove.

γονε. Ῥογερίῳ γὰρ τῷ Σικελῶν τυράννῳ ἀδελφιδοῦς ἦν ὄνομα Βασαβύλας. Οὗτος, Ῥογερίου μὲν ἔτι περιόντος, τὴν Ἰταλίας διεῖπεν ἀρχήν. Ἐκείνου δὲ τετελευτηκότος, ἐπὶ τὸν υἱόντε Γιλιέλμον τῆς ἀρχῆς μετελθούσης, ἠνάγκαστο λοιπὸν ἐν ὑποστρατήγου λόγῳ διατελεῖν, ἑτέρου τὴν Ἰταλίαν διέποντος. Καὶ δὴ τὴν ὕβριν οὐκ ἐνεγκὼν, εἰς ἀποστασίαν εἶδε. Τοίνυν καὶ ἐπὶ Φρεδερίκον πέμψας, Ἰταλίαν τε πᾶσαν καὶ Σικελίαν αὐτῷ ἐγχειρεῖν ἐπήγγελε τούτῳ. Φρεδερίκου δὲ πρὸς τὸ δυσχερὲς ὀκνήσει ἐχομένου, συνέβαινεν ἀπράκτους τοὺς Βασαβύλα πρέσβεις ἐπανιόντας Ἀλεξάνδρῳ συντετυχηκέναι. Ἤδη γὰρ καὶ οὗτος, οὐδὲν ὧν ἕνεκα παρὰ Φρεδερίκον ἦλθε, πέρας δοὺς, σὺν τῷ Δούκᾳ ἐκεῖθεν ἀπηλλάττετο. Ὡς οὖν εἰς λόγους ἀλλήλοις ἦλθον, Ἀλέξανδρός τε καὶ οἱ Βασαβύλα πρέσβεις, μαθὼν Ἀλέξανδρος ὅτου ἕνεκα παρὰ Φρεδερίκον ἦλθον· Ἐγγὺς, ἔφη πρὸς αὐτοὺς, ἄνδρες φίλοι, ὃς πέρας αὐτίκα τὴν πρεσβείαν ὑμῖν δώσει. Τῶν δὲ μαθεῖν βουλομένων, Βασιλεὺς Ῥωμαίων, ὑπολαβὼν εἶπεν ὁ Ἀλέξανδρος καὶ ἑξῆς πάντα κατέλεγε προστιθεὶς, ὅτι δὴ καὶ Παλαιολόγος ἀνὴρ βουλῆς μὲν τῆς Ῥωμαίων ὢν * εἰς τὸ τῶν Σεβαστῶν ἀξίωμα σὺν χρήμασι μεγάλοις ἐνταῦθα που παρὰ πόδας ἐστί. Τούτου ἕνεκα παραγεγονὼς, ὅπως ἂν Ἰταλίαν βασιλεῖ καταστήσαιτο. Ταῦτα οἱ Βασαβύλα πρέσβεις ἀκούσαντες, γράμ-

A Actum est. Rogerio enim Siciliæ tyranno fratris erat filius nomine Basabulas, qui patruo adhuc superstite imperio Italiæ præerat. Sed illo rebus humanis exempto, & translato ad filium Gulielmum diademate; alter Italiæ præpositus, ipse secundum ab illo locum obtinere cogebatur. Hanc ubi contumeliam non ferret, molitur defectionem: eoque legatis ad Fredericum missis, & Italiam universam,
B & Siciliam tradere ipsi in manus pollicetur. Sed enim Frederico pigrante ad rem arduam, evenit forte, ut sine effectu redeuntes Basabulæ legati in Alexandrum inciderent: nam tum quoque & is nihil exsecutus eorum, quorum caussa ad Fridericum iverat, cum Duca revertebatur. Ubi ergo convenere Alexander & Basabulæ legati; cognito quas illi ob res Fredericum adierant, *Prope est*, inquit, *Alexander*, *Amici*, *qui legationi ve-*
C *stræ bonum eventum dabit*. *Quem illum*, rogantibus legatis: *Imperator Romanorum*, subjicit Alexander, & dein ab initio omnia enarrans, addit, ut Palæologus senator Romanus, atque honore auctus Sebastorum, cum magna pecuniarum vi prope sit, eo missus, ut Italiam imperatori restituat. His intellectis rebus, legati per literas Basabulæ quę audiverant significant;

μασιν αὐτῷ τὰ παρόντα ἐδήλουν. A Ὁ δὲ εἰς τὴν πόλιν Πεσχάραν Ῥωμαίοις λόγον κοινωνήσειν ἤθελεν. Ὁ μαθὼν ὁ Παλαιολόγος, ναυσὶ δέκα, οὐδὲν ὑπερθέμενος, εἰς Πεσχάραν ἔπλει, πόλιν Βεστίαν βασιλεῖ προσχωρήσασαν μεταξὺ κρατυνάμενος. Ἀλλὰ δόξαν αὖθις Βασαβούλᾳ ἐπὶ Βεστίαν αὐτῷ ἐντετυχηκέναι, ὀπίσω ἔπλει. Ἐνταῦθά τε ἐντετυχηκὼς αὐτῷ, πίστεις τε περὶ τῶν προκειμένων λαβὼν καὶ δεξάμενος ἔργου λοιπὸν εἴχετο. Ὁ δὲ Δούκας στράτευμα B ἤδη ἀθροίσας, φρουριόν τι ἐρυμνὸν, οὗ Προυντζος ἦρχεν ἀνὴρ Ἰταλὸς, πολιορκεῖν ἐπεβάλετο. Ἔνθα προσβολῆς γινομένης Ῥωμαῖοι τοὺς πολεμίους τρεψάμενοι, ἐντὸς τειχέων συνέπεσον φεύγουσιν. Οἱ δὲ πρῶτον μὲν ἐπὶ τὴν ἀκρόπολιν ἀνεχώρησαν. ὡς δὲ Ῥωμαῖοι πῦρ ταῖς οἰκοδομαῖς ἤδη ἐνῆκαν, τά τε οἴκοι διήρπασαν, ἐπικαταβαίνειν τε ἤρξαντο, καὶ κύριον σφίσι βασιλέα μέγαν ἀναβοᾶν. Τούτου μὲν δὴ οὕτω ἐγκρατεῖς ἐγένοντο. C Ἐπεὶ δέ τινα πόλιν ἐλθόντων, ἣ ἐπώνυμος τῷ ἐνταῦθα τιμωμένῳ ἁγίῳ Φλαβιανὴ κέκληται, ἐξεχεῖτο ἅπας ὁ δῆμος ὑπὲρ τῶν ἀγρῶν δεόμενοι, καὶ τοῦ μηδὲν αὐτοῖς ἄχαρι πρὸς τῶν Ῥωμαίων πείσεσθαι στρατιωτῶν, δοῦλοί τε βασιλεῖ ὡμολόγουν, καὶ τἆλλα ἔπραττον, ὅσα Ῥωμαίοις βουλομένοις ἦν. Οὓς τῆς εὐνοίας ἀμειβόμενος ὁ στρατηγὸς, ὡς διὰ φιλίας ἐπορεύε-

isque colloqui cum Romanis in civitate Peschara voluit. Quod ubi accepit Palæologus, nihil moratus, navibus decem Pescharam navigat, Vescia interea urbe, quæ ad principem defecit, communita. Sed cum melius deinde visum esset Basabulæ eum Vesciæ convenire, eodem redit. Ibi instituto colloquio deque rebus agendis accepta ac probata fide, operi sese accingere. Ducas autem, contracto jam exercitu, oppidum aliquod validum, cui Pruntzus, Itali ci vir nominis præerat, oppugnare aggreditur. ejus ante mœnia commissa pugna, Romani avertere hostes atque una cum fugientibus portis incidere. Illi primo quidem in summam se arcem recipiunt: sed incendentibus domos Romanis & suppellectilem omnem diripientibus, tum vero descendunt, & dominum suum imperatorem magnum proclamant. Eo modo superatum oppidum. Cum ad civitatem inde pergerent, cui à viro inter sanctos ibi relato cognomen inditum est Flavianæ, omnis turba obviam offundi, precantes ne agri sui vastarentur, neve quid grave sibi à militibus imponeretur; servos se esse imperatoris profitentes, cuncta, quæ vellet Romanus, facturos. Horum benevolentiam rependit dux, per-

το

τῆς χώρας. Ἄρτι δὲ ἐκεῖθεν ἀπαίροντι, Γιλίελμος ὁ Βερσαβύλα μὲν ἀδελφὸς, εὔνους δὲ καὶ αὐτὸς Ῥωμαίοις ἤδη γεγονὼς, γράμματα παρὰ τοῦ ἀδελφοῦ κομίζων ἦλθεν αὐτῷ, θαῤῥεῖν τοῦ λοιποῦ προτρεπόμενα, ὡς τῆς ἑξῆς χώρας κατηκόου προσκειμένης αὐτῷ. Ὁ δὲ Παλαιολόγος ἐπειδὴ Βεσίαν, καθάπερ εἴρηται, ὁμολογίᾳ παρεστήσατο, ἐπὶ Τράνιν ἦλθε. Τρανῖται τοίνυν ὡς τὸν Ῥωμαίων εἶδον στρατὸν, ἐπειδὴ παραδιδόναι σφίσι τὴν πόλιν οὐδαμῇ ἤθελον· πρέσβεις παρὰ τὸν στρατηγὸν πέμψαντες, ἠξίουν ἐνθένδε τοῦτον ἀπαίρειν. Μὴ γὰρ πρότερον Βάριν παραστησαμένῳ ἀδύνατα αὐτῷ ἔσεσθαι Τράνιν ἑλεῖν. Ὁ δὲ ναῦς αὐτίκα οὐ πλέον ἢ δέκα ἐπαγόμενος ἐκεῖθεν τε μετέβη, καὶ ἐπὶ Βάριν ἦλθεν· οὐχ᾽ ὅσον τοῖς στρατιωτῶν λόγοις ἀναπεισθεὶς, ἀγχίνους γὰρ ἦν, καὶ τῇ περὶ τὰ πολεμικὰ ἐμπειρίᾳ οὐδενὸς ἥττων· ἀλλὰ Τράνιν οὐκ ἐπίμαχον εἰδὼς, τρίβειν εἰκῇ τὸν καιρὸν ἀσύμφορον ᾤετο. Ἐδόκει μὲν οὖν ἡ Βάρις ἀπρόσοδος αὐτῷ πάντῃ. Τείχη γὰρ αὐτὴν περιεζώννυ καρτερὰ, καὶ βαρβάρων στρατιὰ, οἱ μὲν ἐπὶ τῶν ἐπάλξεων ὁπλενδυτοῦντες ἐνέστησαν· οἱ δὲ ἀνάριθμος τις ὅμιλος πυλῶν προχυθέντες, πεζοί τε καὶ ἱππεῖς ξὺν τοῖς ὅπλοις ἐφέροντο αὐτῷ. Ἡ θάλασσα δὲ σφοδρῶς ἐπεγειρομένη καταδύσειν ἠπείλει τὰς ναῦς. Ὁ δὲ καίτοι πανταχό-

A que agrum amico viciſſim & pacato agmine inceſſit. Inde jam moventem Gulielmus Baſabulæ frater, & ipſe jam amicus Romanorum, cum literis fratris accedit, nihil eum in reliquum vereri jubentis, utpote projacenti omni plaga Romanis obnoxia. Palæologus autem Veſcia, uti dictum eſt, per conditiones potitus, ad Tranim exercitum convertit. Tranitæ ubi militem Romanum conſpexere, tradere illis haudquaquam urbem volentes; mittunt ad ducem legatos & faceſſere finibus jubent. prius enim quam Barin cepiſſet, impoſſibile ipſi fore Tranin expugnare. Quare collectis decem non amplius navibus, prætergreſſus urbem ad Barin venit, haut à conſilio militum, (quippe ſolers ipſe, militiæ peritia nulli cedebat) ſed Tranin videns inexpugnabilem, nequic- C quam ibi tempus terere, parum conſultum putabat. Baris quoque & ipſa inacceſſa undique videbatur, utpote validis cincta mœnibus, & exercitu inſuper firmata barbarorum. qui alii in propugnaculis arma induentes ſtabunt; alii innumera multitudine ante portas effuſi, pedites equiteſque armati obviam ferebantur. Ad hæc æſtuoſum & magna vi adactum mare, interitum navibus minita-

θεν αὐτῷ τῶν πραγμάτων ἀπόρων A ὄντων, οὐκ ἔξω πάντη ἐλπίδων ἐγένετο. Τῇ προσούσῃ γνώμῃ τῶν κυμάτων τέως ἀπηλλαγμένος ἔργου ἔχεσθαι ἤθελεν. ὡς δὲ μηδὲν αὐτῷ προὐχώρει, (τῶν γὰρ πολεμίων οἱ μὲν λίθους καὶ ξύλα καὶ πᾶν τὸ παρατυχὸν νιφάδων δίκην ἐκ τῶν ἐπάλξεων ἐπ' αὐτὸν ἔπεμπον. οἱ δὲ καὶ ἀπὸ γῆς βέλεσι τὸν ἀέρα ἐσκίαζον) ἐντροπήν τινα ἐν τῷ παραυτίκα πεποιημένος, ἔξω βελῶν ἐγένετο, λόγοις τε ἐς αὐτοὺς ἐχρῆτο ἀγαθά. ἃ μὲν αὐτίκα B ποιήσειν ἐπαγγελόμενος, εἰ βασιλεῖ μεγάλῳ τὴν πόλιν ἀμαχητὶ παραδήσουσιν. ὧν δὲ καὶ ἐλπίδα ὑπολείπων ἐξῆς, τούτων ἐπειδήπερ οἱ ἀπὸ τῆς πόλεως ἤκουσαν, ἱππέων ἐκδραμόντες τινὲς, οἱ δὲ καὶ λεμβαδίοις ἐμβάντες, παρεκάλουν αὐτὸν ἐπὶ τὴν πόλιν ἰέναι, καὶ ἀνακεκλιμένας τὰς πύλας ἀποδεικνῦντες. ὁ δὲ δείσας ὅπερ ἦν, μὴ ἐξαπάτη τις εἴη τὸ πρᾶγμα, ἐς πεῖραν ἐχώρει πρότερον. Ἐκέλευε τοίνυν τῶν σὺν αὐτῷ μίαν νεῶν ἐπὶ τὴν ἀκτὴν C ἰέναι δῆθεν ὁρμισομένην· ἀλλ' ἅμα προσιοῦσαν εἶδον αὐτὴν οἱ πολέμιοι, καὶ ἀμφὶ τοὺς πεντακοσίους ἐς τὰς ἐπάλξεις ἀνέβαινον. Ὃ κατιδὼν Ἀλέξανδρος, μήπω πρὸς τοῖς ὅπλοις ἐκείνων γεγενημένων, χρυσίον κεχυμένον ἐπὶ τοῦ κόλπου λαβὼν, ἀπέβαινέ τε τῆς νεὼς θᾶσσον. καὶ τὴν ἐπὶ τῆς πόλεως δεικνὺς, ὃς αὖ πλούτου καὶ ἀληθείας ἐραστὴς εἴη, δεῦρο παρείτω, ἀνέκραγεν, ὡς αὐτίκα τούτων ἀπο-

batur. Ita omnia undique etiamſi inacceſſa, omnia ardua videbantur; non ideo tamen ſpem ille abjicere. Tunc igitur, hactenus fluctibus inde prohibitus, rem aggredi conſtituit. atque id etiam cum parum procederet (hoſtes enim pars lapides & ligna & quodcumque teli genus ad manus eſſet, nivis inſtar è turribus in eum conjicere: pars è terra frequentibus telis aëra obſcurare) extra teli jactum continuo receſſit: multa iis bona oratione offerens, quæ adportaturum ſe ſpondet, quando citra certamen magno imperatori urbem dederent. Quorum ſpem cum objicere pergeret, ſimulque & accepere oppidani; equites quidam excurrentes, quidam ſcaphas ingreſſi & portas recluſas oſtendentes, in urbem eum invitabant. ſed metuens ille ne dolus ſubeſſet, primo animos illorum tentare ſtatuit. Juſſit igitur navem unam ad litus agi, quaſi ita porro ad civitatem impellendam: eam ubi vident appropinquare oppidani, numero circiter quingenti in propugnacula eſcendunt. Quibus conſpectis ac nondum armatis, aurum, quod ſinu geſtabat, accipiens manu Alexander, celeriter nave egreditur; & civitatem verſus monſtrans, *qui auri*, exclamat, *& libertatis deſiderio tangitur, adſit agedum, extemplo iis frui-*

λαῦσι-

λαυσόμενος. ὁ μὲν ταῦτα εἶπε. Τῶν δ' ἐκ τῆς πόλεως πλῆθος ἐκδραμόντες πολὺ, παραυτὰ βασιλεῖ προσεχώρουν. οὓς ὅρκοις καταλαβὼν ὁ στρατηγὸς, σπεύσας ἐπὶ τὴν πόλιν εἰσῆγε τὸ στράτευμα. Οὕτω χρυσίνου δελέατος οὐδὲν ἀνθρώποις ἀπατηλότερον γίνεται. Ταῦτα γνόντες πολῖται οἱ ἄλλοι, οὓς οὐκ ἤρεσκε δηλονότι τὰ πραττόμενα· δρόμῳ ἐπὶ τὴν ἀκρόπολιν ἐχώρουν. ἐντόσε ἤδη τειχέων γεγονότες, περὶ τῶν ὅλων ἐμάχοντο. ἦν τε πρᾶγμα πολλοῦ γε ὄντως θαύματος ἄξιον ὁρᾶν, τοὺς ἔναγχος καὶ φύσει καὶ γνώμαις συμβαίνοντας, σήμερον ὥσπερ ἐπὶ τειχίσματι τῷ χρυσῷ διειργμένους, ἐχθρὰ φρονοῦντας ἀλλήλοις καὶ διεστηκότας ἤδη τοῖς ἔργοις. Ταῦτα μὲν οὖν τῇδε ἐφέρετο. Ἦν δέ τι φρούριον ἀνὰ τὴν πόλιν ἕτερον, ἐφ' οὗ Νικολάου τοῦ ἐν ἁγίοις ἵδρυτο νεώς. ὃ καὶ αὐτὸς ἐξελεῖν ὁ στρατηγὸς διανοηθεὶς, τοιάδε τινὰ ἐποίει. Ἄνδρας τεθωρακισμένους μέλασι περιστείλας ἀμφίοις, ἐκέλευεν ὀρθρίσαντας ἐπὶ τὸν νεὼν ἐλθεῖν. ἐπειδ' ἂν καὶ ἔνδοθεν γένοιντο, τὰ ξίφη σπασαμένους ἔργου ἔχεσθαι. Οἱ μὲν οὖν ἔξωθεν τῷ φρουρίῳ προσιόντες τὴν πύλην ἔκοπτον. οἱ δ' ἔνδον μοναχούς τινας εἶναι τούτους ὑπειληφότες, τὰς πύλας αὐτοῖς διαζυγώσαντες εἰσεδέχοντο. καὶ τὸ λοιπὸν οὕτω δὴ καὶ τοῦτο Ῥωμαίοις ᾑρέθη. Ἀλλὰ καὶ τούτου ἑαλωκότος, οἱ ἐπὶ τῆς ἀκροπόλεως ἰσχυρογνώμονες ἔτι ἦσαν, μέχρι μὲν οὖν καὶ ἐς ἑβδόμην ἡμέραν οὕτω

A *tur.* Hæc ille. Ingens autem è civitate procurrens multitudo, mox sese imperatori adjungunt: & jurejurando in fidem acceptis, quantum maturari poterat, exercitum in urbem introduxit. Sic nihil magis imponit mortalibus, quam auri illecebra. Hæc postquam cognovere cives alii, quibus neutiquam factum placebat; cursu se in arcem proripiunt, atque intra muros jam recepti, de
B summa rerum dimicant. Erat res cum admiratione visu digna; quos nuper & natura & voluntas eadem sociaverat, eos nunc auro, velut muro, separatos, diversos operibus, sibi invicem facere & parare hostilia. In civitate & alia sita arx erat, inque ea divi Nicolai templum, quam cum occupare intenderet Palæologus, talia aggreditur. Armatos aliquot nigris superindutos palliis summo mane
C ad templum ire jubet: simul intromissi fuerint, strictis gladiis arcem impugnare. Illi ergo, ut imperatum erat, succedunt ad arcem, portam pulsant: & qui intus erant, monachos quosdam esse putantes, mox portis apertis intromittere. Eo modo captum est à Romanis castellum. Sed jam in deditionem accepto, nihilo minus obstinato erant animo qui summam arcem tenebant: & con-

διετί-

διετέλεσαν ἀντικαθήμενοι ἀλλήλοις. A Ἐπεὶ δὲ καὶ Βασαβύλας ἐνταῦθα ἦλθε, δύναμιν ὡς πλείστην ἐπαγόμενος, τότε δὴ καὶ ταύτην Ῥωμαίοις παρέδοσαν. κατὰ ἔχθος γε μὴν τὸ πρὸς Ῥογέριον, ἅτε ἀπανθρώπως αὐτοῖς, ὁποῖα τοῖς τυραννοῦσιν εἴθισται, προσφερόμενον, ἐς ἔδαφος αὐτὴν καθελόντες ἀφῆκαν, καίτοι πολλὰ τοῦ στρατηγοῦ πρὸς τοῦτο διενισταμένου, καὶ χρημάτων ὠνεῖσθαι ταύτην μεγάλων ἀξιοῦντος. Τὰ μὲν οὖν κατὰ Βάριν τῇδε ἐχώρησεν. Ὁ δὲ Παλαιολό- B γος ἐπειδὴ ταύτην ἔσχεν, ἐπὶ Τράνιν ἀπέπλει. ὁμολογίᾳ τε καὶ ταύτην παραστησάμενος, εἶτα καὶ Γιβενάτζιον, πόλιν λόγου ἀξίαν ὑπόσπονδον ἐποιήσατο. Ἦν δέ τις Ῥιτζάρδος ὄνομα, ἀνὴρ κολαστικός. ἄνθρωπον γὰρ καὶ ἐπὶ μικροῖς αὐτῷ προσκεκρουκότα, ὡς ἱερεῖον καταθῦσαι, ἢ σπλάγχνα ἀνατεμεῖν, καὶ χειρῶν, ἢ ποδῶν ἀποστερῆσαι, κόλασις αὐτῷ ἡ προχειροτάτη ἦν. Οὗτος Ἄντρου μὲν ἦρχε φρουρίου. Γιβενατζίου δὲ μεταπεπεῖσθαι Ῥωμαίους C ἀκηκοώς, ἠπείλει μὲν καὶ τὸ πρότερον ἀποσχέσθαι τῆς ἐγχειρήσεως. Ὡς δὲ τῶν ἀπειλῶν ἀφροντιστήσαντες, Γιβενάτζιόν τε αὐτὸ ὁμολογίᾳ ἔσχον, καὶ περὶ τῶν λοιπῶν περιιόντες ἐσκέπτοντο. Κόμησί τε ἄλλοις, καὶ δὴ καὶ τῷ Γιλιέλμου Καντζιλερίῳ συγγεγονώς, ὃν Λογοθέτην ἄν τις εἴποι Ἑλληνίζων ἀνήρ, ἐπὶ Τράνιν σὺν αὐτοῖς ἦλθεν, ὡς ἀντιβαλεῖ τὴν πόλιν ἀναρπασόμενος. ἠκολούθει δὲ αὐτοῖς στράτευμα, ἱπ-

tinens pugna in septimum usque diem perdurabat. Posteaquam vero Basabulas etiam eo accessit cum ingentibus copiis, tum se Romanis dediderunt: atque odio adversus Rogerium, quod nimirum inhumanis modis, quemadmodum tyrannorum mos est, in eos sævierat; solo arcem æquant, frustra id duce improbante, & emere eam magno volente. Hæc tum ad Barin fuere acta. Simul eam Palæologus in potestatem habuit, Tranin navibus petit; atque urbe conditionibus dedita, aliam quoque memorabilem, Gibenatzium nomine, federe sibi adjungit. Erat iis in locis Ritzardus quidam, delictorum severus animadversor: quippe hominem, qui modo in minutissimis rebus offenderat, quasi victimam cædere, viscera resecare, manibus pedibusque truncare, levissima illi castigatio videbatur. Antro hic castello præerat, atque ubi ad Gibernatzium esse Romanos intellexit, primo quidem ut absisterent incepto jubet. Sed illi cum spernerent minas, & jam accepto in fidem Gibenatzio ad ulteriora tenderent; tum & aliis se comitibus conjungens, & Gulielmi Cancellario, quem Logothetam Græce dixeris, cum iis & exercitu equitum quidem duorum millium, peditum vero aliorum-

πεῖς

ἱππεῖς μὲν διχίλιοι, πεζῶν δὲ καὶ ὁπλιτῶν μυρίος ἄγαν ὅμιλος. A Ῥωμαῖοι τοίνυν σὺν βραχείᾳ τινὶ καὶ ὀλιγανδρούσῃ δυνάμει ἔνδον ἀπολειφθέντες, περί τε τῇ πόλει αὐτῇ καὶ τοῖς ὅλοις ἔδεισαν πράγμασιν. Ὅθεν καὶ τάχυ τὸν Δούκαν μετεπέμποντο, γράμμασι τύχην αὐτῷ τὴν ἐνεστῶσαν παραδηλοῦντες. Ὁ δὲ ἐπειδὴ τὰ γράμματα ἐδέξατο, συσκευασάμενος αὐθημερὸν, τὴν ἐπὶ Τράνιν ἠπείγετο. Γενομένῳ γοῦν περί τινα χῶρον, ᾧ Βουνὸς ἡ κλῆσις ἐστὶν, ἐξῄεσαν οἱ ταύτην ἄνθρωποι B παραλήψεσθαι σφίσι τὰς πόλεις, ἀμαχητὶ τὸν Ῥωμαίων προτρεπόμενοι στρατόν. Ἀλλ' ὁ Δούκας διατριβήν τινα ἐνταῦθα ποιεῖσθαι ἀσύμφορον οἰηθεὶς, ὡς μὴ Ῥιτζάρδῳ τὴν τοῦ πολέμου διοικεῖσθαι δοίη ῥοπὴν, ταῦτα μὲν ἐν τῷ τέως παρῆλθε, δυνατὸν ὂν καὶ εἰσύστερα κατὰ καιρὸν ἀνθέξεσθαι τούτων. Ἐπὶ δὲ τὸν Ῥιτζάρδον ὅλαις ἐφέρετο ὁρμαῖς. Ἔστι δέ τι ἐπιθαλάττιον πόλισμα, Βαρλὲτ ὄνομα, ἔνθα τὸν Καντζιλλέριον συνέβαινεν εἶναι. Τούτου C δὲ ἄγχιστα γενομένῳ τῷ Δούκᾳ, ἱππεῖς ἐκ τῆς ἐκείνου στρατιᾶς τριακόσιοι μάλιστα ἐκδρομὴν ποιησάμενοι, ἅμα πεζῶν φάλαγγι, αἰφνίδιον ὑπηντίαζον. Ὁ δὲ τῷ ἀπροσδοκήτῳ μηδὲν καταπλαγεὶς, ἐς φάλαγγά τε ἐπυκνοῦτο ταχὺ, καὶ σὺν ῥύμῃ σφοδρᾷ κατ' αὐτῶν ἵετο, πρὸς βραχύ τε ἀντιστάντας ἐτρέψαντο. Ἔνθα Ῥωμαίοις μὲν τοῖς ἄλλοις οὐκ ἔχω λέγειν, ὅπως ἑκάστῳ ἀνδραγαθήσασθαι ἐξεγένετο. Ὁ γε

que armatorum infinitæ multitudinis, ad Tranin venit, velut nullo urbem negotio invasurus. Romani igitur, exiguo admodum numero in civitate relicti, & illi & sibi ipsis metuentes, quam citissime Ducam auxilio advocant, & fortunam illi præsentem per literas significant. quas ubi ille accepit, motis eodem die castris, ad Tranin ire pergit. Cum ad regionem venisset, cui nomen Buno, obviam egressi incolæ, ut civitates suas citra certamen susciperent Romani, cohortabantur. Sed Ducas moram ibi facere haut è re fore ratus, ne occasione belli Ritzardus uteretur; in præsentia quidem illa omisit, quod deinceps suo tempore posse repeti putaret; ac quanto poterat impetu ad Ritzardum contendit. In maritimo quodam oppido, Barlet nomine, agebat tum forte Cancellarius. Huic cum appropinquasset Ducas, equites de exercitu ejus trecenti cum peditum phalange, irruptione facta, obviam improviso venerunt. Verum is re nec opinata haudquaquam consternatus, in densam aciem se collegit, & totis viribus in hostem irruit, ac brevi momento resistentes avertit. Illo in certamine quales se ceteri quidem Romani viros gesserint, dicere non possum: Du-

μὴν Δούκας ἐς τριάκοντα φασὶν ἐπὶ A στόμα κατήνεγκε ξὺν τῷ δόρατι ἐπελαύνων, ἕως πυλῶν ἔνδον πολλοὺς τῶν σφετέρων ἀποβαλόντες ἐγένοντο. Ῥωμαῖοι δὲ ὀπίσω διώξαντες, ἐπειδὴ συνεσκόταζεν ἤδη, ἐπὶ τὸ στρατόπεδον ἀνεχώρουν, οὐδενὶ ἑτέρῳ, ὅτι μὴ τῶν μισθοφορούντων ζημιωθέντες ἱππέων τινί. Τὴν μὲν οὖν νύκτα ἐκείνην ἐνταῦθα που ηὐλίσαντο. ἅμα δὲ ἡμέρᾳ ὁδοῦ εἴχοντο. Τοῦτο μαθὼν ὁ Ῥιτζάρδος, ὡς μὴ κυκλώσειν ἵνα αὐτὸν Ῥωμαῖοι πειρησάμενοι ἀνήκεστα δράσωσι, B τὴν ταχίστην ἐκεῖθεν ἐφέρετο. ἐν Ἄντρῳ τε γεγονὼς ἐνταῦθα ἔμενεν. Ὁ δὲ Δούκας τὸ σὺν τῷ Παλαιολόγῳ ἑνωσάμενος στράτευμα, ἐπὶ Ῥιτζάρδον μετέβαινε, καίτοι τῆς περὶ αὐτὸν δυνάμεως πολλῷ τὴν Ῥωμαίων πλήθει ὑπερβαλλούσης. τοὺς μὲν γὰρ ἑξακοσίους οὐ πλείονας συνέβαινεν εἶναι, πεζῶν ἄνευ, οἳ καὶ αὐτοὶ τοῦ σὺν τῷ Ῥιτζάρδῳ πεζικοῦ πλεῖστον ἀποδέοντες ἦσαν. Ῥιτζάρδῳ δὲ ἱππεῖς μὲν ὀκτακόσιοι καὶ χίλιοι· πεζῶν δὲ οὐκ εὐαρί- C θμητος εἵπετο στρατός. Ἐπιόντας τοίνυν Ῥωμαίους ὁ Ῥιτζάρδος ἀναμαθὼν, ἀντεξῆγε τὸ στράτευμα καὶ αὐτός. Ἐπειδή τε ἐγγὺς ἤδη ἐγένοντο, Ῥωμαῖοι μὲν τριχῆ διαιρεθέντες ἐτάξαντο ὧδε. Σκύθαι δὲ καὶ ὅσοι ἐπὶ τόξοις ἦσαν πεζοὶ φαλαγγηδὸν ἐπὶ μέτωπον ἔστησαν. ἱππέων δὲ ἐς ἥμισυ μάλιστα καὶ μοῖραν Σκυθῶν ὁ Δούκας ἔχων, αὐτὸς μὲν τὴν ὀπισθίαν, Βασαβύλας δὲ σὺν τῶν ἄλλων κο-

cas certe hasta invectus, triginta, ut ajunt, in os prostravit, usque dum multis suorum amissis intra portas se recepere. Fugientes insecuti Romani, ubi jam se tenebræ intenderant, in castra redeunt, nullo alio, præterquam uno mercenario equite, interemto. Ibi tum noctem transigebant, & prima luce progrediebantur. Posteaquam ea accepit Ritzardus, ne circumventus obsessusque à Romanis aliquid non reparabile pateretur, reversus inde in Antro se continuit. Ducas vero, accitis à Palæologo copiis, ad Ritzardum proficiscitur, licet is militum numero longe vinceret Romanos. namque illi haut amplius sexcenti, peditibus exceptis, qui & ipsi pedestribus Ritzardi copiis multo erant inferiores: is autem mille octingentorum equitum, peditum vero innumeræ multitudinis exercitum habebat. Cognito itaque adventare Romanos, & ipse obducebat agmen Ritzardus; ubi appropinquarunt, Romani trifariam exercitum divisere, in hunc modum instruentes aciem: Scythæ & sagittarii pedites phalangis instar in fronte stabant; Ducas cum dimidia equitum parte & aliquot Scythis locum postremum tenebat; Basabulæ cetero equitatui præposito cum quibusdam comi-

μήτων

μήτων ἦσι τὸ λοιπὸν ἔχων ἱππικὸν τὴν μέσην ἐκληροῦτο χώραν. Ῥιτζάρδος δὲ πολλῷ ἐχόμενος θυμῷ, οὐδὲ ὅσον τὰ κλίσεώς τι μεταποιήσασθαι ἀνασχόμενος, ἀπήλαυνε σὺν τοῖς ἀμφ' αὐτὸν ἱππεῦσι, ἕως ἐς αὐτὸ τὸ μεσαίτατον τοῦ Ῥωμαϊκοῦ καταντήσας στρατεύματος, στάδιον ἤδη τὴν μάχην ἐποιεῖτο, τοῦ κατὰ μέτωπον τοξικοῦ οὐδὲ κατὰ βραχὺ ἀντισχόντος αὐτῷ. Εἶτα δὴ καὶ Βαρσαβύλας βιασάμενος ἐτρέψατό τε κατὰ κράτος, καὶ τοῖς ἀμφὶ τὸν Δούκαν ἐπέθετο. Ἐνταῦθα μάχη συνίσταται καρτερά, καὶ πίπτουσι μὲν τῶν περὶ τὸν Ῥιτζάρδον πολλοί. ἅτε δὲ ἐν πολλῷ τῷ πλήθει πιπτόντων, συναίσθησις οὐδεμία τῷ στρατεύματι ἐγένετο. ὠθισμός τε γοῦν πολὺς ἦν, καὶ δοράτων περὶ ταῖς ἀσπίσιν ἀποκαυλιζομένων δοῦπος ἠγείρετο. συχνά τε βέλη συνεπέπτε, καὶ πανταχόθεν ἐστήρικτο τὸ δεινόν. ἕως Ῥιτζάρδος σὺν ῥύμῃ ἐπιβρίσας νῶτα ἤδη δεδωκέναι καὶ τούτους ἠνάγκασεν. Ὅτε καὶ αὐτὸς ὁ Δούκας παρ' ὀλίγον ἦλθε καὶ τοῦ ἁλῶναι καταδορατισθείς. Ἀλλὰ γὰρ ἡ πρόνοια πάντα, ἐς ὅπερ ἂν αὐτὴ θέλῃ, ἄγει καὶ στρέφει τὰ ἀνθρώπινα. καίτοι εἰς τοῦτο τύχης Ῥωμαίοις ἐλθοῦσι νικᾶν ὅμως ἐπὶ τέλους ἐγένετο. Ἔφθη μὲν γὰρ ὁ Δούκας ἐπί τι τῶν ἐκ λίθου πεποιημένων τειχίων περιβόλους, ἃ περὶ τῶν πυλῶν εἴθισται τιτάνου ἄνευ, ἤ τινος ἄλλης ἐπιχειρήσεως τοὺς λειμῶνας περιζωννύειν, ἐνταῦθα περισεσῶσθαι. Ἤδη δὲ καὶ τὸ Ῥωμαίων πεζικόν, ἐν ἐπιτηδείων γε-

A tibus medius locus adſignabatur. Sed enim Ritzardus, adeo in pugnam fervidus, ut nec aciei, nec ordini ulli curaret, cum equitibus ſuis mediam aciem Romanam invehitur, ſtatarium ibi prælium committit, ne ad breve quidem ſpacium id ſuſtinentibus in fronte ſagittariis. Mox & Baſabulas robore adgravatus retro ad poſtremam aciem cedit. quo tum omnis pugnæ moles convertitur,
B multi ex Ritzardi militibus cadunt, & ut magna multitudine, minime aut ſenſum, aut animos commoventes aliorum. Pugnabatur igitur ſtrenue, haſtarum cuſpide præfractarum exaudiebatur fragor, ſpiſſa volabant tela, & furor cladeſque undique gliſcebat: donec Ritzardus impetu ſe inferens terga eos vertere adegit. Vulneratus haſta ipſe Ducas, quin & caperetur, haud ſane multum ab-
C erat. Sed enim providentia, quocumque demum vult, agit vertitque res mortalium. & Romani, licet tum ad eam fortunam redacti, ſine tamen victores evaſere. Nimirum Ducas, poſtquam ſe poſt lapidum congeriem recepiſſet, quę neque calce, neque ulla alia materia compacta circumcingit ſuburbana prata, ſe ſuoſque ſervavit. tum etiam pedites Romani locis opportunis ſtantes, lapides conji-

γονὸς, λίθους κατὰ τῶν περὶ Ῥιτζάρδον A ἠφίεσαν, ὡς ἐντεῦθεν ἐπισυνίστασθαι ἤδη τῶν πεφευγότων πολλούς. Ὅπερ ὁ Ῥιτζάρδος ἰδὼν, ἱππεῦσιν ἓξ ἅμα καὶ τριάκοντα κατ' αὐτῶν αὖθις ἐφέρετο. Ἀλλά τις τῶν ἐκ Τράνεως εἰς τοὺς ἱερέας τελῶν, μέγα τι χρῆμα λίθου ἐξ ὑπερδεξίων ἀφεὶς, κνήμης τε θατέρας τυχήσας αὐτῷ εἰς γῆν ἀναχθῆναι ἐποίησε. καὶ ὁ μὲν ἔκειτο σπαράττων ὑπὸ ὀδύνης ἑαυτόν. Ὁ δὲ καὶ δευτέραν κατῆρε τοῦ τραχήλου βολήν. Ἐπειδή τε ἤδη B κατηγώνιστο, καί τοι τοῦτον πολλὰ ἱκετεύοντα, ὕπτιον ἀνακλίνας, ἐγχειρίδιον μὲν τῆς γαστρὸς διελαύνει. Ἔγκατα δὲ πάντα ἐκχέας, οἷον τινὰ ἐδωδὴν ἐπὶ τοῦ στόματος παρέθετο, ὑπόδειγμα καθ' ἑαυτοῦ τοῦτον δὴ τὸν τῆς ἀπανθρωπίας τρόπον παρεσχηκότι τῷ κακοδαίμονι. Καὶ τὸ ἐντεῦθεν Ἄντζοντε καὶ τὸ περὶ αὐτὸν στράτευμα Ῥωμαίοις ὁμολογίᾳ προσεχώρησεν. Οἱ δὲ οὐδὲ τὸν κίνδυνον διαφυγεῖν προσδοκήσαντες, σὺν τροπαίοις ἐπὶ Βάριν ἦλθον. C Ἔνθεν ἀφθόνοις περιτετυχηκότες τοῖς ἐπιτηδείοις, τοὺς πολεμίους ἀνέψυχον ἤδη καμάτους. Χρόνου δὲ οὐ πολλοῦ διαγεγονότος, ἐδόκει διχῆ διελεῖν τὸ στράτευμα, τὸ μὲν αὐτοῦ σὺν τῷ ἑτέρῳ τῶν στρατηγῶν μεῖναι. τὸ δ' ἄλλο θάτερον ἑπόμενον, ἐπὶ καταδρομῇ φρουρίων τῶν περιοίκων ἐξελθεῖν. Ἔπιπτε δὲ ἐπὶ τὸν Δούκαν ὁ τοῦ προστάττεσθαι κλῆρος. Τοίνυν καὶ ἦν γάρ τις πόλις, ἧς Κάστρος ἡγεῖτο, ἀνὴρ ἐπιφανὴς, ταύτην περικαθίσας

ciebant in Ritzardi militem; adeo ut multi inde sistere se & coire in in unum potuerint. Ubi id vidit Ritzardus, cum equitibus sex & triginta iterum eos adoritur. sed Tranita quidam sacerdos magnæ molis lapidem superiore è loco dejiciens, alteram illi tibiam percutit, adeoq; hominem humi fundit; ubi jacentis & præ dolore seipsum fermę dilacerantis iterato collum ictu feriit. Sic ergo victum & nequicquam supplicem supinat, ventrem pugione rescindit, intestina eximit, ac velut nutrimentum quoddam ori jacentis imponit: eum crudelitatis inhumanæ modum adversus se exemplum habente misero. Tum & Antrum, & quæ circum erant copię, Romanis se legionibus adjunxere: & qui se neutiquam evasuros periculum crediderant, victores cum tropæis Barin venerunt. Ubi cum frumentum copiæque aliæ large suppeterent, fessa militaribus laboribus corpora aliquamdiu reficiunt. Paucis itaque diebus intermissis, bonum inde visum est, bifariam partiri copias, & partem aliam cum duce uno istic manere; aliam cum altero ad circumjacentia castella diripienda exire. Sors ejus expeditionis Ducæ obvenit. Cum ergo prope esset civitas, cui Castrus præerat, vir celebri nomine,

ἀσφαλῶς

ἀσφαλῶς ἐπολιόρκει. Ὡς δὲ πολλάκις τῷ περιβόλῳ προσραγεὶς, ἔγνω ἀνηνύτοις ἐπιχειρῶν (οὐ γὰρ ἦν οὐδὲ λίθον αὐτοῦ ἐκεῖθεν ἀποσπᾶν ἐξεγένετο, καίτοι συχνὰ μαστίξαντι τοῖς τειχομαχικοῖς) ἄρας ἐκεῖθεν, περὶ λύχνων ἁφὰς ἐπὶ Μονόπολιν ἐφέρετο, ἐξαπιναίως ἐπιθήσεσθαι ταύτῃ διανοούμενος. Ἐτύγχανον δὲ τηνικαῦτα Μονοπολῖται στράτευμα ἐπὶ Ῥωμαίους ἐκπέμψαντες, τὸ μὲν ἐπὶ κατασκοπῇ τῶν γινομένων. τὸ δὲ καὶ ὅπῃ δυνατὰ ἔσται ἀντικαταστησόμενον αὐτοῖς. Τύχῃ γοῦν τινὶ Μονοπολῖται τοῖς ἐμπροσθίοις τοῦ Ῥωμαϊκοῦ συμμίξαντες στρατοῦ, εἰς χεῖρας ἦλθον. Ἀλλὰ συναισθήσεως καὶ τοῖς κατόπιν γεγενημένης, ἱππεῖς μὲν αὐτῶν σχεδόν τι ἅπαντες ᾤχοντο πεφευγότες, δρόμῳ τε ἔτι καὶ ἄσθματι πολλῷ ἐχόμενοι, πολίταις τοῖς ἄλλοις τὸν Ῥωμαίων στρατὸν ὅσον οὐκ ἤδη παρέσεσθαι διήγγελον. πεζῶν δὲ πλεῖστοι ἑάλωσαν. Τούτοις ἐκταραχθέντες ἡ πόλις, ἐκ τῶν παρόντων τοῖς πολεμίοις ἀντιτάξεσθαι ἔγνωσαν. Ἱππεῖς τοίνυν ὑπὲρ τοὺς διακοσίους ἐκδραμόντες, ἅμα πεζοῖς πλείοσιν ἢ χιλίοις, πλήθους σφενδονιτῶν ἀναριθμήτου κατόπιν αὐτοῖς ἑπομένου, πρὸ τῆς πόλεως ἔστησαν. Ἐπειδή τε ἡμέρα ἤδη ἦν, ἐπιστὰς ὁ Δούκας, ὑπὲρ ἥμισυ μὲν τῶν στρατιωτῶν αὐτὸς εἶχε, τὸ δ' ἄλλο εἰς προνομὴν τῶν πέριξ ἐξαπέστελλεν. Ἤει τοίνυν διχῇ διελὼν τὸ στράτευμα, οὐ μὴν καὶ συνέμιξεν ἐν τῷ παραυτίκα Μονοπολίταις, ἀλλὰ σχῆμα τὸ τῶν τειχέων δῆθεν πειώ-

A eam obsessam fortiter oppugnat. Ut vero tentatis crebro mœnibus, frustra se insumere operam advertit (nam etiamsi sæpius machinis quassaverat murum, vix unum inde lapidem effregerat) motis sub crepusculum, cum lucernæ accenduntur, castris, ad Monopolin duxit, animo urbem nec opinantem opprimendi. Sed Monopilitæ circa idem tempus manum suorum emiserant, tum ut specularentur
B res Romanas, tum etiam, si commodo facere possent, manus consererent. Hi forte fortuna in primum agmen incidentes pugnam faciunt: simul id advertere posteriores, equites eorum ferme omnes terga vertunt, ac cursu nimio anhelantes, ceteris civibus jam jam adfuturum exercitum Romanum annunciant. pedites autem plerique capti sunt. Eo nuncio conterrita civitas, extemplo resisten-
C dum hosti censuit. Itaque equites ducenti, & supra mille pedites, & præter hos ingens funditorum multitudo, pro portis sese oblocarunt. simul orta lux erat, succedere Ducas cum dimidia exercitus parte; reliquam ad incursandos circumjacentes agros dimittere. Venit ergo bifariam divisis copiis, sed nec statim se Monopolitis commisit: verum in speciem contemplandorum mœnium, lento pri-

μενος κατασκοπῆς, βάδην μὲν ἐχώρει τὸ πρῶτον ἐπὶ μέρους δῆθεν τὴν πόλιν περισκοπῶν. Ἔπειτα οὐδενὶ προρηθὲν, τριάκοντά τε τῶν ἀμφ' αὐτὸν ἕπεσθαι τὴν ἐπὶ τοὺς πολεμίους ἀγγελουσάμενος, κατὰ μέσον αὐτῶν ἵετο. Οἱ δὲ τῷ ἀθρόῳ καταπλαγέντες, εἰς φυγὴν ἔκλιναν. ὁ δὲ οὐ πρότερον ἀνῆκε διώκων, πρὶν ἢ ταῖς τῆς πόλεως πύλαις φεύγουσι συνεισέπεσε καὶ αὐτὸς, ἕνα τε δορατίσας ἐντὸς πυλῶν, εἰς γῆν ἔβαλε. τοῦ λοιποῦ δὲ τοὺς ἑαλωκότας ἀνειληφὼς, ἐκεῖθεν ἀνεζεύγνυ. Ἤδη δὲ καὶ τὸ ἄλλο στράτευμα ἱκανῶν τῶν κύκλῳ καταδραμὼν, σὺν ὠφελείαις ἀνέστρεφεν. ὃ καὶ αὐτὸ σὺν τῷ Δούκᾳ ἐς Βάριν ἦλθεν. Ἐν οὗ καὶ ταῦτα ἐγένετο. πρέσβεις παρὰ τοῦ Ῥώμης ἀρχιερέως ἐπὶ τοὺς Ῥωμαίων ἦλθον στρατηγοὺς, ὃν Πάπαν Λατίνοις ὀνομάζειν ἔθος ἐστί. Ἐβούλετο δὲ αὐτοῖς ἡ πρεσβεία, ἢ ἄμφω, ἢ τὸν ἕνα αὐτῶν ἐπὶ Ῥώμην ἐλθεῖν, περὶ μεγάλων τῷ ἀρχιερεῖ κοινωνησόμενον. Ἤδη γὰρ ἔφασκον δυνάμεις ὡς πλείστας αὐτὸν ἠθροικὼς Ῥωμαίοις συμμαχήσειν ἐν παρασκευῇ γεγονέναι. Οἱ δὲ Ῥωμαίων στρατηγοὶ πρὸς μὲν τοῦτο γράμμασιν ἀπείπαντο. Βασιλάκιον δέ τινα ἐς τοὺς βασιλέως τελέσαντα ὑπογραμματεῖς, τότε σφίσιν ἑπόμενον, καὶ αὐτὸν σὺν χρυσίῳ, ἐφ' ᾧ ἱππέας ἐκεῖθεν μισθοῦ ἀγαγεῖν, ἔστελλον. Οἱ δὲ ἐπὶ τὴν Μονοπόλεως κατασυνεσκευάζοντο πόλεμον. Μονοπολῖται τοίνυν Ῥωμαίοις ἀπεναντίας ἰέναι οὐκ ἀποθαρσοῦντες, ῥητόν τινα χρόνον ἐνδοθῆναι

A mum gradu incedebat, velut civitatem per partes exploraret. Deinde, nihil etiam cuiquam prædicens, triginta ſuorum ſequi in hoſtem jubet, & mox medios eos invehitur. Illi re ſubita perturbati, fugere occipiunt; nec perſequi ante deſtitit Ducas, quam ſimul cum fugientibus inciderat portis, ibique unum ex hoſtibus transfixum haſta fuderat. inde captivis collectis abſceſſit. Inter hæc alia exer-
B citus pars globis expeditiorum agros depopulati, præda graves una cum Duca Barin redierunt. ibi & hæc ſequentia intervenere. Legati Roma à pontifice, Papam Latini vocant, ad duces miſſi Romanos, rogabant ut vel ambo, vel alteruter eorum, Romam veniret, de rebus maximis cum pontifice acturus: inſuper dicentes, ingentibus jam illum copiis congregatis, in procinctu eſſe ad belli ſo-
C cietatem cum Romanis ineundam. Duces autem id quidem per litteras recuſarunt. Baſilacium vero quendam, ſcribam imperatoris, qui tum ipſis aderat, eo cum pecuniis ad conducendos mercede equites miſere: ipſi interea ſe ad Monopolin oppugnandam parant. Itaque Monopolitæ obviam ire Romanis non auſi, certum ſibi tempus concedi petunt; intra quod ſi nulla alicunde auxilia mitteren-

αὐτοῖς

αὐτοῖς ἠξίουν, εἰ ἐνδοιεῖ μὴ ἐπικουρίας τις ὅθεν δήποτε αὐτοῖς γένηται, τὴν πόλιν ἀμαχητὶ ἐγχειριεῖν. ἐγίνετο δὲ ταῦτα, καὶ σελήνης ἡμέραι ἐκεχειρία Μονοπολίταις ἐδίδοτο. καὶ οἱ μὲν περὶ τούτοις ἦσαν. Βαρσαβούλας δὲ στρατευμάτων ἤδη Σικελικῶν ἐπιθεμένων αὐτῷ, γράμμασι τοὺς Ῥωμαίων μετέπεμπε στρατηγοὺς θᾶττον ἐπικουρήσειν αὐτῷ. Τῶν δὲ μὴ προσεχόντων οἷς ἠπεῖτο, αὖθις ἐκεῖνος πέμψας, ἠξίου περὶ τῶν αὐτῶν. Ῥωμαῖοι τοίνυν τὸ μὲν πρῶτον ἀπέλεγον, οὐκ ἐφ᾽ ᾧ Βαρσαβούλᾳ συμμαχήσειν ἐκ βασιλέως ἥκειν εἰπόντες (οὐδὲ μὴν ταῦτα τὰς μεταξὺ Βαρσαβουλᾶ καὶ αὐτῶν βούλεσθαι ὁμολογίας) ἀλλ᾽ ὡς ἂν δηλονότι βασιλεῖ Ἰταλίαν ταύτην, πρὸς αὐτὸν συμμαχούμενοι, κατακτήσωνται. Οἱ μὲν οὕτω Βαρσαβούλᾳ ἠμείψαντο. Ὁ δὲ οὐδὲν ἧττον τοὺς ἄνδρας ἠπείγεν, ἐσχάτοις λέγων περιειλῆφθαι κακοῖς. σκεψάμενοι τοίνυν, ἐκ Βάρεως εἰς Βυτέτην ἦλθον, ἡμέρας ὁδὸν ἀνδρὶ ὁπλοφοροῦντι διέχουσαν. Ἐπεὶ δέ τις ἐκράτει φήμη πρότερον, ὡς Βαρσαβούλας Ῥιτζάρδῳ ἔτι περιόντι προδοῦναι Ῥωμαίους σκέπτοιτο, δεῖν ἔγνωσαν καὶ δευτέροις αὐτὸν ὅρκοις Ῥωμαῖοι καταλαβεῖν. οὗ γεγονότος, οὐκέτι λοιπὸν ὑποψίᾳ ἐς αὐτὸν ἐχρῶντο οὐδεμιᾷ. Ἐν τούτῳ δὲ ὁ βασιλεὺς στόλον Μασσαγετῶν τε καὶ Γερμανῶν ἱππέων, καὶ δὴ καὶ Ῥωμαίων αὐτὸν ἐμπλησάμενος, εἰς Ἰταλίαν ἔπεμψεν. ἦρχε δὲ Μασσαγετῶν μὲν Ἰωαννάκιος, ὃν Κριτόπλην ἐκάλουν. Γερμανῶν δὲ Ἀλέξανδρος, Λογγιβάρδος

A tur, urbem citra certamen traderent. quod factum est, & unius mensis induciæ datæ. Dum hæc ibi geruntur, Basabulas, instantibus jam Siculorum copiis, Romanos duces ad ferendam quam citissime opem per literas arcessunt: sed abnuentibus, iterum misit eademque postulavit. Primo quidem negarunt Romani, non se venisse ab imperatore dicentes, ut illum sociali opera juvarent, (neque enim
B id federis inter eum & Romanos condiciones ferre) sed ut viribus conjunctis restituere Italiam principi niterentur. Sic quidem illi respondent Basabulæ. Verum is nihilo deinde minus sollicitare ducum operam, atque ultimis se periculis circumventum dicere. Habita ergo deliberatione, Bari sunt Butolam profecti, iter unius diei viro armato distantem. Quandoquidem vero fama exierat, de pro-
C dendis superstiti adhuc Ritzardo Romanis cogitasse Basabulam; necessarium putarunt, secundo hominem jurejurando obstringere. quo facto, nihil deinceps etiam mali de illo suspicabantur. Inter hæc imperator classem plenam Massagetarum Germanorumq; & Romanorum equitum in Italiam misit. Præerat Massagetis Ioannacius Critoples; Germanis Alexander, Longobardus quidem gene-

μὲν

μὲν τὸ γένος, λίαν δὲ εὐνοϊκῶς ἔχων A ἐς τε βασιλέα καὶ Ῥωμαίους, καὶ τὰ βασιλέως πράγματα. Πᾶσι μέντοι Ἰωάννης ἐφεστήκει ἐπίκλησιν Ἄγγελος. Ταῦτα μαθὼν ὁ Γιλιέλμου στρατάρχος, καὶ ὡς ὁ Ῥωμαίων στρατὸς ἔπεισι κατ' αὐτοὺς, Ἄντρον τε πολιορκοῦντες, καὶ χωρία τὰ τῇδε περινομεύοντες, ἐκεῖθεν ἐπὶ πόλιν Μαλφέτην ἀσφαλείας ἱκανῶς ἔχουσαν παντὶ τῷ στρατῷ ἦλθε. Ῥωμαῖοι δὲ Βόσκον φρούριον Ῥιτζάρδῳ μὲν ἐκείνῳ κατήκοον, ὀχυρὸν δὲ εἴπερ τι καὶ ἄλλως δυσ- B πρόσοδον ὄν, καταστρέψαι διενοήθησαν. Ἔνθα ἐκεῖνος, ὑπὸ τῆς ἄγαν φιλοτιμίας, καὶ ζώων γένη παντοδαπὰ ἔτρεφεν, ἰδιαζούσαις ἐνδιατριβαῖς, ἄπονόν τινα θήραν, ὁπότε βούλοιτο αὐτῷ, παρεχόμενα. Ὀλίγους τοίνυν τῶν περὶ αὐτὸν ἐπαγόμενος ὁ Δούκας, ἦλθε περισκοπήσων αὐτό. Ἐπειδὴ δὲ ἐγγὺς ἐγένετο, θαρσήσαντες οἱ ἔνδον ἐπεξῄεσαν, εἰς μέσους τε ἐμπεπτωκότες, τέτρασι μὲν αὐτῶν ἐζημίωσαν, ἔπεσον δὲ αὐτῶν δύο. C Καὶ ἡ συμβολὴ ἀπὸ χειρὸς ἤδη μᾶλλον ἐγένετο. Ἀλλ' ἐπισυστάντες Ῥωμαῖοι τῇ σφετέρᾳ ἀρετῇ, τοὺς πολεμίους ἀπεώσαντο. Ἐν τούτῳ τῷ πόνῳ ἄλλοι τε πλεῖστοι Ῥωμαίων ἄνδρες γεγόνασιν ἀγαθοὶ, καὶ δύο Μασσαγετῶν. Ἡ μὲν δὴ ξυμβολὴ ἐνταῦθα ἐλύετο. Ὁ δὲ Δούκας, ἐπειδὴ καὶ τὸ ἄλλο στράτευμα ἦλθε, τότε μὲν χάρακα πηξάμενος ηὐλίζετο, ὄρθρου δὲ ταξάμενος ἐχώ-

re, ceterum in principem & negotia ejus fidus admodum: omnibus autem imperabat Joannes cognomento Angelus. Quod ubi didicisset Gulielmi præfectus, atque insuper obviam venire sibi exercitum Romanum, jam Antrum oppugnantem & loca adjacentia depopulantem: Malphetum, civitatem munitam satis, copias omnes traducit. Romani vero Boscum arcem, Ritzardo parentem, validam si quæ alia, & accessu difficilem, expugnare constituunt. Hic ille per nimiam ambitionem omne genus animalia alebat distinctis vivariis; in quibus illi, quandocumque lubebat, parata erat sine labore venatio. Ducas igitur paucis suorum comitantibus ad contemplandum locum accedit: & postquam appropinquasset, hostes irruptione audacter facta medios Romanos invadunt, quatuor eorum concidunt, ipsi tantum duos amittunt. Et jam magis gliscebat pugna, cum virtute antiqua instantes Romani submoverunt in fugam hostes. Eo in discrimine præclare operam navarunt tum plures alii, tum duo imprimis Massagetarum. In his pugna ista desiit. Ducas autem, postquam & aliæ acesserant copiæ, positis castris consedit: postero mane, instructa per phalanges a-

ρει κατὰ

ρεν κατὰ φάλαγγας. Προσβολῆς A τοίνυν γινομένης Ῥωμαῖοι μὲν βέλεσι καὶ βολαῖς ταῖς ἐκ τῶν πετροβόλων τοὺς ἔνδον ἐβιάζοντο. Οἱ δὲ ἐκ τῶν ἐπάλξεων ἠμύνοντο καρτερώτατα. Ἐνταῦθα γίνεταί τι θαυμάσιον οἷον. Δύο γέροντες τῶν τοῦ Δουκὸς δορυφόρων, ἐπεὶ λίθοις αἰκιζόμενον ἀνένδοτον εἶναι τὸ φρούριον κατενόουν· ἀσπίσι τὰς κεφαλὰς καλυψάμενοι, δᾷδάς τε χερσὶ ταῖς ἑτέραις ἔχοντες, ἐπὶ τὰς πύλας ἐχώρουν, ὡς ἐμπρήσοντες αὐτάς. Ἀλλὰ τῆς ὕλης οὐκ εὐπρήστου πα- B ρούσης ἄπρακτοι ἐκεῖθεν ἀνεχώρησαν, παραδόξως τὰς ἐκ τοῦ τείχους χαλαζηδὸν ἐπ' αὐτοὺς πεμπομένας ἐκπεφευγότες βολάς. Τότε μὲν οὖν Ῥωμαῖοι τῆς μάχης ἄχρι καὶ ἐς δύοντα καταλεινάσης ἥλιον, ἐπειδὴ μηδὲν ἤνυον ἐπὶ τὸ στρατόπεδον ἦλθον. Οἱ δὲ Γιλιέλμου στρατάρχαι τούτων ἀκούσαντες, εἰς βουλὴν συλλεγέντες, εἰ χρὴ Ῥωμαίοις πολεμεῖν ἐσκέπτοντο. δόξαν οὖν οὕτω, τὰς δυνάμεις ἀναλαβόντες, ὡς ἐπὶ τὸ Ῥωμαίων ἐχώ- C ρουν στρατόπεδον. Οἱ πυθόμενοι καὶ Ῥωμαῖοι, ὡς πρὸς ἀντίταξιν ἡτοιμάζοντο. Ἐννέα μὲν οὖν Ἰταλοῖς ὑφειστήκεισαν ἡγεμόνες. Ἐπεί γε μὴν ἅπασιν ὁ Καντζιλέριος ἐστρατήγει, τὸ στράτευμα δὲ αὐτοῖς ἐς τὸ ἀκριβὲς ἐξώπλιστο πᾶν, ὅπως τε γαύρους ἐπιβεβηκὼς, καὶ δόρατα κραδαίνων μακρά. Ἐφ' οἷς ἔκπληξις τὸν Ῥωμαίων εἶχε στρατόν, καὶ θάμβος, εἰ πρὸς οὕτως εὔοπλον καὶ οὔ-

A cie, processit. Itaque facto impetu, Romani telis & tormentorum ictibus infestare obsessos: illi contra quam fortissime se ex propugnaculis tueri. Ibi tum miraculosum quid accidit. Duo armigeri Ducæ ubi jam fractis muris nihilo minus pertinacem arcem vident, altera manu clypeo operientes caput, altera faces tenentes, ad portas, ut incenderent, contendunt. sed flammam non concipiente ligno, B sine effectu redeunt, grandinis instar missa è manibus tela præter omnium opinionem evitanres. Romani igitur, postquam ad solis usque occasum pugnando nihil profecerant, in castra revertuntur. Hæc ubi ducibus Gulielmi comperta sunt, consilio advocato, an resistendum esset Romanis, deliberant. Omnium in id congruentibus sententiis, congregatis copiis velut ad castra Romana du- C cunt. simul id Romani cognovere, se quoque ad resistendum componunt. Novem duces Italis præerant. quibus postquam est propositus Cancellarius, omnis eorum exercitus quam diligentissime armabatur, equitesque generosis insignes equis, præter cetera arma, hastis etiam longis instruebantur. Inde pavor cum admiratione defigere Romanos, quemadmodum numerus tam exiguus

τως ἀνήρεθμεν ὀλίγῃ μαχουμένῃ στρατιᾷ. Ταξάμενοι δ' ὅμως ἵσταντο κατὰ λόχους καὶ αὐτοί, πολλὰ τοῦ στρατηγοῦ πρὸς εὐψυχίαν ὁρμῶντα σφίσιν ὑποτεινομένου. Μέχρι μὲν οὖν τινος οὐδέτεροι χειρῶν ἦρχον. Ἐπειδὴ δὲ αἵ τε σάλπιγγες ἑκατέρωθεν ἤχουν, καὶ τὸ σύνθημα ἐδίδοτο, ἐμάχοντο συμπεσόντες ἀπὸ χειρὸς ἕκαστος. Οὐκ ἂν εἶπες ἥλιον, οὐδ' αὖ ἡμέραν ὁρᾶν. ἀχλὺς γὰρ πάντας ἐπεῖχε, καὶ κόνις εἰς οὐρανὸν ἵστατο. πάταγός τε ἠχεῖτο, καὶ ἄγριος ἠγείρετο θροῦς. Μέχρι μὲν οὖν γε ἀμφὶ μέσην ἡμέραν ἰσοπαλὴς ἡ μάχη ἐγένετο. τὸ δ' ἐντεῦθεν τῷ πλήθει βιασάμενοι Ἰταλοὶ, τοὺς περὶ τὸν Δοῦκαν ἐπίεζον. Ὁ δὲ ταχὺ τὸ πρᾶγμα κατανοήσας, παρὰ μέσην εἰσελαύνει τῶν πολεμίων τὴν φάλαγγα. ἄλλους τε ἄλλοτε παίων ἀεὶ ἕπεσθαι αὐτῷ σὺν βοῇ παρώρμα τὸ Ῥωμαϊκόν. Αὖθις οὖν συνέπιπτον ἀλλήλοις τὰ στρατεύματα, καὶ ἡ μάχη ἐμαίνετο, ἕως τῇ σφετέρᾳ ἀρετῇ Ῥωμαῖοι τοὺς πολεμίους ἐτρέψαντο. καὶ αὐτῶν ἐν τῷ φεύγειν ἱππεῖς μὲν ἐς τριακοσίους ἔπεσον, πεζῶν δὲ, ἀμύθητόν τι πλῆθος· οἱ λοιποὶ δὲ ᾤχοντο φεύγοντες. Ταῦτα κατορθωκότες Ῥωμαῖοι, ἐπὶ τὸ φρούριον ἀνέστρεφον. ὅπερ εἰς μακρὰν τοίνυν ἐξελόντες αὐτὸ, τοῖς τε ἐπιτηδείοις ἀφθόνοις περιτετυχήκεσαν ἐν αὐτῷ, καὶ τῶν ἄλλων πλησθέντες ἀγαθῶν, ἐπὶ Βάριν ἦλθον. Μετ' οὐ πολὺ δὲ καὶ Μοντοπόλους πόλεως

A cum tanto & tam bene armato exercitu congressurus esset, reputantes. In aciem nihilominus per cohortes descenderunt, multa oratione ad animum eis occurrente duce. Manibus aliquamdiu ab utraque parte temperatum. Simulac vero tubæ cecinerunt & signum pugnæ datum est; contracto undique certamine in prælium quisque ruunt. Dixisses nec solem nec diem conspici, adeo omnia
B caligo obsepserat, & ad cœlum usque ascenderat pulvis, strepitusque undique & horribilis clamor exaudiebatur. Usque ad medium quidem diei æquo pugnatum Marte: tum vero se omnibus copiis inferentes Itali aciem Ducæ inclinarunt. Quod ubi is animadvertit, phalangem suam in medios admittit hostes; ac ceterum agmen alios super alios cædens, sequi ducem cum clamore nitebatur.
C Tum iterum concurrere exercitus magisque pugna incitari; donec virtute sua Romani hostem avertere. Ceciderunt equites fere trecenti, peditum autem innumera multitudo; alii fuga dilapsi sunt. His prospere gestis rebus, ad castellum Romani redeunt: & parvo post tempore potiti, commeatus frumentique largam copiam inveniunt, aliaque referti præda, Barin se recipiunt. Neque ita mul-

ὀνομαστῆς

ὀνομαστῆς γεγόνασιν ἐγκρατεῖς. Γραβί-
ναν τε εἷλον, ἧς Ἀλέξανδρος ἡγεμόνευε
πρότερον, ἄλλων τε πόλεων καὶ φυλακ-
τηρίων· πρὸς δὲ καὶ κωμοπόλεις ὑπὲρ
πεντήκοντα ἔσχον, καὶ ἐπὶ μέγα ἑκάστοτε
τὰ βασιλέως ἐφέρετο πράγματα. Ὑ-
πέρρει δὲ Γιλιέλμῳ τὰ τῆς δυνάμεως
ἀεὶ, καὶ εἰς στενὸν κομιδῆ ἐχώρει. Ἡ
φήμη τοίνυν εἰς πᾶσαν ἐκδραμοῦσα
τὴν Ἰταλίαν, τὸ Ῥωμαίων ἁπανταχῆ
διεκήρυττεν ἄμαχον. Καὶ εἶδον τότε
Ἰταλοὶ Ῥωμαίους, ὧν ἀπείρους ἤδη τοῦ
χρόνου πολεμούντων σφίσιν οὐκ ἐπει-
ράθησαν, πάντα καθάπαξ τὰ αὐτῶν
ἄγοντάς τε καὶ φέροντας. Μέχρι μὲν
οὖν καὶ ἐνταῦθα κατὰ νοῦν ἐφέρετο
Ῥωμαίοις τὰ πράγματα. Τὸ δ' ἐν-
τεῦθεν ὑποβασκαίνειν ἡ τύχη τοῖς
διακληρώμασιν ἤρξατο. Νόσος γὰρ τῷ
Παλαιολόγῳ ἐνσκήψασα λαύροις τὸν
ἄνθρωπον πυρετοῖς ἐκαμίνευεν. οὐ
πρότερόν τε ἔληξεν ἰκμάδα ἐπινεμο-
μένη τούτῳ τὴν φυσικὴν, πρὶν ἂν τὸ
μὲν πρῶτον ἀποθρίξασθαι ἠνάγκα-
σεν. ὀλίγῳ δὲ ὕστερον καὶ ἐξ ἀνθρώ-
πων αὐτὸν ἐποιήσατο. Ἄρτι μὲν γὰρ
τὰ τρίχινα ἠμφίεστο, καὶ ῥᾴων εἶναι
δόξας, τὸν Δύκαν ἐπὶ τὰς ἄλλας ἰέ-
ναι προὐτρέπετο πόλεις, ἃς δὴ ἀχει-
ρώτους ἔτι Ῥωμαίοις συνέβαινεν εἶναι.
καὶ τρίτῃ μετ' ἐκείνην ἡμέρᾳ αὖθις
ἐν κακοῖς ἦν. Ὁ πυθόμενος ὁ Δύ-
κας ἐπὶ τὴν Βάριν ἀνεχώρει. Τεθνη-
κότι δὲ ἤδη τούτῳ περιτετυχηκὼς, τὸ
μὲν σῶμα σορῷ παραδέδωκε, πάντα
τελέσας ὅσα νόμοις Χριστιανοῖς ἐστὶ

A to post in deditionem accepere &
Montopolin, celebrem urbem, &
& Gabrinam, cui primum Ale-
xander præfuerat, & civitates in-
super alias arcesque; vicos majores
habuerunt ultra quinquaginta;
resque imperatoris aliis atque a-
liis in dies victoriis augebantur.
Gulielmi semper imminui pote-
stas, adeoque in arctum redigi.
Didita igitur per totam Italiam
fama invictam passim virtutem
B Romanam prædicabat. & vide-
runt tum Itali Romanos, quorum
longo tempore contra se militiam
experti non fuerant, omnia sua a-
gentes ferentes. Huc usque qui-
dem cuncta ex voto Romanis ces-
serunt. Non diutius inde indulsit
fortuna, sed inclinare cœpit. Mor-
bus namque Palæologum corri-
piens vehementibus eum febribus
decoxit: nec prius abstitit humo-
res naturales consumere, quam to-
C tam depilaverat, ac paullo post re-
bus illum mortalibus exemit. Et
jam confecta ex pilis veste indu-
tus, convalescere se putabat; &
Ducam hortabatur, ad alias iret
civitates, adhuc intactas Romanis.
sed enim tertio die iterum in mor-
bum recidit. Id ubi accepit Du-
cas, Barin redit: atque illo jam de-
functo, corpus sepulchro mandat,
aliaque omnia procurat, quæ se-
cundum leges Christianas justis

τῇ ὁσίᾳ ποιεῖν δίδωσι. Τὰ δὲ ἐπὶ Βάρεως A εὖ διαθέμενος, μόνος τὸ λοιπὸν τὸ τῶν πραγμάτων ἀναδέχεται κράτος. Ὁ μὲν δὴ Παλαιολόγος οὕτω δὴ τὸν βίον μετήλλαξεν. ἀνὴρ ἀγχίνους τε καὶ ἄλλως ὤν, καὶ πολεμίοις ὁμιλῆσαι πράγμασι δεινότατος ὢν μάλιστα. Ὁ δὲ Δούκας τὸ στράτευμα ἀναλαβὼν εὐθὺ Βρεντησίου ἐχώρει. ὅτε δὴ καὶ Βασαβοῦλαν ἑαυτῷ συστήσασθαι διὰ σπουδῆς ἔθετο, ἀπαλλαξάμενον ἤδη ἀπ' αἰτίας τοιᾶσδε. οὗτος εἴτε κέρδους οἶμαι προφάσεις ἑαυτῷ ποριζόμενος, εἴτε καὶ σπάνει χρημάτων B ἀληθῶς ἐχόμενος, χρυσίου χιλιάδας δέκα τὸν Παλαιολόγον ἔτι περιόντα δεδανεικέναι οἱ ἠξίου. ὁ δὲ τέτταρας μὲν αὐτίκα παρέξειν αὐτῷ κατετίθετο, δωρεὰν ἐκ βασιλέως, ἀλλ' οὐ δάνειον. πρὸς δὲ τὰς λοιπὰς ἰσχυρῶς ἀπέλεγεν. Οἷς ὁ Βασαβοῦλας δυσαρεστῶν, τοῦ Ῥωμαϊκοῦ ἀπεσυλῶντο στρατοπέδου. Ὡς δ' ἀπεβίω μὲν ὁ Παλαιολόγος, κατέστη δὲ ἐπὶ τῶν πραγμάτων ὁ Δούκας, ἧκε παρ' αὐτὸν, καὶ τῶν χρημάτων ὥσπερ ᾐτεῖτο τετυχηκὼς, πολεμίων αὖθις Ῥωμαίοις C ἐκοινώνει πραγμάτων. Καὶ δὴ καὶ αὐτὸν ἐπαγόμενος ὁ Δούκας, ἐπὶ Μασαύραν παντὶ τῷ στρατῷ ἦλθεν. Ἦν δέ τις ἐνταῦθα πόλις Πολυμίλιον κεκλημένη, ἔνθα τῶν περὶ τὸν Γιλίελμον συνέβαινεν εἶναι τὸν Φλαμίγγον ὄνομα. Ἀλλ' ὁ μὲν προσιέναι τὸν Ῥωμαίων ἀκούσας στρατὸν, ἐκεῖθεν ἄρας ἐπὶ Τάραντα ἦλθε. Ῥωμαῖοι δὲ Πολυμίλιον ἑλόντες, τὰ περίξ τε σκυλαγωγήσαντες, ὠφελειῶν ἐνεπλήσαντο τὸ στρατόπεδον. Ἐκεῖθεν

debentur. His rebus Bari peractis, totam imperii molem in se unum recipit Ducas. Hunc exitum Palæologus habuit, acri vir ingenio, & militari peritia exercitissimus. Ducas vero accepto exercitu statim Brentesium proficiscitur; & reconciliare sibi Basabulam intendit, hujusmodi de caussa à partibus Romanorum digressum. Hic sive lucri occasionem, ut opinor, quærens, sive inopia re ipsa pressus, decem auri millia fœnori sibi dari à Palęologo adhuc superstite rogabat. sed ille quatuor se daturum respondit, donum principis, non fœnus; de reliquis quicquam se præstare posse negabat. Ægre ea accipiens Basabulas, castris continuo Romanis excessit. Defuncto autem Palæologo & translata ad Ducam imperii summa, venit ad eum, acceptisque quas petiverat pecuniis, arma iterum cum Romanis conjunxit. Tum una illum adducens Ducas omnibus copiis in Masauram pergit. Civitas ibi Polymilium dictum, in qua unus è ducibus erat Gulielmi, nomine Flamingus. sed is postquam audivit adventare exercitum Romanum, movit inde & Tarentum concessit. Romani Polymilio capto & circumjacenti plaga depopulata, exercitum prædæ replent. Inde ad Molissam du-

te

τι ἐπὶ Μόλισσαν μετέβησαν πόλιν, ἣ κάθηται μὲν ἀναστάτῳ ἐπ' ἀγχωμάλου, ἰσχυρὰ καὶ εὔπυργος· ἐκ δὲ μερῶν ἀμφοτέρων, θατέρου μὲν φάραγγες τινὲς τραχεῖαι καὶ δεινῶς ἄβατοι κατατείνουσι. θατέρου δὲ ποταμοῖς ζώννυται ναυσιπόροις. Ἀλλ' ἔοικε τοῖς ἐξ οὐρίας πλέουσιν ἀντιπράττειν οὐδέν. Μόλισσα γὰρ καίτοι ἀσφαλείας οὕτω πανταχόθεν ἔχουσα, ὅμως Ῥωμαίοις, οὐδὲ μακρὰ καμοῦσιν, ἁλώσιμος τρόπῳ τῷ ῥηθησομένῳ ἐγένετο. ἅτε γὰρ εὐτυχήμασιν ἐπαρθέντες τοῖς προλαβοῦσιν, ἐπειδὴ τοὺς ἐκ τῆς πόλεως, τῇ τοῦ χώρου φύσει τεθαρρηκότας, ἔξω πυλῶν ἑστῶτας εἶδον, ἔνθα ἐπιμαχώτερον εἶναι συνέβαινε ταύτην, δρομαῖοι διὰ τοῦ ἀνάντους ἐχώρουν. ὧν τῇ τόλμῃ καταπλαγέντες ἐκεῖνοι, ἐπὶ τὰς πύλας εἰσέπιπτον φεύγοντες. Οὕτω δὲ ἐπιζυγωθεισῶν, καὶ ὁ Ῥωμαίων συνέπιπτε στρατὸς, καὶ λοιπὸν κατάκρατος ἡ πόλις ἡλίσκετο. Ταῦτα Ῥωμαῖοι καταπραξάμενοι ἐκεῖθεν ἀπεχώρουν. Ἐπ' ὀλίγον δὲ προελθοῦσι σὺν στρατεύματι μεγάλῳ ὁ Φλαμίγγος ἀπήντα. Ῥωμαίων οὖν τινες τῶν ταγμάτων προπηδήσαντες, ὁμόσε τοῖς πολεμίοις ἐχώρουν. ἔργα θαυμαστὰ ἐς αὐτοὺς ἐνδεικνύμενοι. Πλήθει ὅμως τῶν ἐναντίων παρὰ πολὺ ἐλασσούμενοι ἀνεχώρουν ὀπίσω. Ἐν τούτῳ δὲ καὶ ὁ Δούκας πανστρατιᾷ τῷ Φλαμίγγῳ ἐπιτίθεται, τρεψάμενός τε αὐτὸν, Μασαύρᾳ προσέβαλεν. Ἐξ ἐφόδου δὲ καὶ ταύτης περιγεγονὼς, ἀμύθητόν τι χρῆμα ἐπιτηδείων ἐπ' ἀκροπό-

A cunt, editiore atque inæquali situm loco, validam urbem & turribus frequentem; cujus alterum latus valles confragosæ & profundæ admodum circumcingunt, alterum fluvii ambiunt navigabiles: sed nihil obstare solet vento secundo vehentibus. Molissa enim, quamquam sic undique munita, à Romanis tamen, nec multum laborantibus, quo exponam modo capitur. Nimirum illi, prosperis B fortunæ successibus elati, postquam oppidanos, ingenio loci confisos, stare extra portas viderunt, qua parte erat imbecillior civitas; cursu per edita feruntur, tantaque eorum audacia proculsi hostes, fuga se intra mœnia recipiunt. quibus nondum occlusis incidit una Romanus miles, & urbe per vim potitur. His rebus confectis, moverunt se inde Romani: & nec magnum iter emensis C ingenti cum agmine Flamingus occurrit. Tum vero aliquot Romanorum ex ordinibus prosilientes in hostem faciunt impetum & opera ibi miranda edunt: sed numero maxime eorum adgravati retro se ad suos recipiunt. Inter hæc toto instans exercitu Ducas se Flamingo committit; eoque in fugam compulso, Masauram agmen convertit. Primo autem aditu capta civitate, incredibilem

 λεως

λεως ἀπόθετον εὗρεν, ὅπλα τε πολλά, καὶ ἵππους τῶν διακοσίων οὐκ ἀποδέοντας ἔσχεν. Ἀ Ταραντῖνοι βλέποντες, ἀναφανδὸν τὸν Φλαμίγγον ἐκακηγόρουν, ἔγκλημα αὐτῷ ἐπιφέροντες, ὅτι δὴ δειλίαν τὴν αὐτοῦ Ῥωμαίοις παρρησίας πεποίηται ὕλην. Ἀ μηκέτι φέρειν δεδυνημένος ἐκεῖνος, τὸ στράτευμα αὖθις ἀναλαβὼν τὴν Ῥωμαίων ἐξεδέχετο στρατιάν. Ἀλλ' ἄρτι τε εἰς ὄψιν ἦλθεν αὐτῷ, καὶ αὐτίκα δειλίας βληθεὶς, οὐκέτι ἀλκῆς ἐμέμνητο. Φεύγουσι τοίνυν αὐτοῖς Ῥωμαίων ὀλίγοι ἐπιθέμενοι, τινὰς ἔκτειναν. Ἐπεὶ δὲ ἐγγὺς Τάραντος ἤδη ἐγένοντο, ἀνάλωτον εἶναι πόλιν καταγνόντες, αὐτῆς μὲν ἀπῆραν, Μονοπόλει δὲ πελάσαι διανοηθέντες, ἐπειδὴ ἀπορεῖν αὐτοῖς συνέβαινε τειχομαχικῶν, γράμμασι τὸν ἐν Βάρει μετεπέμποντο στόλον, ἐφ' ᾧ τοιούτων ἐκεῖθεν εὐπορήσειν, ἥκειν ὅτι τάχιστα. Ἐν δὲ τούτῳ τετύχηκε Ῥωμαίοις διὰ χώρας πορευομένοις εὐδαίμονος, καὶ ἀφθόνοις περιβριθούσης ἀγαθοῖς, μυρίων ὅσων πεπλῆσθαι καλῶν. Λέγεται γὰρ δέκα μὲν τὸ τηνικάδε βοῦς ἀγελαίας χρυσοῦ τὸν στρατιώτην ἀποδόσθαι στατῆρος, πρόβατα δὲ τριάκοντα καὶ ἑκατόν. Ὅτε δὲ καὶ Ῥωμαίων τινὰς εἱρκταῖς ἐκ πολλοῦ προσεστηκότας εὑρόντες, τῶν κλοιῶν τοὺς ἀθλίους ἀνῆκαν. Ἐπεὶ δὲ πεμπταῖοι εἰς Μονόπολιν ἀ-

A commeatus & necessariorum reconditam in arce copiam invenit, & arma insuper multa & equos non minus ducentos. Id ubi viderunt Tarentini, maledictis propalam insectari Flamingum, illum increpare, quod metu & ignavia sua Romanis quidlibet libere agendi daret occasionem. Quam ille contumeliam non ferens, collectis iterum copiis, obviam ire exercitui Romano constituit. Sed vix e-
B jus in conspectum venerat, quin extemplo pavore correptus, haudquaquam de certamine cogitavit. itaque fugientes illos pauci Romanorum insecuti, nonnullos trucidarunt. Ad Tarentum vero ubi pervenissent, civitate inexpugnabili visa, ab illa quidem digrediuntur: sed Monopoli admovere exercitum cogitantes, cum se machinis ceteroque apparatu destitutos vident; classem, quæ Bari
C stabat, omnia ista celerrime adportaturam literis arcessunt. Inter quæ dum iter Romani faciunt per regionem opulentam admodum & immensa frugum copia abundantem; multiplicibus se bonis implerunt. Ajunt enim militem tum temporis uno auri statere boves decem armentales vendidisse, alia autem pecora centum & triginta. Multos adhæc Romanos carceribus à longo tempore

φίκοντο, ἐπεξῄει μὲν αὐτοῖς οὐδὲ εἷς. A Ἔφθη γὰρ ἡ φήμη προκαταπλήξασα, τούτους ἔνδον ἐλάσαι τειχῶν. Ὑπὲρ δὲ τῶν πύργων πάνοπλοι ἑστήκεσαν, εἴ τις ἐπιβολὴ τῷ περιβόλῳ ἐπέλθοι ἀμυνόμενοι. Τότε μὲν οὖν αὐτοῦ που ἐν ἐπικαίρῳ, τῆς πόλεως οὐ πολλῷ ἄποθεν, τὸν χάρακα πηξάμενοι ἔμενον. Ἐπεὶ δὲ καὶ ὃν ἐκ Βάρεως μετεπέμψαντο ἤδη στόλον, Μονοπόλει προσχὼν τὰ ἐς πολιορκίαν αὐτάρκη ἐκόμισε, τότε δὴ πανστρατιᾷ τῷ περιβόλῳ ἐπέθεντο. Ἀλλὰ Μονοπολῖται, ἅτε ἀφ' B ὑψηλοῦ ἐς τοὺς πολεμίους βάλλοντες, ἀπεκρούοντό τε τοὺς προσιόντας Ῥωμαίων, καὶ τινὰς ἔκτεινον. ἥτε μάχη πρωῒ ἀρξαμένη, ἐς νύκτα ἐτελεύτα. Ῥωμαῖοι μὲν οὖν ἐπειδὴ συνεσκόταζεν ἤδη, ἐπὶ τὸ στρατόπεδον ἀνεχώρησαν. Μονοπολῖται δὲ φυλακὰς ἐπὶ τῶν πύργων εἶχον, ἐκ περιτροπῆς καθιστάντες ἀεί, ὡς μὴ λάθοιεν κακουργήσαντές τι νύκτωρ ἐπὶ τὴν πόλιν Ῥωμαῖοι. πυρά τε ἑκατέρωθεν ἐκαίοντο πολλὰ καὶ αὐλοὶ καὶ C σύριγγες ἤχουν. Ἄρτι δὲ τὸν ἑῷον ὁρίσοντα παραμείψας ἥλιος, ἐς τὸ τῆς γῆς παρέκυψε πρόσωπον, καὶ Ῥωμαῖοι μὲν τῶν χαρακωμάτων ἐπὶ τῶν ἔργων καὶ πάλιν ἐγίνοντο. Μονοπολῖται δὲ δρόμῳ καὶ αὐτοὶ εἰς τὰς ἐπάλξεις ἐχώρουν, καὶ πρὸς τοῖς ὅπλοις ἦσαν. Καὶ ἀγὼν αὖθις, κρότος τ' ἐξαίσιος οἷος, Ῥωμαίοις μὲν τὴν ἐς τὸ τεῖχος βιαζομένοις ἄνοδον, Μονοπολίταις δὲ προσιόντας ἀπωθεῖ-

conditos invenientes, compedibus miseros exuerunt. Posteaquam quinto inde die ad Monopolin venerunt, nemo iis occurrit hostium: jam ante enim fama consternati, intra mœnia se continebant. In turribus autem constiterunt armati, ut si quis in vallum impetus fieret, obniterentur. Itaque Romani positis idoneo loco haut procul urde castris considere. sed ubi quam acciverunt Bari classem appulsa machinas advexisset; tum vero omnibus copiis mœnia adoriri. At Monopolitæ conjectis ex alto in Romanos telis avertebant succedentes & nonnullos occidebant: ac mano inceptum pugnam nox diremit. Igitur obscura jam luce in castra redeunt. Monopolitæ in turribus custodias ponunt, in orbem suam cujusque virem excubantes, ne Romani nocte civitatem aggressi fallerent. utrinque multi accensi ignes lucebant, tabę utrimque tibięque canebant. Iamque auroram prætervectus sol detectam terræ faciem aspiciebat, cum egressi è castris Romani oppugnationem denuo capesserent; ac Monopolitæ cursu se in propugnacula proripientes, & ipsi caperent arma. Inde ergò certamen & ingens clamor; Romanis nimirum vi escendere muros nitentibus, Monopolitis vero dimo-

ἀπωθεῖ-

ἀπωθεῖσθαι. Μέχρι μὲν οὖν τινος ἐπὶ τοιούτοις ἐπονοῦντο. Τὸ δ' ἐντεῦθεν πῦρ, ἔνθα τὰ σκάφη Μονοπολίταις ὑφώρμει, τὸ Ῥωμαίων ἐμβαλὸν στράτευμα, φλόγα μεγίστην ἀρθῆναι ἐποίησεν. ὅτε καὶ τῶν τις Ῥωμαίων στρατιωτῶν Ἱκανάτος ἐπίκλησιν, λόγου καὶ ἀκοῆς εἴργαστο ἄξια. Μονόπολιν γὰρ διπλᾶ μὲν ζώννυσι τείχη. ἀλλὰ τὸ μὲν ἔνδον ἐπὶ πλεῖστόν τε ἐπαίρεται, καὶ πολεμίου δορὸς λόγον οὐδένα τὸ παράπαν πεποίηται. Τὸ δ' ἄλλο ἐς τριτημόριον μάλιστα τοῦ προτέρου (B) αἰρόμενον, τὰς κρηπῖδας αὐτοῦ περιθέει. Ἐς τοῦτο δὲ τὸ περίτειχος, δύο τινὲς Μονοπολιτῶν ἀναβάντες, αὐτοί τε ἐς τοὺς πολεμίους ἔβαλλον, καὶ τοὺς ἄλλους πρὸς τοῦτο παρώρμων. Ὅπερ ἰδὼν ὁ Ἱκανάτος, σὺν τῷ δόρατι ἐπελάσας θατέρου τῶν εἰρημένων κατασχεῖ. ὁ δὲ ὕπτιος παραυτὰ ἐξεκυλίσθη. Βοή τε πρὸς τοῦ Ῥωμαίων ἠγέρθη στρατοῦ, καὶ κρότος ἐξαίσιός τε, καὶ ἀκοῆς κρείσσων ἐγένετο. Πρὸς ὃ καταπλαγέντες οἱ ἐπὶ τῶν πύργων, (C) νομίσαντές τε ἤδη τὴν πόλιν ἁλῶναι, τοὺς πύργους λιπόντες ἀνὰ μέσην τὴν πόλιν ἐχώρουν. Καὶ εἰ μὴ ταχὺ τὸ πρᾶγμα αἰσθόμενοι ἐπὶ τῶν ἐπάλξεων αὖθις ἀνέβησαν, ἥλω ἂν αὐτίκα Ῥωμαίοις ἡ πόλις. Ἐν τούτοις μὲν ἡ δευτέρα κατὰ Μονοπόλεως ἔληξε προσβολή. Μονοπολῖται δὲ ὡς ἔγνωσαν ἐν στενῷ περιειλημμένοι, γράμματα ἐπὶ Φλαμίγγον πέμψαντες, ἥκειν αὐτὸν τὴν ταχίστην ἠξίουν. Ὁ δὲ ἐπήγγελε

A ventibus aſcendentes. Sic quidem aliquamdiu laboratum eſt. Deinceps exercitus Romanus igni injecto ubi navigia ſua ſubduxerant Monopolitæ, ingentem flammam excitarunt: aliuſque quidam miles, nomine Hicanatus, rem dictu audituque dignam geſſit. Monopolin ſcilicet duplex circumcingit murus; ſed interios altius eductus hoſtili haſta longe ſuperior; alter autem tertia minor parte, fundamento eſt interiori. In hoc intermurale poſtquam deſcenderant duo ex Monopolitanis, & ipſi tela in hoſtem jacere, & aliis ut ſequerentur exemplum incitamento eſſe. Quod ubi vidit Hicanatus eo quoque evaſit & in alterum eorum dirihens haſtam, reſupinum fundit. hinc clamor ingens tollitur ab exercitu Romano, tantusque plauſus, ut dignoſci certo non poſſet. Unde conterriti qui in turribus ſtabant oppidani, captam jam eſſe urbem rati; relictis mœnibus in mediam civitatem confugiunt; & ni continuo, re cognita, in propugnanda ſe recepiſſent, actum ilico de civitate fuiſſet. Sic tum alter in Monopolin deſiit impetus. Oppidani vero ubi res ſuas in arcto conſtitutas vident; literas ad Flamingum mittunt, rogantes. ut quantum maturari poſſet auxilio veniret. Ille brevi ſe adfuturum

μὲν

te, duplicari sibi stipendium petentes, ubi non obtinuerant, discessere. Hæc ut Gulielmo fuere comperta, accepto exercitu iter ad Romanos accelerat. Illis vero consultantibus, quemadmodum bellum id ordinari oporteret; quidam Barin redeundum censuerunt, & muniendam vallo urbem; aliis non placuit hoc consilium, metum fore manifestum dicentibus, si, omissis quæ in manibus erant, retro cederent. Quibus ita videbatur, tempus interea nequicquam teri impatientes, iterum aggrediuntur mœnia, magnamque eorum partem machinis subruunt. Nec sic tamen depellere barbaros valuere. Primum siquidem viribus confisi, obviam egredi; irruentibus deinde Romanis, intra mœnia se recipere: ac ni fortuna interveniens prohibuisset, per vim utique Brentesium cepisset Romanus. jam enim superaverant vallum atque è turribus cum hoste pugnabant, cum magna pars earum, crebris oppugnationib' quassata, in terram decidit multosque nostrorum secum traxit: ita sine effectu recessum est. Siculi autem, nusquam apparente Gulielmo, iniere consilium arcis per conditiones Romanis dedendæ. sed enim fortuna, velut certum quoddam temporis spacium secuturam se

λαμένη χρόνον, εἶτα ἐκμετρηθη- A θέντος αἰσθομένη, ἀπὸ μέσης αὐτοὺς τῆς πόλεως λιποῦσα ᾤχετο. ἐν ᾧ γὰρ ταῦτα Σικελοὶ διενοοῦντο, ἠγγέλλει αὐτοῖς, ἐγγὺς ἤδη Γιλίελμον στρατῷ μεγάλῳ ἐπιέναι. Ὅπερ ἐκεῖνοι ἀκούσαντες, ἀπέσχοντο μὲν τῶν βεβουλευμένων. Ἐπὶ δὲ τὰ τείχη ἀναβάντες, ἐκροτάλιζον θαμά, καὶ ὥσπερ Ῥωμαίους ἐξελάσαντες ἤδη, ἡμέραν ἦγον ἑόρτιον. Ταῦτα μὲν δὴ τῇδε ἐπεπράσσετο. Γιλίελμος δὲ ἄρας ἐκ Μυσίας παντὶ B τῷ στρατῷ ὡς ἐπὶ Βρεντέσιον ἐπορεύετο. Ὅ τε στόλος αὐτῷ ἐπὶ τῇ ἀντιπέραθεν τῷ Βρεντεσίῳ νησίδος, ὀλίγων ἀπὸ σταδίων ὁρμισάμενος ἵστατο. Κατὰ ταυτὸν γὰρ ἀμφοτέρωθεν Ῥωμαίοις τὴν προσβολὴν ποιεῖσθαι διενοεῖτο. Ἀλλὰ Ῥωμαίους τὸ μὲν αὐτίκα διαναυμαχῆσαι, πρὶν ἢ καὶ Γιλίελμον αὐτοῖς ἐπιστῆναι, δυσβουλία τις, καὶ τὸ χρῆναι οἴεσθαι κακῶς αὐτοὺς πεπονθέναι, παρείλετο. Πρὸς δὲ ἀμφοτέρους τὴν μάχην διενεγκόντες τὰ βασιλέ- C ως διέφθειρον πράγματα. στρατὸν γὰρ ἤδη ἐκ Βυζαντίου καραδοκοῦντες ἥκειν, ἐς τὴν ἐκείνου τάχα παρουσίαν τὴν προσβολὴν ἀπετίθεντο. Ὡς δὲ ἤδη ἐγγὺς εἶναι ἠγγέλλετο Γιλίελμος, τότε δὴ τὴν ἀμφοτέρων ἄκοντες ἀνεδέχοντο μάχην. Ἄνδρε τοίνυν δύο δοκίμω τὰ εἰς τὰς μάχας ἐπιλεξάμενοι, Ἰωαννάκιόν τε τινα Κριτόπλην, καὶ Παράμην, Πέρσην γένος, ἅμα Ἴβηρσι καὶ Μασσαγέ-

Romanos pacta esset, jamque id circumactum sensisset, illis in medio civitatis relictis abscedit. Dum enim hæc Siculi deliberant, nunciatur illis, Gulielmum magno cum exercitu prope esse; quod ubi audivissent, consilium id intermisere. Itaque in muros prodeuntes, frequentes plaudebant, & quasi depulsis jam inde Romanis, festum agebant diem. Hæc tum ibi gerebantur. Movens vero ex Mysia Gulielmus toto cum exercitu Brentesium contendit: & classis illius adversæ Brentesio parvæ insulæ, paucis interjectis stadiis, appellitur. Hoc enim modo ab utraque Romanos parte adoriri cogitabat. Sed illos, quo minus extemplo navale prælium committerent, prius quam & Gulielmus insisteret, stultum consilium, ac si mala pati eos necesse esset, trásversos egit: utrinque enim certamine sustinendo, res imperatoris perdiderunt. Novum scilicet Byzantio exercitum exspectátes, donec & is præsens esset, id quod brevi futurú credebant, pugnam extrahunt. sed ubi appropinquare Gulielmum nunciatum est, tum vero ineundum utrinque prælium suscipiunt inviti. Duos ergo spectatæ in bello virtutis viros deligentes, Joannacium quendam Critoplem, & Paramen Persam genus, cum I-

ταις,

τυς, ἐφ' ᾧ ἀκροβολίσασθαι ἔπεμψαν. Οἱ καὶ ἐπειδὴ τάχιστα τοῖς πολεμίοις συνέμιξαν, περὶ πέντε τε καὶ τεσσαράκοντα σταδίων τὴν χάρακα πηξαμένοις, ἐν τῇ ἐγγύθεν ἀπειρίᾳ κατὰ νώτου αὐτοῖς ἐπιθέμενοι, πλείστους τῶν ἐπὶ τῆς οὐραγίας ἔκτειναν, καὶ ἵππους τῶν σκευοφόρων συχνοὺς ἤλασαν, σημεῖόν τε σφᾶς ἀφελόμενοι ἐπὶ Βρεντέσιον ἦλθον. Ἀλλὰ Σικελοὶ τούτου μὲν ἧττον ἐφρόντισαν. ἅτε γὰρ ἐν πλήθει μεγάλῳ αἴσθησις οὐδεμία τούτοις ἐγένετο. Ὀλίγῳ δὲ Ῥωμαίων ἀποστρατοπεδευμένοι, ὅσοι ἀμφοτέροις τοὺς χορταγωγοὺς ἐπιμίγνυσθαι, τὸν πόλεμον διέγραφον. Ἤδη δὲ καὶ τὸ ναυτικὸν ὀλίγον λοιπὸν τοῦ λιμένος ἀποσαλεῦον ἵστατο τούτοις. Καὶ Σικελοὶ μὲν ἐν τούτοις ἦσαν. Ῥωμαῖοι δὲ καὶ πρότερον μὲν πολλῷ τῷ διαλλάσσοντι, τοῦ τῶν πολεμίων ἠλαττοῦντο στρατοῦ, τότε δὲ ἔτι μᾶλλον ὑπερρέει τὰ τῆς δυνάμεως αὐτοῖς. Ἄλλοι τε γὰρ ὡς πλεῖστοι συμμάχων ἀπετάξαντο τούτοις, καὶ δὴ καὶ μοῖρά τις Κελτῶν οὐκ ἀγεννὴς μισθοῦ Ῥωμαίοις δουλεύουσα, Γιλιέλμῳ λαθραιότατα προσεχώρησε. Ταῦτα ὁ Γιλιέλμος ὁρῶν, δεῖν ἔγνω τῇ τοῦ καιροῦ προαρπάζειν ὀξύτητι, μήποτε τοῦ χρόνου διαγινομένου, ἢ Ῥομπέρτον αὐτοῖς ἐπιβοηθῆσαι γένοιτο, (ἠγγέλετο γὰρ ἤδη δυνάμεις ἀθροίσας ἐπανιέναι) ἢ γοῦν στρατιὰ ἄλλη ἠπειρῶτις, ἢ ναυτικὴ, ἐκ βασιλέως ἀφίκοιτο περὶ αὐτούς. Καὶ δὴ ἐκτάξας τὸ στράτευμα κατὰ φάλαγγας ἐχώρει. Ῥω-

A beris & Massagetis ad prætentandam pugnam misere. Illi atque se immiscuerant hostibus, utpote ad quintum & quadragesimum castra stadium habentibus, cum brevis ad suos reditus esset, terga eorum invadunt, multos de extremo agmine cædunt, impedimentorum plurimos equos capiunt, & erepto ad hæc militari signo, redeunt Brentesium. Verum à siculis ea clades in levi habita: nam in tanta
B multitudine ne sensus quidem ejus percipiebatur. Simul jam propius contulissent castra, ut etiam pabulatores utriusque partis miscerentur, belli inter se munera ordinant, & jam classe eorum haud procul à portu in ancoris stante. Hic status rerum apud Siculos erat. Romanis autem, & ante militum numero longe inferioribus hostili exercitu, tum vero maxime vires defluxerunt. Nam & aliorum sociorum
C quamplures ab illis digressi sunt, & Celtarum non ignobilis pars, mercenaria Romanis, Gulielmo se occultissime tradidere. Ea ubi is vidit, utendum sibi occasione temporis putavit, ne præterlapsa illa aut Rompertus, quem contracto agmine adventare rumor erat, auxilia ferret iis, aut terrestres maritimæve aliæ copiæ ab imperatore missæ subvenirent. Itaque instructa per phalanges acie proce-

μαῖοι δὲ Ῥομπέρτου εἴτε ἑκόντος, εἴτε τύχῃ τινὶ ὑστεροῦντος, ἐτάττοντο καὶ αὐτοί. κἀκ τῶν ἐνόντων κοσμηθέντες ἀντιμέτωποι ἵσταντο. ὅτε δὴ καὶ θάμβος ἦν ὁρᾶν Ῥωμαίων εὐπερίγραπτόν τινα ἰσχὺν ὅλαις δυνάμεσι μαχουμένην Σικελικαῖς. Μέχρι μὲν οὖν τινος οὐδέτεροι χειρῶν ἦρχον. Μετὰ δὲ ταῦτα, τῶν μισθοφορούντων τις ἱππέων τῆς Ῥωμαίων φάλαγγος προπηδήσας ἐν μεταιχμίῳ ἔστη, τὸν βουλόμενον μονομαχεῖν προσκαλούμενος. Τούτῳ τε τῷ τρόπῳ συμπεσόντες, ἀλλήλοις ἐμάχοντο. Καὶ ἡ μάχη ἕωθεν ἀρξαμένη, μέχρι μὲν οὖν πολλοῦ ἀγχώμαλος ἦν, Ῥωμαίων εὐψυχότατα διαγωνιζομένων. Ἔπειτα Σικελοὶ τῷ πλήθει βιαζόμενοι, ἐτρέψαντο τούτους. Φευγόντων οὖν καὶ πολλοὶ ἔπεσον, καὶ ζωγρείᾳ ἡρέθησαν. Οἱ δ' ἄλλοι σὺν ὠθισμῷ πολλῷ καὶ βίᾳ εἰς τὴν πόλιν εἰσέπιπτον, ἐν οἷς καὶ Ἀλέξιος ὁ στρατηγὸς ἦν. Ὁ Δούκας δὲ τειχέων ἔξω λειφθεὶς οὐ πρότερον ἀνῆκε παίων καὶ παιόμενος, πρὶν ὑπὸ τῶν πολεμίων κυκλωθεὶς, αἰχμάλωτος μετὰ πλείστους ὅσους ἐγεγόνει ἀγῶνας. Σικελοὶ δὲ, ἐπειδὴ τοῦτον εἷλον, καὶ τοὺς ἐπὶ τῆς πόλεως λοιπὸν ἀμογητὶ, ὡς ἐν πανάγρῳ συγκλείσαντες εἶχον. Ἐς τοῦτο δὴ τέλους τοῦ Κομνηνοῦ καὶ τοῦ Δούκα ἡ ἀβουλία τὸ πρὶν περιήνεγκε κλέος. Οὕτως οἱ νῦν ἄνθρωποι, οἱ μὲν παντάπασι στρατηγικῶν ἄμοιροι διαπλέοντες, τὰ πράγματα σφάλλουσιν. οἱ δὲ τοῦτο μὲν τυχὸν ἰσα-

A dere; Romani, tergiversante vel sponte vel forte quadam Romperto, & ipsi descendere in aciem, ac quanta poterant cura ordinati, adversa fronte consistere. Horror erat videre, exiguam vim Romanam cum universis Siculorum copiis depugnaturam. Utraque acies aliquamdiu quieta stetit. dein mercenarius quidam è phalange Romana eques procursans in mediũ, evocat ad singulare certamẽ hosti-
B um qui vellet. Eo modo congressi, prælium contrahunt: ac mane incepta pugna diu neutro inclinata tenuit, decernentibus animosissime Romanis. Postea Siculi multitudine sua instantes urgentesque, omnes avertunt in fugam. Effusorum multi ceciderunt, multi vivi capti sunt: alii magno certamine atque impetu in urbem confugere, cumque his dux ipse Alexius. Ducas vero extra mœnia reli-
C ctus, non prius abstitit inferre & recipere plagas, quam cinctus ab hostibus post longam & pertinacem pugnam captus est. Postquam illum cepere Siculi, alios, qui in urbe erant, sine labore velut reti conclusos habuerunt. Eum in finem Comneni & Ducæ primam gloriam transtulit imprudentia. Ita qui nunc vivunt homines, alii, qui procul à militaribus muneribus ætatem transigunt, fallunt

τι στρα-

ὅτι στρατηγικῆς μέρος τῷ πλείονι διαμαρτάνουσι. Τέχνη γάρ τις ἐστὶ καὶ ἡ στρατηγία. καὶ χρὴ τὸν ταύτην μετιόντα πολυειδῆ τινα καὶ ποικίλον εἶναι, καὶ περὶ ἕκαστον ἐπικαιρότατα τῶν ταύτης μεταχειρίζεσθαι εἰδῶν. Φεύγειν τε γάρ ἐστιν ὅτι χρὴ μηδὲν αἰσχυνόμενον, εἰ τοῦτο διδοίη καιρὸς, καὶ αὖ ἀνυποστάτως διώκειν, πρὸς τὴν χρείαν ἑκάτερον· ἔνθα τε ἐπινοίᾳ μᾶλλον ἢ χειρὶ κατορθοῦν φαίνοιτο, παραιτεῖσθαι τὸ τοῖς ὅλοις διακινδυνεύειν. Πολλῶν γὰρ ὄντων καὶ διαφερόντων πραγμάτων, εἰς ἓν τέλος τὴν νίκην ἀγόντων, ἀδιάφορον ἐστὶν, ὁποτέρῳ τις χρησάμενος ἐπ' ἐκεῖνο ἥξει. Καὶ τοίνυν Ῥωμαῖοι, τοῦ Ἀλεξίου δυνάμεων σπανίζοντος, ἃς ὁ βασιλεὺς αὐτῷ ἄγειν ἐκέλευεν, εἴγε Σικελοῖς οὐκ ἀξιομάχους ἑαυτοὺς εἰδότες, ἐπὶ τὰς ναῦς τε τὸ στράτευμα ἀνεβίβασαν, καὶ στόλῳ τῷ αὐτῶν συνεπλάκησαν πρότερον, αὐτοῦ τε κατὰ κράτος περιεγένοντο αὐτῶν. καὶ τὴν ἐκ τῆς ἠπείρου ὑποχώρησιν τοῖς ἐκ τῆς ὑγρᾶς παραμυθήσαντο τροπαίοις. οὕτω τε καιροῦ καλοῦντος ἐπὶ τὴν ξηρὰν αὖθις ἐκβάντες, σὺν δυνάμεσι πλείοσι τὰς ἐν Ἰταλίᾳ διηγωνίσαντο μάχας. Ἀλλ' ἐκεῖνοι, τὴν ἐκ τοῦ ὑποχωρεῖν ὑφορώμενοι ἀδοξίαν, εἰς τὴν τοῦ παντὸς στρατοῦ διεφθάρθαι περιπεπτώκασιν ἀτιμίαν. Ταῦτα μὲν οὖν τῇδε ἐγένετο. Ὁ δὲ βασιλεὺς

A destituuntque rempublicam: alii tralaticiis quibusdam imperatoriæ artis partibus imbuti, in plerisque deficiunt. Ars enim quædam est & imperatoria: & si quis eam promiserit, illum multiplicem quendam & varium hominem esse oportet, & ad quosque ejusdem usus mire versatilem. Est enim utrumque præstabile, & cedere sine verecundia, si tempus ita ferat, & vicissim sine cessatione persequi: B ubi vero consilio felicius, quam manibus, res gerenda videtur, nec pudor ibi detrectare periculum summæ rerum facere. Multis etenim iisque diversis rebus ad unum victoriæ finem tendentibus, perinde est, quibus quis usus ad eum pervenerit. Si itaque Romani, cum careret iis copiis Alexius, quas illum contrahere imperator jusserat, impares se Siculis conscii, exercitum in naves transduxissent, C cumque classe primum illorum conflixissent; & illam robore ac vi superassent, & fugam è terra acceptis mari trophæis resarcivissent; & sic dein, ubi tempus monuerat, in continentem iterum egressi, majoribus in Italia bellum viribus confecissent. Sed enim illi, inglorium eum fore recessum suspicati, in totius amissi perditique agminis ignomiam inciderunt. Ita tum quidem ibi res ge-

τούτων

τούτων ἀκούσας, ἐδυσχέραινε μὲν ὡς τὸ A εἰκός. καὶ μάλιστα ὅτι μετὰ τοσαύτας προηγησαμένας ταῦτα ξυνέπεσεν εὐτυχίας. Ἀτύχημα γὰρ μετὰ δόξαν ἐπιγεγονὸς, παραιτεῖται μὲν τὴν δύσκλειαν, ἀνίαν δὲ μάλιστα προξενεῖν εἴωθεν, ὅτι μικροῦ τοῦ τὸ πᾶν δεῆσαν κατορθοῦν, εἶτα ἀπώλοντο ἅπαντα. Ἤλγησε μὲν οὖν διὰ ταῦτα, οὐ μὴν καὶ ἡττήθη τοῦ πάθους. Ἀλέξιον τοίνυν, ὃς τὸ τοῦ πρωτοστράτορος ἀνεζώννυτο τότε λειτούργημα, ἐπὶ Ἀγκῶνα Ἰταλίας αὖθις B ὡς ἐξ ὁρμητηρίου τινὸς ἐντεῦθεν μεταπειρασόμενον ἔπεμψεν. Οἱ γὰρ τῇδε ἄνθρωποι ὅρκους βασιλεῖ φθάσαντες ἔδοσαν, ῥηγὶ μὲν τῷ Ἀλαμανῶν οὔποτε ἑκόντες πολεμήσειν. Χρήματα δὲ τῶν βασιλέως καὶ Ῥωμαίων οὐκ ἂν αὐτὸς πέμψειε. τούτους δὴ τηρήσειν ὅσα καὶ ἑαυτούς. ὅθεν δὲ εἰς τοῦτο βασιλεὺς προήχθη, αὐτίκα δηλώσω. Ὁπότε ἤδη ἐπὶ Κορκύραν ἐστράτευε, δύσνουν καὶ δύστροπον τὸ Οὐεννέτων κατανοή- C σας ἔθνος, περὶ πλείονος ἔθετο, ὅπως ἂν Ἀγκῶνος λοιπὸν μεταποιηθεὶς, ὀφρύος τι τῆς Οὐεννέτων τὸ πολὺ καταπαύσειε, καὶ τοὺς ἐν Ἰταλίᾳ πολέμους ἐντεῦθεν ῥᾷστα διαγωνίζοιτο. Διὰ ταῦτα μὲν Ἀλέξιος σὺν χρήμασι πολλοῖς ἐπὶ Ἀγκῶνα ἦλθεν. Ὅθεν Κωνσταντῖνον τε τὸν Ὦτον καὶ Ἀνδρέαν κόμητα πόλεως Ἰταλικῆς, τήν τε χεῖρα γενναῖον, καὶ ἀνδρείας εὖ ἥκοντα ἐπὶ τὴν Ἰταλίαν

rebatur. Postquam ea principi comperta sunt, indignari, nec injuria, eo maxime, quod post tantos fortunæ successus acciderant. Nam si post partam laudem offendas, minor quidem est infamia, tristitia vero oboritur maxima, quod cum prope abfueris à summare bene conficienda, totam perdideris. Itaque doluit hæc quidem imperator, non tamen mœrore eorum est superatus. Alexium vero, qui tum Protostratoris munus induerat, Anconam Italiæ urbem misit, tanquam ex illa iterum sede bellum restauraturum. Nam ejus cultores jusjurandum principi dederant, non se quidem volentes unquam adversus regem Alamannorum arma sumturos, sed pecunias imperatoris Romanorumque, quandocumque is misisset, velut se ipsos servaturos. Quomodo ad ea sit impulsus imperator, nunc exsequar. Ad Corcyram cum bellum gereret, difficilem ac malignam sibi Venetorum gentem adverterat: eo plurimi facere, si, vindicata sibi Ancona, & illorum superbiam multum imminueret, & bella inde Italica facilius expediret. Ea propter quidem magna cum pecuniarum vi Anconam venit Alexius: inde dimissis in Italiam Constantino Oto & Andrea comite civitatis Italicæ,

ἐκπέμψας,

ἐκπέμψας, χεῖρά τε σύμμαχον ἤθροιζε πολλὴν, καὶ πόλεις ὡς πλείστας Ῥωμαίοις ἐδουλοῦτο· ὅτι δὴ γέγονέ τι καὶ τοιοῦτον. Ὁ Ῥώμης ἀρχιερεὺς Γιλιέλμῳ φιλίαν ἤδη ὁμολογήσας, ἐπειδὴ τὼ ἄνδρε τούτω διὰ τῶν Ῥώμης ἰόντε ἔγνω χωρίων, ἰσχυρότατα διεκώλυεν. ἀλλὰ τῶν ἐπὶ δόξης τινὲς, οἳ Ῥωμαίοις εὔνοιαν φθάσαντες ὡμολογήκεσαν, (ἔθος γὰρ ἀεὶ βασιλεῖ Μανουὴλ ἦν τῶν τῇδε πολλοὺς ἐπιμείζεσθαι) ἐπαναστήσαντες τὸν δῆμον αὐτῷ, τὸ βασίλειόν τε σημεῖον ἐντιμότατα τῇ δεήσει εἰσεδέξαντο, καὶ τῷ Κοντοστεφάνῳ κατ' ἐξουσίαν, οὓς ἂν βούλοιτο, μισθοῦσθαι ἐφῆκαν. Ἐφ' οἷς χαλεπήνας ὁ Ἀρχιερεὺς, ὃ μόνον εἶχεν ἐπιτιμίῳ τὸν δῆμον καθυπέβαλλε, μηδὲν μετεῖναι λέγων Ῥώμῃ τῇ νεωτέρᾳ πρὸς τὴν πρεσβυτέραν πάλαι ἀπερραγεισῶν. Χρῆ δὲ μᾶλλον τῷ Σικελῶν ἀμύνειν δυνάστῃ, μέλλει γὰρ αὐτῶν ὄντι, εἶτα κακῶς πεπονθότι τῇ πρὸς πολλῷ αὐτοῦ κρείττονα διαγωνίσει μὴ βεβοηθηκέναι ἀνόσιον. Τοῦτο δὲ τὸ ἐπιτίμιον εὐλαβηθεὶς ἤδη τις, ἀφίσταται μὲν τῶν τὰ βασιλέως πρεσβευόντων. Εἰς δὲ τὸν Ἀρχιερέα παλιμβόλῳ μετετίθετο γνώμῃ. Ἀλλ' οἱ τὰ Ῥωμαίων πρεσβεύοντες, τοῦτον μὲν βίᾳ πολλῇ ἐκεῖθεν ἀπέσπασαν. ὡς δὲ τὴν ἀπιστίαν αὐτοῦ στηλιτεύσωμεν, βάρβαρόν τινα τρόπον, καὶ ἀπειροκαλίας οὐ πόρρω τινὸς, τὴν

A viro manu impigro & fortitudine magna prædito, auxiliares multas copias contraxit, urbesque quamplurimas Romanis subjecit. Inter ea & illud accidit. Pontifex Romanus ut, inita cum Gulielmo amicitia, viros illos per agrum transire Romanum audivit, acerbissime id prohibere. Sed nonnulli è primoribus, qui benevolentiam Romanis sposponderant, (qualium multos semper habere sibi conciliatos imperator solebat) B concitata adversus pontificem multitudine, signum imperatorium venerabili maxime oratione recipiunt, & Contostephano pro libitu quos vellet conducendi milites potestatem faciunt. Ob ea indignatus pontifex, quod unum poterat, castigare populum, nihil juris esse, inquiens, novæ Romæ in eas civitates, quæ ad veterem jam olim defecerant. magis autem oportere C Siciliæ defendere dominum, qui curæ illorum esset; denique graviter affecto in certamine contra multo potentiorem opem non tulisse, impium. Quam castigationem ubi quis in animum reverenter admisisset, deficit ab iis qui partes sequebantur imperatoris: & mutata sententia ad pontificem redit. Sed qui rem Romanam fovebant, magna eum inde vi expellere; utque manifestam hominis

πανοπλίαν καὶ τὸν ἵππον, ἐπὶ ξύ- A λου τινὸς ἠρτημένα, ἀπὸ καλῳδίων ἀφῆκαν φέρεσθαι, ἐπεί τε τὸν ἀρχιερέα ἐμφανῶς ἤδη συστάντες, ἄκοντα τῶν ἐπιτιμίων ἀνεῖναι τοὺς ἀνθρώπους ἀνέπεισαν. Ὅτε τὰ Ῥωμαίων αὖθις πολλῇ τὸ ἐντεῦθεν ἐχρῆτο τῇ παρρησίᾳ. Πόλιν τε οὖν, ἣ ἀπὸ Γερμανοῦ τοῦ ἐν ἁγίοις τὴν προσηγορίαν ἔχει, πολέμῳ παραστήσαντο. καὶ ἄλλας ἀμφὶ τὰς τριακοσίας ὑπὸ βασιλεῖ ἔθεντο. ὧν ὅπως ἑκάστη κλήσεως ἔχεν, ἔξεστι τῷ βουλο- B μένῳ ἐκ τοῦ κατὰ νότον τῆς πόλεως ἐπὶ τοῖς παλαιοτέροις ἀρχείοις τῷ βασιλεῖ τούτῳ ἐγηγερμένου ἀναλέγεσθαι δόμου. Εἰ γὰρ καὶ πλείους τούτων ἐνταῦθα γεγράφαται, ἀλλὰ θωπεία τις τὸ ἐπέκεινα, καὶ τρόπος ἀνελεύθερος τῶν τὰ ἔργα μετιόντων ἐστίν. ὁποίους εἶναι τοὺς πολλοὺς ἀεὶ συμβαίνει, δι᾽ ἅ ποτε καὶ βασιλέως αὐτοῦ δυσχεράναντος ἤκουσα. Εἰ μέντοι καὶ ἀφήρηνται οὐκ ἔχω ἰσχυρίσασθαι. οὕτω καὶ πά- C λιν ὀλίγου δεῖν ἡ χώρα Ἰταλῶν ἅπασα ὑπὸ Ῥωμαίους ἐγένετο ἄν. Ἀλλὰ Ἀλέξιός τε ὁ Κομνηνὸς καὶ ὁ Δούκας, καὶ τῶν ἄλλων, ὅσοι Ῥωμαίοις στρατηγοῦντες δορυάλωτοι τῷ Σικελῶν ἐγένοντο δυνάστῃ, τὰ πράγματα διέφθειραν αὖθις. Πολλὰ γὰρ τῶν ἀθλητῶν πως βασιλεῖ φθάσαντες ἤδη ὀμωμοκέναι Σικελοῖς, μεγίστων καὶ καλῶν ἔργων Ῥωμαίους ἐστέρησαν. Καί τι γὰρ οὐκ ἄν τις ὁμο-

perfidiam facerent, modo barbaro atque inhonesto armaturam & equum ejus funibus ad patibulum suspendere; jamque in pontificem aperte insurgentes, ut rejicerent negligerentque stimulos castigationum auctores esse. Tum iterum multo se deinceps liberius res Romanæ habuerunt. Itaque & civitatem illi a Divo Germano cognominatam bello ceperunt, & alias circiter trecentas in potestatem imperatoris redegerunt. quarum ut unaquæque vocata sit, cui id libitum est è domo, quam veteribus tabulariis, qua in Austrum urbs spectat, hic princeps adstruxit, poterit cognoscere. Plures quidem ibi monumentis inscriptæ; sed adulatio quædam in iis est & illiberale studium eorum, qui honores & munera ambiunt; quales multi semper esse solent. propter quæ & ipsum aliquando indignantem principem audivi. An vero ablata sint, asseverare non possum. Ita rursus parum deerat, quin omnis Italorum regio subderetur Romanis. Sed & Alexius Comnenus & Ducas, & alii Romanorum duces, qui à Siculo rege capti erant, res iterum perdiderunt. Multi enim qui hactenus ab imperatoris partibus steterant, dato Siculis jurejurando, multis egregiisque operibus Romanos pri-

λογῆσαι

λογῦσαι εἶχεν, ὁπότε κλοιάτι αὐτὸν εἶχον, καὶ κοῦθμῶνες ἐφρύρουν κατάγειοι; Ἐποίουν δὲ ταῦτα Σικελοὶ, ὡς αὖ οἱ τῇδε ἄνθρωποι Γιλιέλμου σπείσεσθαι τὸν βασιλέα προσδοκήσαντες; φθάνουσιν ὡς τὸ εἰκὸς Ῥωμαίων, καὶ πρὸ καιροῦ ἀφιστῶντες τὰς πόλεις. Ὅπερ ὁ βασιλεὺς ἀκούσας, συνῆκέ τε τῶν πραττομένων, καὶ γράμματα ἐπὶ Σικελίαν ἐκπέμψας, τοῖς μὲν ἐν εἱρκτῇ Ῥωμαίων τάδε ἔγραψε. θαυμάζειν ἔπεισί μοι, ὅπως ἀεὶ μικρονοίᾳ τινὶ περὶ τὰ πράγματα κεχρῆσθαι ὑμᾶς, ὦ ἄνδρες, ξυμβαίνει. πρῶτον τε γὰρ αὐτοὶ τὰς καλλίστας ἐκείνας οὕτω διεφθείρατε νίκας, τύχην τε ὑμῖν αὐτοῖς ἐφ᾽ ἧς νῦν ἐστὲ προυξενήσατε. Καὶ νῦν δὲ, ἄλλων τὰ ὑμῖν κακῶς ἤδη πραχθέντα σὺν Θεῷ ἀναμαχεῖσθαι προθυμουμένων ἐμποδὼν ἵστασθε. ἢ οὐκ ἐκεῖνο ἐπὶ νοῦν ἡμῖν ἦλθεν, ὡς τὴν ἐπὶ τὰ πρόσω ἡμῶν ἀναστέλλοντες ὁρμὴν, ταῦτα ἐπινενοήκασι Σικελοί; Τίς γὰρ ἐκεῖνος ἔσται Ἰταλῶν, ὃς τὴν χώραν αὖθις, ἣν ἤδη ἡμεῖς ἔχοντες, Γιλιέλμῳ ὑφ᾽ ἡμῶν ἐνδοθησομένην ἀκούων, οὐκ αὐτίκα μὲν ἡμῖν ἀποστήσει. ἐς δὲ Γιλίελμον ὀκνήσει οὐδὲ μιᾷ μεταθήσεται; οὐκ ἔσται πάντως οὐδεὶς, εἰ μή τις βλὰξ εἴη καὶ ἀνόητος ἄνθρωπος, ὁποῖοι πολλοὶ τυγχάνουσιν ὄντες. Πυνθάνομαι ὑμῶν εἴπατε πρὸς Θεοῦ, κάλλιον πότε ὑμᾶς ἂν εἶδε τὰ πάτρια, ὁπότε Ἰταλίας ἤδη ἁπάσης, καὶ νήσου τῶν Σικελῶν ὑφ᾽ ἡμᾶς γεγενημένων; λαμ-

A varunt. Et quid non aliquis pepigerit, ubi compedibus vinctus antrisque inclusus subterraneis detinetur? Hæc autem fecerunt Siculi, ut istorum locorum incolæ, imperatorem cum Gulielmo fœdus icturum rati, in tempore, ut futurum videbatur, deficere ut à Romanis & civitates illi traderent. Postquam ea accepit imperator, & quæ parabantur advertit, & missis in Siciliam literis, Romanis captivis talia scribit: B *Mirari me subit, quomodo factum sit, viri, in gerendis rebus semper vobis firmitudinem animi defuisse. Nam pulcherrimas primum partas victorias corrupistis, & in qua nunc estis fortunam vobismet ipsis comparastis. Nunc etiam aliis illata vobis mala, juvante Deo, avertere volentibus, impedimento estis. an non venit in mentem vobis, excogitasse illa Siculos, ut impetus nostros in futurum retardent?* C *Quis ille Italorum erit, qui ubi regionem, quam jam possidemus, Gulielmo iterum à nobis traditum iri audiverit; non continuo relicturus nos, & nulla tergiversatione ad Gulielmum sit concessurus? erit utique nemo, nisi vanus quis homo & insipidus, cujusmodi esse multi solent. Rogo vos, dicatis per deum, quando pulchrius vos patria aspexerit; an cum universa jam Italia & insula Siculorum redacta in potestatem no-*

περὶ λαμπρῶς αὐτόθεν ὑπὸ τῶν ὁμοφύλων ἀναῤῥυσθέντες ἀθληταὶ Ῥωμαίων εὐγενεῖς ἐπὶ Βυζάντιον ἥκετε, ἡδὺ θέαμα τοῖς ὁμοτίμοις ὑμῖν προσφερόμενοι, ἢ ὁπότε οὐδὲν, οὔτε δόντες, οὔτε λαβόντες, ὥσπερ ὑμῖν τὰ ὅρκια βούλονται, ἐνταῦθα ὑμᾶς ἀνακαλεσόμεθα; Ῥωμαίοις μὲν ταῦτα ἔγραψεν. Γιλιέλμῳ δὲ ἐπέστειλεν ὧδε. Μὴ οἴου, λήσειν ἡμᾶς, ὦ γενναῖε, ὅτου δὴ ἕνεκα ταῦτα μεμηχάνηται παρ' ἡμῶν, ὥσπερ οὐδὲ ὅτι τοῖς βίᾳ γεγονόσι συγγνώμων ἡ ἀνάγκη γίνεται. οὐκοῦν οὐδὲ στέρξει σοι πάντως, ἃ πρὸς δεσμωτῶν ὀμώμοται καὶ ἐμφρούρων τούτων ἀνδρῶν. Ῥωμαῖοι γὰρ οὐ πρότερον Ἰταλίᾳ πολεμοῦντες ἀφέξονται, πρὶν αὐτήν τε καὶ τὴν νῆσον πᾶσαν, ὑπὸ παλάμῃ τῇ ἡμῶν, ὥσπερ καὶ πρότερον, ἤδη ποιήσονται. Ταῦτα οἱ περὶ Γιλιέλμον δεξάμενοι τὰ γράμματα ἀμείβονται ὧδε. εἰ μὲν τῶν ἤδη πρότερον εἰς τὸ κράτος ἡμαρτημένων τὸ σὸν, δίκας ἡμῖν ἐπιθεῖναι βούλει, κράτιστε βασιλεῦ. ἔχεις ἤδη, καὶ ὑπὲρ ὃ ἐχρῆν, Ἰταλίαν μετελθών. πόλεις τε γὰρ τριακοσίων οὐκ ἐλάττους ἐπὶ μέσην αὐτῆς παρεστήσω, πρᾶγμα, παλαιὸς ἐξ οὗ χρόνος, τὴν Ῥωμαίων ἀρχὴν ἐπιλελοιπὸς, καὶ κλέος ἀνεδύσω, ὃ μετὰ Ἰουστινιανὸν ἀρχαῖον Ῥωμαίων αὐτοκράτορα, οὐδενὶ τῶν ἄλλων ὑπῆρξεν, ὅτι μὴ τῷ κράτει τῷ σῷ. Ἀξιοῦμεν γὰρ ἀντίθες ἀγνόημα τὸ ἡμῶν. Λέγω δὴ ὁπηνίκα Κόρινθόν τε, καὶ Εὔβοιαν, κατατρέχομεν τὴν σὴν, καὶ τὰς Ῥω-

A *stram, splendidi splendide inde a sociis liberati, clari vindices Romani nominis gratum æqualibus vestris spectaculum exhibentes, Byzantium veneritis: an vero cum nihil aut dantes aut accipientes, quemadmodum jusjurandum jubet, vos inde revocaverimus?* Ea quidem scripsit Romanis; Gulielmo autem in hęc verba: *Ne existima, latere nos, o generose, quam ob caussam contra nos illa sitis machinati; uti neque illud, quod vi adB actis necessitas ad veniam sit. Nec faciant te penitus securum, quæ nexi & carceribus inclusi sanciverunt. Romani enim non prius absistent Italiæ bellum inferre, quam & illam, & totam insulam, sicuti primum factum fuit, potestati nostræ subjecerint.* His literis Gulielmus acceptis, in hunc ferme modum respondet: *Si tibi in animo est, maxime imperator, pœnas irrogare nobis ob ea, quæ adversus majestatem tuam ante commisiC mus: jam certe, etiam supra quam oportuit, Italiam ultus es. Civitates enim in media illa non minus trecentas superasti: quod veteribus imperii Romani temporibus nunquam factum; tibique gloriam comparasti, qualis post Iustinianum antiquum Romanorum imperatorem nulli alii, præterterquam tua majestati, contigit. Confer nunc, oro te, inter se delictum nostrum, cum nimirum corinthum Eubœamque tuam percursavimus; & Ro-*

μαίων ἐν Ἰταλίᾳ νίκας· οἱ δὴ τοσοῦτον ἤδη χρόνον ἄγουσί τε καὶ φέρουσι τὰ ἐνταῦθα· αἱμάτων τε εἰς τοσούτων, μᾶλλον δὲ καὶ πλεονάκις τοσούτων, τὴν τῇδε πληρώσαντες γῆν. καὶ πόλεις οὐ διασκυλευσάμενοι μόνον τοσαύτας, ἀλλ' ἤδη καὶ ὑποχειρίους θέμενοι. Πότερά σοι δοκεῖ μεγαλειότερα, κἂν μὴ πρὸς ἡμᾶς ἀντιμετρεῖσθαι ταῦτα βούλει, πολλῷ καταδεεστέρους τοῦ σοῦ κράτους ὄντας. Ἀλλὰ σύ γε ἐπὶ τοὺς πρώτους ἀνάδραμε βασιλέας, καὶ τὰ κατόπιν τῷ χρόνῳ ἐπίβλεπέ μοι Ῥωμαίων ἀνδραγαθήματα. ἢ οὐ καὶ τηνικάδε συγκέκρουκέ τις Ῥωμαίων τῇ ἀρχῇ; πολλὰ δήπου πάντως ἐθνῶν καὶ Περσῶν καὶ Οὔννων, καὶ εἴ τι μὴ δυσφοροίη κράτος τὸ σόν, καὶ Ῥόμπερτος ἐκεῖνος, ὃς Ἰταλίαθεν ἐς Ἐπίδαμνον διαβάς, μεγάλας τῇδε πάππῳ τῷ σῷ συνδιηγωνίσατο μάχας. Ἀλλὰ μόγις καὶ ἀγαπητῶς ἐκ τῶν Ῥωμαίων ἐκεῖνος Ῥόμπερτον διεσώσατο. οὐδὲ καὶ τῆς ἡμετέρας σχεδόν τι περιγέγονας ἁπάσης. εἴ τι οὖν σοι τοῦ ἀντιμύνασθαι ἡμᾶς ἕνεκα, ταῦτα ἐγκεχείρηται, ἅλις σοι τῶν τροπαίων ἱκανῶς ἔχεις ἡμᾶς μετελθών, τὴν ἡμετέραν πατοῦντί σοι· τὰ τῆς εἰρήνης ἀσπάσασθαι, οὐκοῦν ἐστὶν ἀγεννές, εἰ μὴ καὶ σφόδρα ἐπίδοξον. οὐδὲ καὶ Ῥωμαίους, οὓς τῆς τύχης ἡμῖν δούσης, ἄνδρας οὕτω περιφανεῖς δορυαλώτους ἐποιησάμεθα, αὐτίκα λήψῃ. ἐφ' οἷς οὐδὲ ὀργίζεσθαι δίκαιον ἐφ' ἡμᾶς. Ἀνδρὶ γὰρ πολεμουμένῳ οὐδεμία νέμεσις ἀντιπράττειν ἐχθροῖς. ὥστε λείπεται ἑνὸς ἐκείνου ἕνεκα, τοῦ περὶ Εὔβοιαν ἡμῖν ἡμαρτημένου, δίκαιον εἶναι

A *manorum in Italia victorias. qui tam longum ibi tempus agunt ferunt omnia; qui sanguinis tertia plus parte, imo amplius etiam, terram istam impleruns; qui urbes non spoliarunt modo tot tantasque, sed & easdem fecere sibi obnoxias. Utra tibi videntur majora? quamquam nobiscum contendi non debeant, potentia tua longe inferioribus. Tu vero ad priores recurre princip..., & ab antiquioribus temporibus fortia Romanorum facta re-* B *spice. an non & tum aliquis Romano imperio conlisus est? Multa utique gentes, & Persa & Hunni, & si non agre fert hanc mentionem tua majestas, Rompertus ille, qui postquam ex Italia Epidamnum trajecisset, magna ibi certamina cum avo tuo gessit. sed vix & amicis conditionibus Rompertum illum ex finibus Romanis submovit. sed enim tu & nostram regionem fere totam occupasti. Sive igitur nostri ulciscendi caussa ea facere aggres-* C *sus es; satis tibi tropaeorum, satis nos ultus es: jamque terras nostras tenentem pacem amplecti, non modo non indecens, sed vel maxime gloriosum. Romanos autem, tam inlustres viros, quos, sic dante fortuna, captivos duximus, sine mora recipies. propter quae iniquum est, te nobis irasci. Non enim indignandum est viro belligeranti quod hostibus suis resistat. Ut manifestum sit, te ob id unum, quod in Euboea deliquimus, bellum*

σοι πολεμεῖν. Οὗπερ ἤδη καὶ ὑπερέβης τοὺς ὅρους, ὅπερ ἐλέγομεν. Εἰ μὲν οὖν δίκας ἡμῖν ἐπιθεῖναι προεθυμήθης, ὧν ἐς τὴν χώραν ἐνεδειξάμεθα τὴν σήν, ταῦτα ἀπολελογήμεθα τῷ κράτει τῷ σῷ. Εἰ δὲ ἀεὶ σοι πολεμητέα γένει τῷ ἡμῶν, ὥρα σοι ἐννοεῖσθαι, μήποτε πέρα νομίμων εἴη τῶν ἀνθρωπίνων ἡ ἐγχείρησις. Τὸ μὲν γὰρ ταῖς προφάσεσι, καὶ τοὺς πολέμους συμμετρεῖν, ἀνθρώπινον. περαιτέρω δὲ χωρεῖν, ἄλλος μέν τις εἴποι αὖ ὅτι θηριῶδες, ἡμῖν δὲ τοῦτο μὲν οὐ λεκτέον. αἰτούμεθα δέ σε σπεισάμενον ἤδη πόλεμον τὸν δὲ καταλύειν. Ταύτην ὁ βασιλεὺς πολλάκις ἀπολεξάμενος τὴν ἐπιστολήν, ἐπένευσε τοῖς εἰρημένοις. Τούς τε Ῥωμαίων αἰχμαλώτους ἀπολαβών, καὶ εἴτι που λάφυρον πολέμου ἐγένετο κομισάμενος, πρὸς δὲ καὶ τὰ πιστὰ πρὸς Γιλιέλμου λαβὼν σύμμαχον, ἐν ταῖς κατὰ τὴν ἑσπέραν ἕξειν αὐτόν, τὸν πόλεμον ἔλυσεν. Ὀλίγῳ δὲ ὕστερον, καὶ Ῥῆγα τετίμηκεν, οὐ πρότερον ὄντα. Τοσοῦτον τε ἐπ' αὐτῷ τετήρηκε τὸ εὐμενές, ὡς Γιλιέλμου τὸν βίον συμμετρησαμένου, προσιόντα αὐτῷ τὸν ἀδελφόν, αἰτούμενόν τε συλλήψεσθαι αὐτόν, ἐφ' ᾧ Σικελῶν ἄρξει, προσδέξασθαι οὐδαμῶς. Τὰ μὲν δὴ τῶν Ἰταλικῶν πολέμων ἐνταῦθα Ῥωμαίοις πέρας ἔσχε. Βασιλεὺς δὲ καὶ πρότερον μὲν τῶν κατὰ τὴν Ἀσίαν ἤδη κεκινημένων πραγμάτων, ὁπηνίκα ἔτι τὰς ἐν Ἰταλίᾳ διέφερε μάχας, φροντίδα τῶν τῇδε εἶχε πολλήν. Τότε δὲ ὁλοσχερέστερον λοιπὸν ἀντεποιήθη. Ὁ μὲν γὰρ Περσῶν Σουλ-

A *juste gerere. quo in crimine supergressus modo es vindicta modum, sicuti diximus. Si igitur pœnas imponere nobis desiderasti pro iis, quæ in regionem vestram commisisse accusamur; ea ipsa apud majestatem tuam excusavimus. si vero semper tibi adversus genus nostrum caussa bellandi est; attendere te oportet, ne præter jus fasque humanum id inceptum sit. Caussis enim suis bella metiri, hominis est: ulterius vero tendere, alius quidem fe-* B *rarum proprium dixerit, nobis id autem tacendum. Rogamus vero te, ut fœdere faciendo bellum hoc dirimatur.* His sæpius ab imperatore lectis literis, dictis annuere; receptisque captivis Romanorum aliaque belli præda restituta, fide ad hæc data à Gulielmo, ipsum sociali cum exercitu occidentem versus secuturum, bellum solvere. Paullo post & regem eum appellavit, cum prius non esset. Tanta C autem erga illum usus benevolentia est, ut, mortuo Gulielmo, accedentem fratrem & rogantem ut Siculis imperio præficeretur, haudquaquam admiserit. Hic bellis Italicis finem Romani imposuere. Imperatori vero & prius quidem, cum bello adhuc in Italia distinebatur, magna earum rerum cura fuit, quæ in Asia motæ; tum vero integris deinceps viribus obviam iis ivit. Quippe Persarum Sulta-

τὰν Πουμσουράν τε, καὶ Σίβυλαν Ῥωμαίοις κατηκόους παρεστήσατο πόλεις. Τερόζης δὲ, ὅπερ ἤδη ἐμνήσθην τῶν ἐν Κιλικίᾳ πλείστας ἀφήρπασεν. Ἰαγουπασὰν δὲ ὃς καὶ αὐτὸς Περσῶν φύλαρχος ἦν, ἄρχων γῆς τῆς Καππαδοκῶν, Οἰναιόν τε καθεῖλε, καὶ Παυράην πόλεις ἄμφω Ποντικάς. Ἀλέξιον τοίνυν τὸν Γιφάρδον ἐπὶ τὸν Σουλτὰν πέμψας, τὰς εἰρημένας ἀνέλαβε πόλεις, Ἰαγουπασὰν δὲ τῆς ἐπὶ τὰ Ῥωμαίων ἀποσχόμενον ἐκδρομῆς, ἑαυτῷ προσσυνέχειν ἠνάγκασεν. Ἐπὶ μέντοι τῆς Κιλίκων αὐτὸς ἐκστρατεύειν διενοεῖτο. Ἐν δὲ τούτῳ, ἐν Βυζαντίῳ τάδε συνέπεσεν. Ἦν τις Λευϊτῶν, οὓς διακόνους καλοῦμεν, ὄνομα τούτῳ Βασίλειος. Οὗτος ἀναπτύσσειν τοῖς πολλοῖς τὰς θείας ἐν ταῖς ὁπουδήποτε τελεταῖς πεπιστευμένος φωνάς, ἄλλους τε τῶν καὶ κατὰ βραχὺ προσκεκρουκότων αὐτῷ, ἐν ταύταις δὲ ταῖς ὁμιλίαις, σχίσματι καὶ ἐπικρύψει κατηγορεῖν ἤθελε. Καὶ δὴ καὶ Μιχαὴλ καὶ Νικηφόρον, ἐπίκλησιν Βασιλάκιον, ὧν ὁ μὲν ῥητορικῆς ἐς τόδε καιροῦ καθηγητὴς ἐτύγχανεν ὤν. Ὁ Μιχαὴλ τὰ ἱερά τε ἐπὶ τοῦ τῆς Σοφίας ἱεροῦ διεξηγεῖτο τῶν εὐαγγελίων ῥητά. Ἅτερος δὲ εὐδόκιμος ἅμα τε τῶν ἐν λόγοις ἦν, καὶ δὴ καὶ λόγων ἀγαθὸς δημιουργός. Ἀμέλει γοῦν καὶ πολλὰ τῶν κατὰ ῥητορικὴν μεμελέτητο αὐτῷ ἄγαν δεξιῶς. ἐπὶ τούτοις ὠδινόντε τὼ ἄνδρε τούτω, καὶ ἐν δεινῷ ἐποιοῦντο, εἰ τηλικόνδε τὰ ἐς σοφίαν ὄντε, πρὸς τοιούτου διαμυκτηρίζοιντο ἀνδρός. ὅθεν ἑαυτοῖς τε καὶ πλεί-

A nus Punſuram & Sibulam Romanorum civitates expugnaverat; & Peroſes, cujus ſupra meminimus, plurimas ibidem in Cilicia eripuerat; ad hoc Iagupaſan, qui & ipſe phylarchus erat Perſarum & Cappadociæ rector, Oenæum & Pauraen, Ponticas urbes ambas, incurſaverat. Itaque miſſo ad Sultanum Alexio Giphardo, urbes dictas recepit: Iagupaſan vero, incurſionibus in fines Romanos abſtinen- B tem, ſibi adhærere adegit. In Ciliciam ducere ſtatuit. Interea Byzantii hæc acciderunt. Erat quidam Levitarum, quos nos diaconos vocamus, nomine Baſilius. Hic ad explicandum in omnibus ubicumque cœtibus verbum divinum conſtitutus, tum alios, qui vel tantillum offenderant, in illis concionibus novarum & ambiguarum ſententiarum arguere, tum etiam Michaelem & Nicephorum C cognomento Baſilacium, Rhetorices ea tempeſtate doctorem. Michael ſacros Euangeliorum ſermones in Sophiæ ſacrario interpretabatur: alter vero celebris inter eruditos, & orationum inſignis artifex, adeoque multa in Rhetoricen erat egregie commentatus. Ea propter dolebant hi viri, accipiebantque graviter, quod ea ſapientia præditi ab tali homine traducerentur. unde & ſibi & pluri-

στοις

στοις ἑτέροις ἀνηκέστων αἴτιοι ἐγενέσθην κακῶν. Τοῦ Βασιλείου γάρ ποτε ἐς τὸν πρὸ τοῦ ἄστεος τοῦ Ἀποστόλου Ἰωάννου τοῦ Θεολόγου νεὼν, τὴν συνήθη τελοῦντος αὐτῷ λειτουργίαν, ἧκεσαν ἀκουσόμενοι καὶ οὗτοι, ἀκοαῖς γε μὴν ἐπιβούλοις καὶ πλήρεσι δυσμενείας. ὡς γὰρ εὐαγγελικήν τινα οἶμαι περικοπὴν ἐκεῖνος διεξιὼν, τὸν αὐτὸν ἔφη καὶ ἕνα τοῦ Θεοῦ υἱὸν, καὶ θῦμα γενέσθαι, καὶ σὺν τῷ πατρὶ τὴν θυσίαν προσδέχεσθαι, ἠρπακότες τὸν λόγον εὐθὺς, καὶ ἄνω καὶ κάτω διεχλεύαζον ἰόντες. διττὰς ἐντεῦθεν τὸν βασίλειον λέγοντας εἰσάγειν ὑποστάσεις, εἰ τὸ μὲν ἐτύθη, τὸ δὲ τὴν θυσίαν ἐδέξατο. Ἄλλοι τε οὖν ταύτῃ τῇ δόξῃ, συνέθεντο τῶν ἐπὶ λόγοις τε δοκίμων, καὶ δὴ καὶ Σωτήριχος, ᾧ Παντεύγενος ἡ ἐπίκλησις ἦν, ἀνὴρ κατ' ἐκεῖνον τὸν χρόνον σοφίᾳ καὶ λόγων δεινότητι τοὺς ἄλλους ὑπερβάλλων. ὃς καὶ τῆς Ἀντιόχου τὸν θρόνον λαχὼν, οὔπω ἔτι κεχειροτόνητο. Ὁ τοίνυν Σωτήριχος οὐκ ἀπὸ γλώσσης μόνον καὶ στόματος δόξῃ τῇ ἐκείνων προσέθετο, ἀλλὰ δὴ καὶ καλόν τι χρῆμα λόγου συντάξας, οἷος ἐκεῖνος, ἐξαισίαν τινὰ πρὸς Πλάτωνα ἐν διαλόγοις ὁμοιότητα ἴσχων, πολλὰ ἐν τούτῳ δὴ τῷ λόγῳ συνεφόρησεν ἄτοπα, δι' ἅπερ αὐτόθι τὴν τοῦ θρόνου καθαίρεσιν ὑπέστη. Βασιλ* τοῖς ἀμφιβαλλομένοις διαιτήσεως, καὶ ὅσοι ἤδη συνίσταντο τούτῳ. Βασίλειος δὲ τὴν ἐπιτιμίαν αὖθις ἔσχε. Ἐτύγχανε γὰρ ἤδη ταύτην ἀποβαλών. Εἰ καὶ χρόνῳ ὕστε-

A bus aliis maximorum malorum caussa fuere. Basilio enim in templo suburbano Apostoli Ioannis Theologi consuetum aliquando ministerium faciente, venerunt & illi auditum, animis insidiosis & plenis malevolentia. Ut enim is, certum credo Euangelii locum enarrans, ipsum atque unum Dei filium victimam fuisse dixit, & cum patre sacrificium accepisse: captarunt continuo sermonem, B eumque totum abeuntes deriserunt; duas inde inquientes inducere Basilium substantias, si aliud nimirum immolatum fuerit, aliud acceperit immolationem. Huic opinioni tum alii suffragati sunt literis clari, tum & Soterichus, cui cognomen Panteugeno, doctrina & sermonum gravitate reliquis ea tempestate præcellens, quique episcopus Ecclesiæ Antiochenæ electus, nondum manuum imposi- C tionem acceperat. Is igitur Soterichus non ore & lingua simpliciter eorum sententiæ accessit, sed & magnifica oratione composita, ut singulari quadam similitudine Platonicos dialogos exprimebat, multa illo in sermone absurda congessit. propter quæ & ipse cathedra desponsa privatus est. * * * qui cum illo stabant. Basilius vero dignitatem quam amiserat reciperavit, quanquam & postea ite-

ρον

ρον αὖθις ἀπώλεσε ταύτην, οὐκ ὀρθὸς, ὡς ἐλέγετο, τὰ δογματικὰ φωραθείς. τὰ μὲν δὴ τῆς δογματικῆς ἐκείνης ἀμφισβητήσεως τοιοῦτον εὕρηκε πέρας. Βασιλεὺς δὲ ἐπὶ Τερόσην ἐστέλλετο. αὐτοῦ γὰρ τοῖς περὶ τὴν ἑσπέραν, ὥσπερ εἴρηται, ἠσχολημένου, καιροφυλακήσας ὁ βάρβαρος, σχεδὸν τὰς ἁπάσας τῶν ἐν Κιλικίᾳ παρεστήσατο πόλεων. Δεινὸς γὰρ εἴπερ τις ἐγένετο, ὀξύτατά τε καιροῦ παραρπάσαι, καὶ πράγματα ῥάψαι ἱκανός. Τούτου τε δὴ ἕνεκα βασιλεὺς ἐπὶ τὴν Ἀσίαν ἐχώρει, καὶ ὧν αὐτὸς ἐρῶν ἔρχομαι. Ῥαιμούνδου δὲ Ἀντιοχείας Πρίγκιπος ἐκ τῶν τῇδε μεταχωρήσαντος, ἐν μὲν τῷ παραυτίκα Κωνστάντζα ἡ αὐτοῦ γαμετὴ ἑαυτήν τε βασιλεῖ, καὶ τὰ Ἀντιοχέων ἐχείριζε πράγματα. Βασιλέως δ' ἐπὶ ταῦτα Ῥογέριον τὸν Καίσαρα, ὥσπερ ἤδη ἐμνήσθην, ἐφ' ᾧ ξυνοικῆσαι αὐτῇ στείλαντος, μεταβαλοῦσα ἐκείνη, κοινῇ τῶν Ἀντιοχέων βουλῇ Ῥενάλδῳ τινὶ γάμου κοινωνεῖ, ἐννοησάντων, μήποτε Ῥογερίῳ γεγαμημένης τῆς γυναικὸς, Ῥωμαίοις ἐς φόρου ἀπαγωγὴν αὐτοὶ πέσωσι. Οὗτος δὲ ὁ Ῥενάλδος, ἐπειδὴ δεόμενον αὐτὸν βασιλεὺς οὐ προσίετο, ἀπειλὰς δὲ μᾶλλον ἐπισείων ἐξεδειμάτου πολλὰς, δεῖν ἑαυτὸν χρημάτων ὑπολαβὼν, τοιάδε τινὰ ἐποίει. Ναῦς τεκτηνάμενος, ἐπὶ τὴν Κυπρίων ἐπλώϊζετο. Πειρατικός τε τοῖς ἐνταῦθα προσφερόμενος, περιουσίαν ἐνταῦθα δυνάμεως ἐξεπορίζετο. Ἀλλὰ τὸ μὲν πρῶτον Ἰωάννης

A rum perdiderit, utpote in doctrina, ut ajebant, non satis rectus. Hunc finem habuit illa de doctrinæ veritate altercatio. Imperator vero adversus Terosen proficiscitur: dum enim expeditionem, uti supra dictum, in Occidentem parabat, usus occasione ac tempore barbarus, omnes ferme in Cilicia civitates expugnaverat. Callidus enim erat si quis alius, acutissimeque præcipere tempora B & res innovare promtus. Illius ergo imperator in Asiam movit, ut & eorum, quæ nunc exsequar. Post excessum Raimundi Antiochiæ Principis, Constantza ejus uxor seque ipsam extemplo & res Antiochensium imperatori tradidit. Eo deinde Rogerium Cæsarem, de quo narratum in prioribus, ut illam sibi matrimonio jungeret, mittente; mutata sententia mulier Renaldo cuidam nubit cō C muni Antiochensium consilio: illud curantium, ne si Rogerio juncta esset, ipsi fierent tributarii Romanorum. Hic vero Renaldus, ubi videt se precantem ab imperatore non audiri, sed potius minis intentatis gravibus terreri, opus esse sibi pecuniis ratus, talia aggreditur. Fabricatis navibus Cyprum navigat, ibique piraticam exercens, magnam inde opum vim parat. Sed primum Joannes

ὁ τοῦ βασιλέως ἀδελφιδοῦς τὴν χώραν τότε διέπων, καὶ Μιχαὴλ ὁ Βρανᾶς, καὶ τῶν ἄλλων, ὅσοι ἐπὶ φυλακῇ ταύτης ἐτέτακτο, ἀπώσαντό τε αὐτὸν, καὶ κακῶς διέθεντο. Ἔπειτα προπετέστερον ἢ ἐχρῆν, ἐπὶ Λευκωσίαν τοῦ Βρανᾶ ποιησαμένου τὴν δίωξιν, ξυνεπλέχθη τούτῳ καὶ ὁ Ἰωάννης. ὅθεν συνέβη ἀμφοτέρους ἁλῶναι πρὸς τοῦ Ρενάλδου. Τούτων δὴ ἕνεκα βασιλεὺς ἐπὶ τὴν Κιλίκων ἐχώρει. Ἐπειδὴ δὲ πρὸς τῇ μικρᾷ Φρυγίᾳ ἐγένετο, Πέρσαις ἐνταῦθα ὑπαντιάσας, ἥττησέ τε πολέμῳ αὐτοὺς, καὶ φόνον πολὺν εἰργάσατο. τὴν παρακειμένην τε Περσῶν δῃώσας χώραν, ὡς ἐπὶ τὴν Κιλίκων ἐφέρετο, σχηματιζόμενος ἐπὶ Πέρσας δῆθεν τὸν πόλεμον ἄγειν. Τούτῳ δὲ τῷ τρόπῳ μηδὲν ὑφορώμενον τὸν Τερόζην καταλαβεῖν ᾤετο. ὅπως γε μὴν ἔτι μᾶλλον ἀπροσδόκητος αὐτῷ παραγένηται, καὶ τάδε ἐποίει. Ἀλεξίῳ μὲν τῷ Κασιανῷ, ὃς τὴν Σελευκείων τότε διεῖπεν ἀρχὴν, τὴν αὐτόχθονα ἐκέλευε ἀθροίσαντι στρατὸν ἐν παρασκευῇ ἔχειν. ὁ δὲ τὸ εὐζωνότερον ἀπολεξάμενος τῆς στρατιᾶς, τῆς ἐπὶ Σελευκείας ἠπείγετο. Τῷ δὲ ἄλλῳ Ῥωμαίων στρατεύματι, ἐνταῦθά που ἐπὶ τῆς Ἀττάλου μένοντι, ἐπιμελεῖσθαι τῶν ἵππων ἐκέλευεν. Πάθος γάρ τι τοῖς αὐτῶν πέλμασιν ἐπιγεγονὸς, ὃ δὴ τῷ ἱππείῳ ἐπισκήπτειν εἴωθε γένει, ἰσχυρῶς αὐτοὺς ἐπίεζεν. Ὡς δὲ αὐτὸς μὲν τὰ ἐπὶ Σελευκείας ἐξῆλθε πεδία, τὸ δὲ στράτευμα οὐ παρῆν, ὥσπερ ἐκέλευε, (παρημέλητο γὰρ τοῦτο πρὸς τοῦ

A imperatoris fratris filius, & Michael Branas, aliique qui præsidium illic agitabant, averterant eum ac male affecerant. inde temerarie nimis facta à Brana Leucosiam usque persecutione, simul & cum eo congressus est Joannes, & uterque à Renaldo capti sunt. Earum rerum caussa in Ciliciam imperator duxit. Postquam minorem in Phrygiam ventum est, cum Persis ibi occurrentibus si-
B gna contulit, belloque vicit & magnam eorum cædem edidit, ac circumjacente plaga pervastata, ubi speciem præbuisset quasi in Persas tranferret bellum, in Ciliciam contendit: quo modo nec opinantem Renaldum se oppressurum credebat. utque magis adhuc illi improvisus accederet, talia instituit. Alexio Casiano, qui Seleuciæ præerat, exercitum colligere indigenum atque in parato
C habere mandat: ipse expeditioribus militum delectis Seleuciam contendit. Ceteras autem Romanorum copias manere in Attalia & equos curare jussit: nam malum, cui est obnoxium equinum genus, plantis pedum acciderat, graviterque affecerat. Ut vero is campos ad Seleuciam ingressus, exercitum, sicuti imperatum erat, præsentem non invenit (neglexerat id enim Alexius) mentem alio

Ἀλέξιν) ἐφ' ἑπέροντι ἐτράπετο. ἐθέ-νει πάντῃ τὸν Τερόζην καταλήψεσθαι προθυμούμενος. Ἀλέξιον μὲν πρόσθεν ἔπεμψεν, ὅπως Τερόζην αὐτοῦ συμπλακέντα ἐνταῦθα ἐπισχεῖν δυνηθῇ. ὁ δὲ κατὰ νώτου τούτῳ ἐχώρει, οὐ πλείους πεντακοσίων ἐπαγόμενος ἀνδρῶν ὁπλιτῶν. καὶ τάχα ἂν ἡλώκει τότε ὁ Τύραννος, καὶ ὑπὸ χερσὶν ἐγένετο Ῥωμαϊκαῖς. εἰ μὴ τύχη τις αὐτὸν ἐξ ἀπροσδοκήτου διεσώσατο. Τῶν γάρ τις προσαιτούντων, οἳ πολλοὶ τοῦ Λατίνων γένους ἐπὶ Παλαιστίνην ἰόντες, ὄ- B ρη τε καὶ δρυμὰ περιτρέχουσιν ἀλῆται, καὶ οὐδὲν ὅλως τῷ πλήθει λείπουσιν ἄστιπλον, τῷ βασιλεῖ περιτυχών, στατῆρά τε ἐξ αὐτοῦ κεκομισμένος χρυσοῦ, τὴν ταχίστην ἐπὶ τὸν Τερόζην ἦλθε, καὶ αὐτῷ τὴν βασιλέως ὅσον οὔπω ἤδη ἐπήγγελεν ἄφιξιν. Ταῦτα ἐκεῖνος ἀκούσας, καταπέπληκτο μὲν, ὡς τὸ εἰκὸς, τὸν μέντοι λόγον πρὸς οὐδένα τῶν ἁπάντων ἐξενεγκὼν, ὅτι καὶ Θωμᾶν τε καὶ Κόρκην, ἄνδρας εὔνους αὐτῷ, φυγὰς ἄλλοτε ἄλλῃ φερόμενος ἐξέ- C τρεχε πανταχοῦ. Βασιλεὺς δὲ τῇ ὑστεραίᾳ ἐς τὴν Κιλίκων εἰσελάσας, αὐτὸν μὲν εὗρεν οὐδαμοῦ, τὸ ἐν Λάμῳ δὲ φρούριον ἀμαχητὶ παρεστήσατο, ἐρυμνὸν μάλιστα ὄν. Εἶτα Κίστραμον καὶ Ἀνάζαρβον πόλιν εἷλε περιφανῆ. Προϊὼν δὲ καὶ Λογγινιάδα σὺν πάσῃ τῇ περιοικίδι καταδραμὼν ἐδουλώσατο. Ὅθεν ἐπὶ Ταρσὸν μεταβὰς, ἣ μητρόπολις τῷ ἔθνει τούτῳ τυγχάνει οὖσα, αὐτὴν μὲν εἷλεν αὐτοβοεί. Τίλι δὲ κρη-

A convertit, omnibus aggredi viribus Terosen cupiens. Alexium præmittit, si forte congressum Terosen sistere ac detinere posset: ipse pone tergum sequitur, haud plures quingentis secum ducens armatos. & captus continuo inque manibus Romanis fuisset tyrannus, nisi fortuna quædam nec opinata servasset. Mendicus enim aliquis, qui multi Latini B nominis in Palæstinam euntes montesque & silvas vagabundi percurrunt, ac nihil multitudine non tritum relinquunt; obvius imperatori, accepto ab illo auri statere, ad Terosen abiit quam celerrime, & jamjam præsentem fore principem nunciavit. Quo nuncio, ut mirum non erat, perculsus ille, nulli id omnium aperire, præterquam Thomæ & Coreæ fidis sibi; fu- C giensque huc illuc nullibi consistere. Imperator postridie Ciliciam invadit, eo nusquam invento, castellum in Lamo arduum maxime sine labore superat: inde Cistramum & Anazarbum celebrem urbem capit, progressusque Longiniada cum circumjacentibus agris imperio subjicit. Inde Tarsum transiens, caput gentis, primo aditu superat; & Tili præsidium valde

 σφύγετον,

σφύγετον, μάλα ἐχυρὸν, πέμψας A ὑπὸ Ῥωμαίοις ἐποιήσατο. Ὅπως δὲ Ἀνάζαρβον, οὐδ᾽ ἂν ὑπὸ μυριάδων ἁλώσεσθαι πολλῶν εὐχερῆ οὖσαν, αὐθημερὸν αὐτὸς παρεστήσατο, δηλώσω ἔγωγε. Ἐπειδήπερ δυσάλωτον οὖσαν αὐτὴν ἔγνω, τρίβειν ἐνταῦθα τὸν καιρὸν οὐδαμῇ ἤθελεν. ὅθεν καὶ αὐτὸ μὲν ἐφ᾽ ἑτέρας ἐτρέπετο πόλεις. Θεόδωρον δὲ γαμβρὸν αὐτῷ ἐπ᾽ ἀδελφῇ γεγονότα, Βατάτζην ἐπώνυμον, ἐπ᾽ ἐκείνην ἔπεμψε πολιορκήσοντα. Ἀλλ᾽ οὔπω Θεόδωρος εἰς τὴν πόλιν ἀφίκετο, καὶ οἱ B ἐπὶ τῶν ἐπάλξεων βασιλέα προσιέναι νομίσαντες, ἐξαίσιόν τι τινα περιφοβημένοι φόβον, ἐρρίπτουν ἀπὸ τῶν πύργων ἑαυτοὺς, δυσθανατοῦντες οἱ ταλαίπωροι. ἥ τε πόλις εὐθυωρὸν τοῦτον ἡρέθη τὸν τρόπον. Ταρσὸς μὲν δὴ οὕτως ἑάλω. Τερόζης δὲ καὶ Ῥενάλδος ὁ Πρίγκιψ, ταῦτα ὁρῶντες, βασιλεῖ μὲν οὐδαμῇ διαπρεσβεύεσθαι ἐτόλμων, ἅτε μεγάλα ξυνειδότες ἑαυτοῖς κακά. ἐπὶ δὲ τῶν γνησιωτάτων αὐτοῦ τινὰς πέμποντες, ἱκέτευον ἱλάσασθαι σφίσι τὸν C βασιλέα. ὡς δ᾽ ἐπιτύγχανον τοῦ σκοποῦ, Ῥενάλδος πανταχόθεν ἐξαπορούμενος, τὴν Ἀντιοχείας ἀκρόπολιν ἐγχειριεῖν βασιλεῖ διωμολόγει, εἰ κακῶν ἀμνηστήσειεν αὐτοῦ. Συνίει γὰρ καὶ τοῦ Ἀντιοχείας ἀρχιερέως, ὃν ὁμογενῆ σφίσιν αὐτοὶ ἐφεστᾶσι, Πατριάρχην δῆθεν αὐτὸν κληΐζοντες, δυσμένειάν τινα καὶ κότον ἐπ᾽ αὐτῷ τρέφοντος, ἐξ αἰτίας τοιᾶσδε. Ῥενάλδος, ὅπερ ἤδη ἐλέγομεν, ἐσχάτην

munitum, missis eo nonnullis subigit. Qua vero ratione Tarsum, ne à multis quidem millibus capi facilem, ipse eodem quo accesserat die ceperit, narrabo. Postquam urbem difficilem expugnatu viderat, frustra ibi tempus absumere nolens, ad alias civitates deflexit. Theodorum vero affinem sororium, cognomento Batatzem, ad eam machinis oppugnandam misit. Sed nondum successerat Theodorus, cum qui in propugnaculis erant adventare principem rati; ingenti metu anxii de mœnibus se præcipites dant, mortemque sic miseri acerbam oppetunt, & civitas ipso momento in potestatem venit. Ita quidem Tarsus capta. His visis Teroses & Renaldus princeps non ausi sunt mittere legatos ad principem, utpote magnorum sibi malorum conscii. sed ad proximos illius mittentes, per hos placari principem rogabant: id ubi ad votum respondit, omnium rerum egenus Renaldus, arcem Antiochenam spondet tradere in manus principi, si is criminum suorum oblivisceretur. Noverat enim pontificem Antiochensem, quem, quod erat ejusdem generis, sibi præposuerant nomine patriarchę, inimicum sibi iratumque esse, tali ab caussa. Renaldus, ut modo dictum est, ubi

ἑαυτῷ

ἑαυτῷ πενίαν ξυνειδὼς, Κύπρον τε καταδραμεῖν διενοήθη, καὶ τὸν ἀρχιερέα τοῦτον ἰδίᾳ παραλαβὼν, χρήματα αὐτῷ δοῦναι ἠξίου, ἐν ἀπορίᾳ γὰρ εἶναι πολλῇ τοῦτον ἐγίνωσκεν. Ὡς δ' οὐκ ἔπειθεν, τῶν ἀμφίων ἀφελόμενος τὸν ἄνθρωπον, πολλαῖς μὲν αὐτῷ κατὰ τοῦ σώματος ἔξαινε πρότερον, θέρους δ' ἀκμάζοντος, μέλιτι τὰ τραύματα ἐπιχρίσας ἡλίῳ θέρεσθαι ἀφῆκε. σφῆκές τε οὖν καὶ μέλιτται, καὶ μυῖαι, καὶ τ' ἄλλα τῶν αἱμοβόρων ζωϋφίων, καθόλου γυμνωθέντος ἐγκαθίζοντα τοῦ σώματος, συνεμύζων αὐτοῦ τῶν αἱμάτων. Ὑφ' ὧν ἀπαγορεύσας ὁ ἄνθρωπος, πάντα τὸν πλοῦτον Ῥενάλδῳ παρεῖχεν ἐξενεγκών. Ὁ δὲ ἐξευμενιζόμενος δῆθεν αὐτὸν κοσμήσας συνήθως, ὑφίππιον διὰ μέσης ἦγε τῆς πόλεως, αὐτὸς ἐκποδός τε βαδίζων, καὶ τὸν ἐκ τῆς ἐφεστρίδος ἠρτημένον ἐν χερσὶ κατέχων ἱμάντα. Ἀλλ' ἐκεῖνος μὲν ταῦτα ἐποίει. ὁ δὲ οὐδὲν ἧττον ἐμεμήνιε κατὰ Ῥενάλδου, καὶ ἐζήτει καιρὸν, ὅπως ἂν ἀμύναιτο τοῦτον. Καὶ δὴ συχνὰ παρὰ βασιλέα πέμπων, προδιδόναι οἱ κατεπηγγέλετο τὸν ἄνθρωπον. Βασιλέως δὲ πρὸς τοῦτο ἀνανεύοντος, πολέμῳ γὰρ μᾶλλον ἢ δόλῳ περιγενέσθαι ἤθελε, τῆς ὁρμῆς ἀνεκόπτετο. Ῥενάλδος μὲν ταῦτα ἐννοῶν, τὰ προειρημένα βασιλεῖ ὑπισχνεῖτο. τοῦ δὲ μὴ προσιεμένου τὴν ἱκεσίαν, τοιαῦτα δή τινα ἐ-

A se in summa paupertate constitutum vidit, non modo Cyprum prędæ habere constituit, sed & pontificem in secretum abductum aggressus, pecunias sibi dari ab illo postulabat, non ignaro, quanta egestate premeretur. Ut vero non obtinuit, vestibus homini detractis, corpus multis primum verberibus cædere, & tum incalescente æstate, vulneribus melle illitis, siccandum soli exponere. B ibi tum vespæ & apes & muscæ & cetera sanguinem bibentia animalia, nudato prorsus corpori insidentia, sanguinem ejus sugere. Quibus ille tormentis adactus, prolatas omnes opes Renaldo tradidit: isque jam pacatus scilicet, vestibus illum consuetis ornavit, & equo insidentem per mediam duxit civitatem, ipse pedes, & dependens ex veste lorum manibus tenens. Sed hæc quidem ille: pa- C triarcha vero nihilo minus Renaldo infestus esse & ulciscendi illius occasionem quærere. Ideoq; missis frequentes ad principem legalis, tradere illi hominem obtulit; sed recusante imperatore, (bello enim vincere eum, quam arte aut fraude malebat) ab incœpto destitit. Ea quidem secum repetens Renaldus, supradicta cum principe pacisci parat: verum illo preces & supplicia aspernante, talia in-

 ποίει.

πίει. ἀφαιρεῖται μὲν τὴν καλύπτραν A τῆς κεφαλῆς. γυμνώσας δὲ τὼ χεῖρε ἄχρι καὶ ἐς ἀγκῶνας αὐτὰς, ἀνυπόδετος, σὺν τῶν Ἀντιοχέων πολλοῖς διὰ μέσης τῆς πόλεως προϊόμενος, ἐπὶ βασιλέα παραγίνεται. ἐξῆπτο δὲ αὐτῷ τοῦ μὲν τραχήλου καλώδιον. χειρὶ δὲ τῇ ἑτέρᾳ ξίφος ἐφέρετο. Ἦρτο οὖν τηνικαῦτα βῆμα λαμπρόν. Καὶ Ῥενάλδος μὲν ἄποθέν που τῆς βασιλείου σκηνῆς ἵστατο, ὡς αὖ μὴ θαῤῥῶν τὴν εἰσφοίτησιν. Ὁ δὲ τῶν ἀμοναχῶν μοναχῶν ὅμιλος, ἀσάνδαλοί τε καὶ ἀκα- B λυφεῖς κεφαλὰς, εἰσιέσαν ἐπὶ βασιλέα. ἐπὶ γόνυ τε ὀκλάσαντες δάκρυά τε τῶν ὀφθαλμῶν ἔπεμπον, καὶ τὰς χεῖρας ἀνέτεινον. βασιλεὺς δὲ τὸ μὲν πρῶτον ἀνένευε. παρακληθεὶς δ' ὕστερον, παρελθεῖν τὸν Πρίγκιπα ἐκέλευσεν. εἰσελθόντι δὲ, τρόπῳ τῷ εἰρημένῳ, ἐπικαμφθεὶς ἀφῆκεν αὐτῷ τὸ ἐμπεπαρῳνημα. ὅρκοις ἄλλα τε πολλὰ πιστωσαμένῳ, ὅσα δηλονότι βασιλεῖ βουλομένῳ ἐτύγχανε, καὶ δὴ καὶ ἀρχιερέα ἐκ Βυζαντίου εἰς Ἀντιόχειαν, κατὰ ἔθος, πέμπεσθαι τὸ πα- C λαιόν. Ὅτε δὴ καὶ θαῦμα κατεῖχε τοὺς, ὅσοι τηνικάδε ἐτύγχανον πρέσβεις ἐνταῦθα παρατυχόντες τῶν κατὰ τὴν Ἀσίαν ἐθνῶν. Χωρασμίων τε καὶ Σουσῶν, καὶ Ἐκβατάνων, Μηδικῆς τε τῆς ἁπάσης καὶ Βαβυλῶνος, ὡς δὴ τὸν ἄρχοντα μέγαν ἐκεῖνοι κληΐζουσι Σουλτάν. Νουραδῖνε τοῦ Βεῤῥοιαίου Σατράπου, καὶ Ἰαγουπασάν τοῦ Περσῶν φυλάρχου, καὶ Ἀβασγῶν καὶ Ἰβήρων. Ἔτι δὲ καὶ Παλαιστινῶν,

stituit. Abjecto capitis tegumento, manibus usque ad cubitum detectis, pedibusque nudis, cum vulgo Antiochensium per mediam incedens civitatem ad imperatorem pergit. Appensus erat collo funiculus, & gladius in altera manu. Erectum autem erat illic conspectum tribunal. Et ipse quidem Renaldus procul ab imperatorio tabernaculo subsistebat, utpote non ausus introitum. Turba vero monachorum non monachorum capitibus pedibusque nudis ingredi ad imperatorem, omnes in genua flexi lacrimas effundere ex oculis, manusque protendere. Primum renuit Manuel; sed iterum invocatus adesse principem jussit: ingredienti eo quo diximus modo mollitus imperator, delictum remisit, tum & alia multa, quæ imperatori videbantur, jurejurando firmanti, tum etiam hoc, ut veteri more Byzantio Antiochiam pontifex mitteretur. Magna vero admiratio tenuit omnes, quotquot eo tempore aderant Asiaticarum gentium legati; Chorasmorum & Susiorum & Ecbatanorum, Medicæque totius & Babylonis, quorum magnum præfectum Sultanum vocant; Nuradini adhæc Berrheæ Satrapæ, & Jagupasanis Persarum

καὶ

καὶ Ἀρμενίων, τῶν ἐπέκεινα Ἰσαύρων. Ταῦτα μὲν οὖν τῇδε ἐπεπράττετο. Βαλδουῖνος δὲ ὁ Παλαιστίνης ῥὴξ ἐπὶ βασιλέα πέμψας, ᾔτει τε συγγενέσθαι αὐτῷ, περὶ μεγάλων τινῶν, ὥσπερ ἔλεγε, κοινωνήσων. Ἦν δὲ σκῆψις τὸ πρᾶγμα. Τῇ γὰρ Ἀντιοχείας ἐποφθαλμίζων ἀρχῇ ἐν γειτόνων αὐτῷ καθεστώσῃ, οὐκ ἔχων ὅπως αὖ αὐτῆς τεύξοιτο, ἐπειδὴ μηκέτι τὰ κατὰ Ῥενάλδον ἔμαθε, ξυνεβούλευε βασιλεῖ μηδόλως τοῦτον μεθίεσθαι. ὡς ἂν ἢ ἐκ ποδῶν ἐκείνου γεγενημένου, Ἀντιοχεῦσιν ἅτε δι' αὐτὸν σεσωσμένοις, ὅσα καὶ δούλοις αὐτὸς χρήσαιτο, ἢ καὶ περὶ ἀμφοῖν βασιλείαν παραιτησάμενον οὐδὲν ἧττον αὐτοῖς ἐπιτάττειν. Ταῦτα βουλευσάμενος ἐν Ἀντιοχείᾳ παραγίνεται. εἰς λόγους τε Ἀντιοχεῦσι καταστὰς ὑπεμίμνησκέ τε ἐπίτηδες αὐτούς, ὅπως ἐπὶ τῷ αὐτοῖς ξυνοίσοντι ἐνταῦθα Παλαιστίνης ἀφίκοιτο, καὶ ὡς χαρίτων αὐτῷ μεγάλων ὀφείλεται τυγχάνουσιν ὄντες. τῶν δὲ ὁμολογούντων ἐδεῖτο καὶ πάλιν βασιλέως, ὅπως αὖ αὐτῷ συγγένοιτο. Ὁ δὲ συνεὶς τῆς τοῦ ἀνθρώπου διανοίας, τὸ μὲν πρῶτον ἀπένευσε, μὴ ἂν τῆς δεούσης τυχεῖν αὐτὸν ἰσχυριζόμενον φιλοφροσύνης καὶ δεξιώσεως, ἄγε ἐπὶ μέσων πολεμίων ἔργων διατρίβοντι ὁμιλήσειεν αὐτῷ. ἐγκείμενον δ' ἔτι μᾶλλον ὁρῶν αὐτόν, καὶ περὶ τῶν αὐτῶν ὁσημέραι ἱκετεύοντα,

A phylarchi, & Abaſgorum & Iberorum: denique Palæſtinorum & Armeniorum, qui ultra Iſauros. Hæc tum quidem ibi tranſacta. Ceterum Balduinus rex Palæſtinæ per legatos colloquium principis expetiit, magnas, ut ajebat, res cum illo communicaturus. Sed mera fraus negotium erat. Antiochiæ enim, vicinæ ſibi, imperio inhians, & qui apiſceretur incertus, ubi illa de B Renaldo nondum didicerat, ſuadebat principi, nullo modo hominem dimitteret è manibus; utpote qui, illo è medio ſublato, Antiochenſes, tanquam à ſe ſervatos, pro ſervis habiturum ſe: vel detrectantibus utriuſque imperium nihilo ſeciùs potiturum ſperaret. Ejuſcemodi dato conſilio Antiochiam venit, & pro concione magno retulit ſtudio, quomodo propter eorum com- C moda è Palæſtina approperaſſet: ea propter magnas ſibi ab iis grates deberi. Illis id ipſum confitentibus, iterum ſollicitare principem, ut in colloquium admitteretur. Sed is, perſpecta hominis mente, negare primum, neque enim veram ſidamque amicitiam illum expetere, qui ſe in medio belli opere occupatum congreſſu colloquioque vellet morari. Ut vero

ἐπένευσε

ἐπένδυε τι τῇ αἰτήσει, καὶ ἥκειν ἐκέλευε. A Λέγεται οὖν ὅτι ἐξιόντα τῆς πόλεως περιστάντες αὐτὸν οἱ Ἀντιοχεῖς ἐδέοντο, ὅπως αὖ αὐτοῦ δυνατὰ ἔσται βασιλέα σφίσι διαλλάξαι. Ἐν τούτῳ δὲ τοῖα δέ τινα ἐς τὴν βασιλέως συνέπεσεν αὐλήν. Ἦν τις ὑπογραμματέων αὐτοῦ Θεόδωρος ὄνομα, ἐπίκλησιν Στυπειώτης. Οὗτος ὁ Θεόδωρος, τότε ἄλλα βασιλεῖ οἰκειότατος ἦν, καὶ δὴ καὶ τὴν ἐπὶ τοῦ Κανικλείου πεπιστευμένος λειτουργίαν, ἀλλὰ σκαιός τις καὶ δύσνους περὶ αὐτόν. Φωραθείς τε B καὶ ἐξελεγχθεὶς, ὄψεών τε αὐτῶν καὶ γλώττης ὁ κακοδαίμων ἐστέρητο. Τόν τε γὰρ τῆς ζωῆς αἰῶνα ἐκμεμετρῆσθαι βασιλεῖ ἤδη, ὡς ἀπὸ τρίποδος ἀπεφοίβαζε τοῖς πολλοῖς. Καὶ χρῆν ἔλεγε τὴν Ῥωμαίων βουλὴν, μηκέτι νεανίᾳ μηδὲ σφριγῶντι τὴν ἀρχὴν παραδοῦναι, ἀλλ' ἀνδρὶ γεγηρακότι τε ἀκριβῶς, καὶ ἐξώρῳ τῆς ἡλικίας, ὅπως ἐκείνου τῷ λόγῳ ἄρχοντος, ὡς ἐν δημοκρατίᾳ τὰ τῆς πολιτείας μᾶλλον διοικοῖτο. Καὶ τὰ C μὲν κατὰ τὸν Θεόδωρον τῇδε συνέπεσε. Τότε δὲ καὶ Γεώργιος ὁ τῶν βασιλικῶν ἐξάρχων σαλπιστῶν, ὃν δὴ Πριμικήριον τῆς αὐλῆς ἔθος ὀνομάζειν ἐστὶν, ἐπίκλησιν Πυῤῥογεώργιος, οὐκ ἐπὶ μικροῖς καὶ αὐτὸς βασιλεῖ προσκεκρουκὼς, ἵλεω τε αὖθις τετύχηκεν αὐτοῦ, καὶ ἄχρει ἄλλο μὲν οὐδὲν ἐπεπόνθει, τὴν δὲ ἀρχὴν ἀποβεβλήκει ταύτην. Βασιλεὺς δὲ περιϊέναι τὸν ῥῆγα μαθὼν, ἄλλοτε ἄλλως

magis eum instare vidit & eadem in dies rogare; annuit precibus ac venire jussit. Ajunt illum urbe exeuntem circumstetisse Antiochenses, rogantes, principem sibi quantum fieri posset, reconciliare anniteretur. Interea & hæc acciderunt in aula imperatoris. Erat quidam illi scriba Theodorus, cognomen Stypeotes. Hic Theodorus tum alias familiarissimus erat principi, tum & Caniclei munere donatus: sed infidus illi infestusq; esse compertus convictusque, oculis miser & lingua privatur. Quippe circumactum jam esse spacium vitæ imperatoris velut ex Apollinis tripode apud multos vaticinabatur: ac decere ajebat Senatum Romanum neque juveni neque intemperanti imperium committere, sed ætatis provectæ viro & extremi senii; ut illo verbo tenus imperante, rempublicam, tanquam in populari regimine, melius agerent. Talia tum quidem Theodoro acciderunt. Eodem tempore & Georgius tubicinum imperatoris præfectus, Primicerium aulæ vulgo vocant, dictus Pyrrogeorgius, qui & ipse haud parum deliquerat, clementem habuit principem, nihil aliud mali passus, nisi quod munere isto exciderit. Imperator vero, intellecto regem adventare, distin-

τῶν

τῶν ἐπὶ δόξης προϋπαντᾷν αὐτῷ ἔ- A πεμπε, καὶ ἀεὶ τοὺς ἐπιδοξοτέρους κατόπιν, ἄχρι καὶ τῶν ἐπ' ἀδελφιδαῖς αὐτοῦ γαμβρῶν, προσερεῦντας αὐτῷ, καὶ τὰ εἰκότα τιμήσοντας, ἕως παρ' αὐτὸν βασιλέα ἦλθεν. Ὁ μὲν οὖν οὕτως ἀξίως τοῦ Δαβὶδ θρόνου καὶ ἐτίμα καὶ ἐδεξιοῦτο τὸν ἄνθρωπον. Ὁ δὲ τούτοις κατεπαρθεὶς, εἴτε καὶ ξύμφυτόν τινα τρέφων ἀλαζονίαν, ἐπειδήπερ εἰς τὴν βασίλειον παρῆλθεν αὐλὴν, ὑπό τε τῶν βασιλείων ῥαβδούχων, καὶ Ῥωμαίων τῶν ἐπὶ δόξης παραπεμπό- B μενος, ἐνταῦθα τοῦ ἵππου ἀπέβη, ἔνθα καὶ βασιλεὺς αὐτὸ ποιεῖν εἴθιστο. Ἐφ' οἷς ἀγερωχίαν αὐτοῦ καταγνοὺς βασιλεὺς, πολλὰ τῶν ἔτι μᾶλλον εἰς τιμὴν ὁρώντων ἐνέλιπεν αὐτῷ. Εἶδε δὲ ὅμως αὐτὸν καὶ προσεῖπεν, ἕδραν δέ τινα χθαμαλὴν καθίζησθαι παρέθετο. συνωμίλησέ τε πολλάκις αὐτῷ καὶ ἐν συσσιτίῳ παρέλαβεν. Ἐπεὶ δὲ οὐκ ἤρεσκεν Ἀντιοχεῦσι τῶν Ῥενάλδῳ ὡμολογημένων, ἥ τε δύναμις, μεθ' ἧς βασιλεῖ συμμαχεῖν ἔμελ- C λον, ἅτε ἀπερρυηκυίας τῇ πόλει τῆς πάλαι ἰσχύος, καὶ τὸ ἀρχιερέα ἐκ Βυζαντίου ἐπὶ Ἀντιοχείᾳ στέλλεσθαι, καὶ ἦλθον τούτων ἕνεκα βασιλέως δεησόμενοι. Βαλδουῖνος καὶ ὑπὲρ τούτου τὸν βασιλέα παρῃτεῖτο, οὐ σφόδρα δὲ ἀναινόμενον γνοὺς, καὶ περὶ τῶν ἰχνῶν αὐτοῦ τοὺς πρέσβεις ἐῤῥίπτει. Ὁ δὲ ὁπότερον τοῖν δυοῖν μᾶλλον Ῥωμαίοις τιμὴν φέρει διεννοησάμενος, τὸ μὲν σὺν ἐλάσσονι στρατεύειν δυνά-

A ctis locis alios alibi viros honoratos ei obviam venire jussit, & post hos continenter honoratiores, usque ad sororios affines, qui eum alloquerentur, & , ut æquum erat, colerent, donec ad ipsum pervenisset. Ita ille & Davidis thronum veneratus est, & hominem excepit. Quibus is elatus, sive insita etiam superbia inductus, postquam ad prætorium, viatoribus principis & nobilissimis quibus- B que Romanorum deducentibus eum, pervenisset, eodem, quo imperator consueverat, loco ex equo descendit. Inde cum fastum ejus & insolentiam agnovisset imperator, multa ad majorem honorem pertinentia intermisit. Nihilominus vidit eum & allocutus est, & sede humiliori considere jussit; sæpe etiam usus eo est familiariter, sæpe conviviis quoque adhibuit. Ut vero non placuerunt An- C tiochensibus Renaldi pacta, de copiis nimirum, quibus principem adjuvaret (quippe antiquis civitatis viribus imminutis) & pontifice Byzantio petendo; venerunt & ipsi iis de rebus imperatorem supplicaturi. Balduinus quoque eadem rogabat principem, & nec difficilem exoratu videns, concidere ad genua legatos jussit. Is vero pensitato, utra res magis honori esset Romanis, ut minorem ma-

μαι, αὐτίκα ἔδωκε. Τότε γὰρ ὑπὲρ A ἰσχὺν ἀπαιτούμενον ἐφεπομένην ὡς τὰ πολλὰ τὴν παράβασιν ἔχει, καὶ ἄλλως ἀρκεῖ πρὸς δουλείας ἔνδειξιν, καὶ τὸ πλέον ἐστὶν οὐ προσγινόμενον. ἀρχιερέα δὲ ἄλλοθέν ποθεν, ὅτι μὴ ἐκ Βυζαντίου εἶναι, οὐκ ἔφησε καταδέξασθαι. ὅπερ ἄσμενοι ἐκεῖνοι δεξάμενοι, ἐς τὴν πόλιν ἀπηλλάττοντο. Τὰ μὲν δὴ κατὰ τὸν Ῥενάλδον ἐνταῦθα τὸ πέρας ἔσχε. Βασιλεὺς δὲ ἐπὶ Τερόζην ἰέναι λοιπὸν διενοεῖτο. ὁ δὲ τὸ μὲν πρῶτον ἐπιχώρους τε ἐρή- B μους, καὶ τὰ ὄρη ἐξέτρεχε τὰ Ταυρικά, εἶτα Βαλδουίνου καὶ περὶ αὐτοῦ τὸν βασιλέα ἱκετεύσαντος, ἦλθε κἀκεῖνος ἐν τῷ Ῥωμαίων στρατοπέδῳ ἱκέτης ἐλεεινός. Βασιλεὺς δὲ αὐτὸν προσηκάμενος, δούλοις τε τῶν Ῥωμαίων ἐνέγραψε, καὶ τὸν πόλεμον λοιπὸν ἔλυσεν. Ἀντιοχεῖς τοίνυν ἐπειδὴ τῆς πόλεως ἐπιβαίνειν ἤδη βασιλεὺς ἔμελλεν, ἔδεισαν μὲν ὡς τὸ εἰκός, μήποτε Ῥωμαίων δυνάμεις ἔνδον εἰσφρήσασαι, ἐκεῖθεν αὐ- C τοὺς ἐξελαύνειν πειράσονται. Οὐκ ἔχοντες δ' ὅπως τὴν βασιλέως ἀποτρέψωσιν ὁρμήν, σκήψεις οὐχ ὑγιεῖς τινὰς ἀναπλάσαντες προσῆγον αὐτῷ. Αἱ δὲ ἦσαν, ὡς ἄρα τῶν τινες παρ' αὐτοῖς τολμητίαι συνθοῖντο, ἐπειδὰν βασιλεὺς ἐπὶ τὴν πόλιν εἰσέλθοι, ἄνοπλος δὴ πάντως, οὐ γὰρ ἐπέοικεν ἄλλως, ἐπιβουλῇ τινὶ κατ' αὐτοῦ χρήσασθαι. Ἀλλὰ βασιλεὺς τὸν δόλον ξυνιδὼν, οὐκ ἐ-

A num ad militiam conferrent statim permisit. Nam quod supra vires dediticiis imperatur, proximam ut plurimum à tergo defectionem trahit, nihilque juvat ad servitutis demonstrationem, & ne minimum quidem potentiæ adjungit. pontificem autem aliunde quam Byzantio assumi, negabat se permissurum. Id illi libenter accipientes in civitatem redeunt. Et de Renaldo quidem hujuscemodi. B Princeps vero ad Terosen pergere instituit; isque primo loca deserta & montes Tauricos pervagari, usque dum, Balduino & pro ipso apud imperatorem intercedente, in castra venit Romana supplex miserabilis. Princeps eum admissum servis imperii Romani adscripsit, atque inde bellum diremit. Sed enim Antiochenses, ubi civitatem illorum intraturus esset imperator, timere haut injuria, ne intro- C missæ Romanorum copiæ, ipsos è civitate ejicerent. Ambigentes vero, qua ratione principem à proposito abducerent, haud sanos commenti prætextus ad eum retulerunt. Erant vero hi: quosdam apud se audaculos constituisse, cum in urbem veniret imperator inermis (aliter enim ingressurum non putabant) ex insidiis illum impetere. Sed advertens dolum imperator, locum non fore fraudi re-

φη

φη χώραν ἕξειν τὸ πλασσόμενον, A καὶ κατέλεγεν ὑπολαβὼν τοῖς ἀμφ᾽ αὐτὸν, ὅπως ἀδύνατα ἐστὶ ταῦτα, διά τε ἄλλα, καὶ οὐχ ἥκιστα, τὸ, τὸν μὲν ῥῆγα πολλῷ ἄποθεν τοῦ βασιλέως ἀνόπλιστον μέλλειν προσίεσθαι σώματος. Ῥενάλδον δὲ καὶ τοὺς ἄλλους περὶ τὰ φάλαρα τῶν ἵππων, καὶ τοὺς τῆς ἐφεστρίδος πονεῖσθαι ἱμάντας, πεζῇ τε χωροῦντας, καὶ ὅπλου ἄνευ παντός. Αὐτὸν γε μὴν τὸν βασιλέα πολλήν τινα πελεκυφόρων βαρβάρων ὅμιλον περιέπειν, ὥσπερ ἔθος ἐστί. Τοὺς μὲν δὴ λόγους τούτους οὕ- B τως ἀπεδοκίμαζεν. Εἰς δὲ τὴν πόλιν εἰσελαύνειν μέλλων, διττοὺς περιέθετο θώρακας, ἀκαμάτῳ σώματος ἰσχύϊ πρὸς τοῦτο ἐναγόμενος. Ὁ δὲ καὶ κάνδυν πρὸς τούτοις κατάλιθόν τινα περιέκειτο, ἄχθος τῶν ἔνδον οὐκ ἔλαττον. καὶ στέφος, καὶ τἄλλα τῷ βασιλεῖ ἐξ ἔθους. Ὃ δὲ θαυμάζειν ἔχω, τοῦ θριάμβου τρόπον, ὃν ἐν Βυζαντίῳ τελεῖσθαι εἴωθε, τελεσθέντος ἤδη, ἐς τὸν Πέτρου τοῦ Ἀποστόλου καταντήσας νεὼν, κοῦφα τε ἀπέβη τοῦ ἵππου, καὶ C αὖθις ἐπιβαίνειν μέλλων, σὺν ἅλματι ἀνέθορεν, ὥσπερ οὐδὲ τῶν ψιλῶν τις καὶ ἀνόπλων. Ὅτε δὴ ὁ τῆς πόλεως ἀρχιερεὺς ὑπηντίαζε τούτῳ τὴν ἱερατικὴν ἀμπεχόμενος στολὴν σὺν τῷ ἱεροπόλων τῷ πλήθει παντί. ἐχειρίζοντο δὲ τύπους σταυρικοὺς, καὶ τὰ ἱερὰ προὔφερον λόγια, ὡς ἐκπεπλῆχθαι τὸ ξένον ἅπαν καὶ ἔπηλυ, ὁρῶν πρὸς τούτοις, Ῥενάλδον μὲν, καὶ τοὺς ἐπὶ δόξης Ἀντιοχέων, ποσὶν ἀμφὶ τὸν βα-

spondit; & mox subjiciens refert circumstantibus, quam illa sint impossibilia, tum propter alia, tum id maxime, quod rex inermis quidem & procul ab imperatoris corpore incederet; Renaldus & alii circa phaleras & vestis cingula occupati, pedibus irent sine ullis armis; imperatorem vero magna, uti moris est, barbarorum bipenni ferorum turba stiparet. Ita sermonem illorum refutavit. Civitatem autem ingressurus, duplicem induit thoracem, indefessis corporis viribus ad sustinendos exercitus; vecte insuper Serica, lapidibus distincta, circumcingitur, non minore interioribus thoracibus; additur & corona & alia quæ assolent ornamenta imperatoria. Quod vero miror, eodem modo, quo Byzantii solebat, peracto triumpho, cum ad Petri Apostoli venisset, equo celerrime desiliit, iterumque conscensurus, saltu reliit in eundem, quod vel leviter armatorum aut inermium vix aliquis potuisset. Tum illi occurrit pontifex civitatis stolam sacerdotalem indutus cum omni sacrificulorum agmine, manibus crucis figuras ternentium & sacra oracula præferentium, ad stuporem hospitum advenarumque, cum viderent adhæc Renaldum & nobilissimos Antiochensium, pedibus

σίλειον περιθέοντες ἵππον. Βαλδουῖνον δὲ ἄνδρα στεφηφοροῦντα μακρὰν ἄπωθεν, ἔφιππον μὲν, παντάπασι δὲ ἀσήμαντον, περιϊόμενον. Ὁ μὲν δὴ θρίαμβος ἐπὶ τούτοις τετέλεστο. Βασιλεὺς δὲ ἐπὶ ὀκτὼ τῇ πόλει παραμείνας ἡμέρας, ἐκεῖθεν ἀπήλαυνε. Τοσαύτην γε μὴν δουλοπρέπειαν Ἀντιοχεῖς εἰς αὐτὸν ἐπεδείξαντο, ὥστε αὐτοῦ τοῖς Ῥενάλδου ἐνδιατρίβοντος δόμοις, οὐδεὶς οὐδεμίαν τῶν ἀμφιβαλλόντων παρὰ τοῖς ὁμογενέσιν ἐδικάσατο δίκην, ὅτι μὴ παρὰ Ῥωμαίοις. Ταῦτα κατορθωκὼς βασιλεὺς, ἐπὶ Νουραδὶν ἰέναι συνεσκευάζετο. Ἀλλ' ἐκεῖνος τὴν ἔφοδον γνοὺς, τὸν Σαγγέλη τε ἔλυσεν υἱέα, ἄνδρα Ἰταλὸν, καὶ τὸν τοῖς ἐν Παλαιστίνῃ ἐφεστῶτα ἱππεῦσιν, ὃν Τεμπλουμαΐστορα Λατῖνοι ὀνομάζουσι, ἐπισημοτάτους ἄμφω, πρὸς δὲ καὶ τῶν εὖ γεγονότων πολλούς. τοῦ γε μὴν ἀγελαίου καὶ σύγκλυδος ὄχλου, εἰς ἑξακισχιλίους μάλιστα, οἳ ἐκ τῆς Ἀλαμανῶν καὶ Γερμανῶν ἐτύγχανον ἐζωγρημένοι τούτῳ στρατιᾶς, ὁπηνίκα ἐκεῖνοι ἐπὶ Ἀσίαν ἐστράτευον. Ταῦτα Νουραδὶν ἐποίει, πρὸς δὲ καὶ συνδιαφέρειν βασιλεῖ, τὰς ἐν Ἀσίᾳ διωμολόγηκε μάχας. Ὑφ' οἷς προσδεξάμενος αὐτὸν, ἀπέσχετο τοῦ σκοποῦ. Ἀλλ' ὀλίγῳ ὕστερον καταλύειν ὡρμήθη τὰ δεδογμένα, οὐ μὴν καὶ πέρατι τὸν σκοπὸν ἔδωκεν, ὡς δῆλον ἑξῆς γενήσεται. Σαρακηνῶν γὰρ ὅ-

A equum circa imperatorium incedentes; Balduinum vero, virum coronatnm, procul à tergo equo quidem vehentem, ceterum nullis honorum insignibus conspicuum. In hunc modum transactus est triumphus. Imperator autem octiduum in urbe intermoratus, abscessit. Tantam vero ei humilitatem exhibuerunt Antiochensens, ut in ædibus ipso Renaldi divertente, nemo circumstantium ullam apud amicos, nedum Romanos, controversiam moverit. B His rebus cite confectis, imperator ire ad Nuradin parat. Sed ille adventu cognito, Sangele filiũ solvere Italici nominis virum, & præfectum equitum in Palæstina, quem magistrum Templi Latini vocant, ambos homines claros: insuper & alios addere nobiles, gregariæ autem & passim collectæ multitudinis maxime ad sex millia, quæ ceperat de Alamannorum & Germanorum exercitu, quo tempore C bellum isti in Palæstina gerebant. Hæc tum agebat Nuradin; ac præterea secuturum se ad bella Asiatica principem pollicebatur. Quibus illum conditionibus admisit imperator & à proposito destitit. Paullo post autem illum pactorum cum subdolo hoste pœnituit: quæ cum tollere vellet, impeditus est, ut mox demonstrabitur. Saraceno-

μιλος

μιλος, τοῦ Νουραδὶν μηδὲν ξυνειδότος, προσλοχήσαντες Ῥωμαίων, τῶν ἐπὶ χορταγωγίαν ἰόντων, ἐκάκωσαν τινάς. Ὁ γοῦν βασιλεὺς, ἐνέδρας καὶ αὐτὸς ἐν ἐπιτηδείῳ που τοῦ χώρου ἐκείνου στησάμενος, ἅμα ἡμέρᾳ καὶ αὐτὸς συνεπιτίθεται τούτοις, μηδὲν προϊδοῦσιν. Ἐπεὶ δὲ ἐτρέψατο, κυνηγεσίων ἐπιθυμήσας, ἐξῄει περὶ τοῖς ἀνωτάτω πεδίοις Συρίας θηράσων. πρᾶγμα κατὰ τοὺς νῦν χρόνους καὶ ἀκουσθῆναι φοβερόν. Προῄεσαν τοίνυν αὐτοῦ ἄνδρες, οἷς ἔργον κοίτας θηρῶν ἀνιχνεύειν, οὐ πλείους τῶν ἕξ· ἀλλ' οὔπω ἐπὶ πλεῖστον προῆλθον, καὶ τέσσαρες καὶ εἴκοσι πολεμίων ὁπλοφόροι παρεφάνησαν τούτοις, ἔργον ποιούμενοι, ὅπως Ῥωμαίων τινὰς δόλῳ ἐπὶ τὴν κατὰ νώτου ἐλλοχῶσαν παρελκύσωσι στρατιάν. ἅμα τε οὖν εἶδον οἱ θηρεσκόποι ἐκεῖνοι, καὶ ἅμα ἐς τὸ τοῦ παρὰ πόδας αὐτοῖς ποταμοῦ ῥεῦμα καθῆκαν ἑαυτοὺς, διανηξάμενοί τε ἐπὶ βασιλέα ἦλθον, τὰ συμπεπτωκότα σφίσι μηνύοντες. Ὁ δὲ πρὸς τὴν ἀκοὴν οὐ διαταραχθεὶς, ἄγομεν, ἔφη, ἔνθα τοὺς πολεμίους εἶναι φατέ. Τῶν δὲ ὀκνήσει πολλῇ ἐχομένων, αὐτὸς ὅλῳ τῷ ἵππῳ ἐπιτρέψας χαλινὰ, τὴν ἐπὶ τοὺς πολεμίους ἐφέρετο. Ἐξάπινα τοίνυν Σαρακηνῶν στρατιὰ τῶν τῇδε ὑπερκύψασα χωρῶν, μυριοπληθὴς ἐξεφάνη. Ὁ δὲ μηδὲν ὑποστειλάμενος, σὺν ῥύμῃ πολλῇ παρὰ μέσους εἰσπίπτει ἄνδρας ὁπλίτας, οὕτω πολλοὺς καὶ δὴ τρεψάμενος αὐτοὺς,

rum enim manus, inſcio Nuradine, euntibus pabulatum Romanis inſidiantes, graviter nonnullos afflixerunt. quod ubi imperator cognovit, & ipſe loco maxime idoneo inſidias locat ac prima luce nec opinantes aggreditur. Iis in fugam conjectis, venandi tactus deſiderio, in ſuperiora Syriæ loca venatum exit. rem auſus hac etiam tempeſtate auditu horribilē. Præcedunt igitur haud pluſquam ſex viri, quibus mandatum erat inveſtigare ferarum cubilia; nec longum adeo erant progreſſi, cum quatuor & viginti hoſtium armati in conſpectum veniunt, operam dantes, ut Romanos aliquot dolo ad poſitum à tergo in inſidiis exercitum pertraherent. Simul hoc viderunt illi ferarum indagatores, ſimul in profluentem ante pedes amnem præcipitant; & poſtquam tranaſſent, veniunt ad imperatorem, quæque ſibi accidiſſent memorant. Verum is nihil utique hoc nuncio perturbatus, *agedum*, inquit, *quo loco eſſe hoſtem dicitis?* Sed enim illis metu magno conſternatis, totis equo remiſſis habenis in hoſtem fertur. Itaque derepente innumerum Saracenorum exercitum iis in locis exſurgentem vidit; nec cunctatus tamen, magno impetu in medios tanto numero armatos irruit; iiſque a-

οὐ πρότερον διώκων ἐπαύσατο, πρὶν A
ἐντὸς φρουρίων, ἅπερ ἐνταῦθα ἵδρυνται, εἰσέπεσον φεύγοντες οἱ πολέμιοι. νεκρῶν τε ἐπλήσθη τὸ πεδίον ἐκεῖνο. διὰ ταῦτα μὲν ἂν ἐπὶ τὸ στρατόπεδον ἀναχωρήσας, τὰ δεδογμένα ὥσπερ εἴρηται διαπρᾶξειν ἤθελεν. ἀλλὰ φῆμαι τινὲς ἐξ ἑσπέρας ἐπιστᾶσαι, αἳ δὴ νεωτερισθῆναι τὰ τῇδε διήγγελλον, διεκώλυσαν τοῦτον τῆς ἐγχειρήσεως. Τότε καὶ Βαλδουίνῳ κατεάγηκεν ἡ χεὶρ, ἀπ' αἰτίας τοιᾶσδε. θηρευομένῳ ἐνταῦθα τῷ βασιλεῖ παρῆν καὶ αὐτὸς τοῦ γυμνασίου B
κοινωνός. Τοῖς γὰρ ἄλλοις πᾶσιν ἐκπεπληγμένος τὸν αὐτοκράτορα, καὶ τοῦτο τὸ μέρος εἴγε δόκιμος εἴη ἤθελε γνῶναι. Ταῖς τοίνυν τοῦ βασιλέως συνεπεκτείνεσθαι καὶ αὐτὸς φιλοτιμούμενος ὁρμαῖς, δαιμόνιόν τινα περὶ ταῦτα στρεφομένου τρόπον, ἔλαθε σὺν τῷ ἵππῳ καταλισθήσας, τήν τε χεῖρα, ὥσπερ εἴρηται, κακῶς ἔπαθεν. ἣν ἐν τῷ παραυτίκα καταδήσας βασιλεὺς, τὰ εἰκότα τε ἐπιμελησάμενος, ὀλίγαις ὕστερον ἀπήλλαξεν ἡμερῶν. Ἦν γὰρ καὶ τά γε C
τοιαῦτα πολλοὺς τῶν διὰ βίου περὶ τὴν ἰατρικὴν ἀναστραφέντων παρελαύνων τέχνην. Ἀμέλει καὶ φλέβας εἶδον αὐτὸν ἔγωγε τέμνοντα, καὶ φάρμακα νοσοῦσι τεχνιτῶν ἀπορίᾳ παρεχόμενον, ἤδη δὲ καὶ πολλὰ τῶν Ἀσκληπιαδῶν συνεισενεγκάμενον ἐπιστήμῃ, ἅπερ ἄγνωστα ταύτῃ τοῦ παντὸς ἔμεινεν αἰῶνος, τῶν ὅσα ἐπιχεῖσθαι πέφυκε, καὶ ὅσα ποτά. ἃ καὶ ἔξεστι τῷ γε βουλομένῳ ἐκ τῶν κοινῶν ἀναλέγεσθαι νοσοκομείων, ἃ ξενῶνας κα-

versis, insequi non prius abstinuit, quam in adjacentia castella fugiens hostis incidisset: isque campus occisorum corporibus opertus est. Ob hęc igitur ad exercitum reversus, solvere pacta, ut dixi, voluit; sed allati ex occidente rumores, res ibi innovari nunciantes, ab incœpto detinuere. Eodem tempore & Balduinus manum fregit, ejusmodi ab caussa. Venanti iis in locis principi & ipse socius exercitii aderat. Nam qui in omnibus aliis admiraretur imperatorem, num & hac parte excelleret, cognosse gestiebat. Itaque agilitatem & pernicitatem principis, mire in his exerciti, imitari contendens, imprudens cum equo concidit, &, uti dixi, manum graviter lædit. quam in præsentia alligans imperator, & convenientia admovens remedia, paucis post diebus sanat. In his enim superabat illorum artem, qui se per omnem vitam in medicina exercuissent. Imo & venas egomet secantem vidi, & pharmaca ægrotis, medicorum penuria, præbentem: adhæc multa Asclepiadarum scientiæ addidit, tam fomenta, quam potiones, quæ illi incognita tot seculis fuerant. & cui id lubitum est legere hæc poterit in nosocomiis, quæ vulgo Valetudinaria vocant. Atque ea quidem hujusmodi.

λεῖσθαι

λεῖσθαι ἔθος ἐστίν. Ἀλλὰ ταῦτα μὲν ἐς τοσοῦτον. Ὁ δὲ βασιλεὺς τῆς ἐπὶ Βυζάντιον λοιπὸν ἐμέμνητο. ὡς δὲ τὴν ἐπιτομωτέραν ὁδεύσοι, Παμφυλίας ἀφέμενος, Λυκαονίας μέσης τὸν στρατὸν ἦγε, καίτοι πολλὰ πρὸς τοῦτο τοῦ Σουλτὰν ἀντιλέγοντος. Ἐπειδὴ γοῦν Ἀράνδης ἀγχοῦ πόλεως ἐγένετο, καταπλαγέντες οἱ Πέρσαι ᾤχοντο φεύγοντες, οἰόμενοι αὐτίκα Ῥωμαίους Ἰκονίῳ προσλαβεῖν. ὡς δ᾽ οὐδὲν αὐτοῖς πρὸς τῶν Ῥωμαίων ἄχαρι ἐγένετο, ἀναθαρσήσαντες καὶ τῶν ἐπιτηδείων ἐκφέροντες ἄφθονα τούτοις παρεῖχον. Ἀλλ᾽ οὐκ ἦν μέχρι παντὸς Πέρσαις τὸν ἐντρεφόμενον σφίσι χόλον κατασχεῖν. Ἀμέλει καὶ ἐν Κοτυαείῳ γεγονότων ἤδη Ῥωμαίων, τισὶν αὐτῶν τοῦ λοιποῦ στρατεύματος ἀπορραγεῖσιν ἐπιθέμενοι, ἔκτεινάν τε καὶ ζωοὺς εἷλον. Ὁ δὲ βασιλεὺς τότε μὲν ἐπὶ Βυζάντιον ἦλθε, θρίαμβόν τε καταγαγὼν μέγιστον, καὶ Θεῷ τὰ ἐπινίκια θύσας, ἐν Παλατίῳ κατήχθη. Ὀλίγῳ δὲ ὕστερον Πέρσας ἀμύνασθαι τῆς ἐς αὐτὸν παροινίας διανοηθεὶς, ἐς τὰς Κυψέλλων πεδιάδας τὸν στρατὸν ἤγειρεν. Ἐν τούτῳ δὲ ἐπὶ τοὺς ἐν Ἀσίᾳ ἀρχάς τινας διέποντας Ῥωμαίων πέμψας, ἐκέλευε κατὰ τακτόν τινα χρόνον ἄλλοθεν ἄλλον ἐμβαλεῖν εἰς τὸ Περσικόν. Ἐποίει δὲ ταῦτα, ὅπως ἕκαστοι Περσῶν ἐπιβοηθεῖν ἀλλήλοις ἀδυνάτως ἔχοιεν. ὅπερ εἰς ἔργον ἐκβὰν μεγάλως τὴν Περσῶν ἐλύπησε. Βασιλεὺς δὲ ἐπεὶ ἀμφὶ τροπὰς ἤδη χειμερινὰς ὁ ἥλιος

A Inde Byzantium cogitans imperator, ut brevissimum iter proficisceretur, relicta Pamphylia, per mediam Lycaoniam exercitum egit, licet multum obnitente Sultano. Ubi ergo ad Aranden civitatem ventum est, consternati Persæ in fugam se effundere, Iconio statim admotum iri Romanum exercitum rati: sed postquam nihil iis ingrati evenit, recollecto animo, prolatum affatim commea-
B tum iis obtulerunt. Non potuere autem Persæ conceptam indignationem prorsus continere: adeoque cum jam Cotyæum pervenissent Romani, nonnullos eorum à cetero exercitu sejunctos aggressi, partim occiderunt, partim vivos ceperunt. Imperator autem Byzantium rediit, peractoque triumpho ac supplicatione propter victoriam deo habita, palatium ingressus est. Haud magno interjecto tempore,
C ulcisci Persas ob illatam sibi contumeliam cogitans, Cypsellorum apud campos exercitum contrahit: interque hęc ad Romanos, qui in Asia præfecturas obtinebant, misit, ut certo quodam tempore alius alia Persarum fines invaderent: hoc autem eo, ne quivis Persarum subvenire aliis aut opem ferre possent. quod ubi factum est, graviter rem Persicam affecit. Imperator vero, quia solstitium hibernum

ἐγένετο,

ἐγένετο, διὰ τοῦ Ἑλλησπόντου πορθμοῦ A ἐπὶ Ἀσίαν διαβὰς, ἄχρι Δορυλαίου ἦλθε, περὶ ἄμφω τὼ ποταμὼ, ὧν ὁ μὲν Βαθὺς πρὸς τῶν ἐγχωρίων, Θύαρις δὲ ἅτερος ὀνομάζεται, τὴν περιοικίδα τε πᾶσαν καταδραμὼν, μυρίαν ἐκεῖθεν ἀνδρῶν καὶ ζώων ἄλλων ἤλασε πληθύν. Πέρσαι δὲ τῆς τῶν σφετέρων αἰσθόμενοι ἀπωλείας, κατὰ συστήματα καὶ λόχους ἤδη προφαίνεσθαι ἤρξαντο. Βασιλεὺς δὲ τὸν μὲν ἄλλον Ῥωμαίων στρατὸν ληϊσόμενον τὰ ἐν ποσὶν ἔπεμψεν. Αὐτὸς δὲ B ἐπὶ τὰ ἀπωτάτω τῶν τῇδε χωρίων ἀναδραμὼν, σὺν ὀλίγοις τῶν περὶ αὐτὸν ἀναλείνειν τὰς βασιλείους ἐκέλευσε φόρμιγγας, δέος ἐντεῦθεν ἐμποιεῖν τοῖς πολεμίοις μηχανώμενος, βασιλέα τοῦ πολέμου τοῦγε στρατηγεῖν οἰηθεῖσι. Πολλὰ γὰρ πολλάκις αὐτοχειρίᾳ κατὰ τῶν βαρβάρων τούτων χρησάμενος, εἴποτε λοιπὸν ἀπροσδόκητος αὐτοῖς ἐξεφάνη, σκηπτὸς μονονοὺ τούτοις ἐδόκει, καὶ ὑπεχώρουν μηδὲν αἰδεσθέντες. Χιλιάδες φασὶν C ἂν οὕτω τύχῃ, καὶ μυριάδες ὁπλοφοροῦντες ἄνδρες καὶ σιδηρόφρακτοι. Ταῦτα ἐμοίγε εἰς ἀκοὴν πίπτοντα, ἧττον ἀληθῆ ἐδόκει. ὥσπερ οὐδὲ τὰ Φωκᾶ καὶ Τζιμυσκῆ ἔργα, τῶν οὐ λίαν ἀρχαίων τούτων αὐτοκρατόρων, ἢ εἴτινες ἄλλοι παρ' αὐτοὺς ἐπ' ἀνδρείᾳ ὄνομα ἔσχον. Εἶναι γὰρ πέρα πίστεως, ἀνδρὸς ἑνὸς ὅλας ἡττῆσθαι χιλιάδας, καὶ δόρατι ἑνὶ μυριοπληθεῖς καταγωνίζεσθαι πανοπλίας. Ὅθεν εἰ καὶ τοῖς

A jam imminebat, per fretum Hellespontiacum in Asiam trajecit, & ad Dorylæum venit, duosque fluvios, quorum alter Bathys ab incolis, alter Thyaris vocatur: ac pervastata omni circumjacente plaga, infinitam inde hominum pecorumque egit multitudinem. Verum Persæ rerum suarum direptionem videntes, jam se turmatim ostendere incipiebant: & imperator reliquo exercitu ad obvia B quæque depopulanda misso, ipse cum paucis suorum in loca remotiora proficiscens, occinere tubas imperatorias jubet, metum sic admovere hostibus commentus, bellum id à principe duci putantibus. Multa enim propria in hostem manu gerens, si quando eximproviso appareret, quasi fulmen videbatur: atque illi, nihil etiam eo erubescentes, retro cedebant. Factum sic ajunt à millenis, imo C decies millenis armis ferroque indutis militibus. Hęc mihi cum narrata sunt, minus vera videbantur: neque enim tanta fuerunt Phocæ & Tzimuscæ, non adeo veterum imperatorum, opera, aut si qui alii inter illos à virtute nomen acceperunt. Supra fidem namque credebām, unum hominem aliquot millia superare, unaque hasta infinitam armatorum multitudinem profligere. Quapropter cũ

τοῖς

τῆς βασιλείοις ἐπιχωριάζων αὐλαῖς, τὰ τηλίκα τῶν ἔργων ἀποθειαζόντων ἀκήκοα, τῷ βασιλεῖ ἰλιγγιῶντας, συλλόγου ἀπεπήδων. φύσει γὰρ πρὸς κολακείαν ἄξεστον ἐμπέφυκέ μοι τὸ ἦθος. Καὶ οὐκ ἂν οὐδὲ ῥῆμα σμικρὸν ἑκὼν ἱέναι προείμην, ὅτι μὴ σὺν ἀληθείᾳ καὶ στόματι ἐλευθέρῳ. Τὰ δὲ τοιαῦτα τοῖς ἐν ταῖς ἀρχαῖς ἀεὶ πρὸς τοῦ δόμου καὶ τῶν ἐν τέλεσι καταχαρακτηρίζεσθαι εἴων, ἕως εἰς ὄψιν ἦλθέ μοι τὰ τοῦ πράγματος, ἐν μέσοις καὶ αὐτῷ πολεμίοις οὕτω τυχὸν περιειλημμένῳ, κἀκ τοῦ σχεδὸν ὁρῶντι τὸν αὐτοκράτορα τοῦτον φάλαγξιν ὅλαις ἀντικαθιστάμενον Περσικαῖς. Ἀλλὰ ταῦτα μὲν κατὰ καιρὸν ἡ ἱστορία διηγήσεται· τὸ δὲ νῦν τῶν προτεθέντων ἐχώμεθα. Εἶχε μὲν τὸν βασιλέα τὰ τῶν χώρων ἐκείνων ὑψηλά. Ὁ δὲ Ῥωμαίων στρατὸς ἐνδοτέρω ἤδη χωρήσας, ἔλαθε στρατεύμασι Περσικοῖς ἐξ ἀπροσδοκήτου περιτυχών. Ἀγχεμάχου τοίνυν γινομένης τῆς προσβολῆς, ἐπειδὴ πονεῖσθαι τὸ Ῥωμαϊκὸν ἤρξατο, αἰσθόμενος ὁ βασιλεὺς, ἀπὸ ῥυτῆρος ἐπ᾽ αὐτοὺς ἤλαυνε, μήτε θώρακα ἐνδὺς, μήτε τῶν τῶν ἄλλων ὅτι μὴ ἀσπίδι φραξάμενος. Ταχὺ γοῦν ἐς μέσους εἰσωθήσας τοὺς πολεμίους ἑαυτὸν, ἔργα χειρὸς ἐπεδείκνυ θαυμαστὰ, τῷ ξίφει παίων ἀεὶ τὸν παρατυγχάνοντα. ὅτε καὶ νῶτα δεδωκότας ἤδη αὐτὸς κατόπιν, δόρατος αὐτῷ κομισθέντος, ἐδίωκεν, οὐδένα καιρὸν ἀνιείς. Μέχρι μὲν οὖν πολλοῦ ἐ-

A ad aulam interdum principis accedens, nonnullos audirem in cœlum efferentes tanta opera, imperatori palpantia, cœtum illorum relinquebam. mores enim mihi à natura ſunt ad adulandum inhabiles; neque ultro aut ſciens verbum minimum, niſi cum veritate & ore libero proferam. Illa vero hujuſcemodi eos, qui in domo auguſta officiis præerant, quive in magiſtratibus erant, depingere & B exornare ſinebam, donec his oculis rem comperi, quippe & ipſe quandoque mediis hoſtibus implicitus, cum vidi imperatorem hunc totis Perſarum phalangibus reſiſtentem. Sed ea quidem in tempore memorabimus; nunc ad priora redeo. Agebat ergo ſuperioribus in locis princeps; agmen autem Romanum ad interiora procedens, in exercitum Perſarum nec opinans incidit. Itaque comi- C nus facto prælio, ubi inclinare Romanam aciem advertit imperator, citato equo ſuccurrit, non thorace, non alia armatura, preterquam ſcuto, accinctus. Ille atque ſe mediis hoſtibus immiſcuit, miranda manu opera edere, obvios quoſque gladio cædere, & in fugam effuſos, allata jam haſta, inſecutus, nullam bene agendi occaſionem omittere. Diu ſic quidem ſine intermiſſione fugerant, nec venerat

A φθόγγον ἀμεταστρεπτὶ, μηδὲ ἐκεῖνο κατανοεῖν ἔχοντες, εἰ πολυανθρωπότατον οὕτω στράτευμα πρὸς ἀνδρὸς διώκοιτο ἑνός. Τὸ γὰρ δέος κατάκρας αὐτῶν περιγεγονὼς ἐπεσκότει ταῖς ὄψεσι δεινῶς. Ἐπεὶ δέ ποτε καὶ διέγνωσαν σφίσι τὸ πρᾶγμα, πολλὰ τῆς ἀνανδρείας ἀλλήλους ἐπιτωθάσαντες, ἀθρόον ἐπεστράφησάν τε καὶ ἀντιμέτωποι αὐτῷ ἔστησαν. Οὐ μὲν ἤδη ἀκρατῶς ἐξεχέοντο, καθάπαξ τῷ δέει τὰς ὁρμὰς ἀνασειραζόμενοι, φαρέτρας δὲ ὅλας ἐκένουν. ὁ δὲ ἀσπίδι περὶ ἑκάτερα στρεφομένους τὰς βολὰς ἀπωθούμενος, ἔξω βελῶν τὸ σῶμα διετήρει. B Ἦν δέ τις ἐν Πέρσαις ἀνὴρ θυμοειδὴς καὶ δραστήριος. Οὗτος ἐπειδὴ μηδένα ἐξ ἁπάντων βασιλεῖ πρὸς μάχην ἀντικαθιστάμενον ἑώρα, ὑπερζέσας τῷ θυμῷ τῶν συμφύλων αὐτῷ τινὸς τὸ ξίφος τῶν χειρῶν ἀποσπάσας, ὡς πατάξων ἐφέρετο τοῦτον. Ἀλλ' ὁ αὐτοκράτωρ τῶν τριχῶν λαβόμενος, ἄλλοις εἷλκεν ἅμα τρισὶ γενναίοις καὶ τούτοις. ἐφ' οἷς ἀντιπαρατάττειν οὐκ ἔχοντες οἱ ἄλλοι, ᾤχοντο ἀπιόντες. C Βασιλεὺς δὲ σὺν τοῖς εἰρημένοις ἐπὶ τὸ στρατόπεδον ἐπανήκε. Ἐπειδή τε τὴν χειμερίαν ὥραν σφοδροτάτην ἐγκειμένην ἑώρα, ἐπὶ Βυζάντιον ἐχώρει. Ἀλλ' ἄρτι μὲν ἡ κατὰ Βιθυνίαν εἶχε τοῦτον πολίχνης, ἔνθα τοὺς ἐκ Φιλομιλίου δεσμώτας Ῥωμαίων ἐνοικισάμενος ἔφθη, Πύλαι ταύτῃ τὸ ὄνομα. Καὶ πρέσβεσιν ἐκ τοῦ Σουλτὰν ἀφικομένοις ἐνταῦθα που χρηματίσας, ἐπειδὴ μηδὲν ὑγιὲς αὐτοὺς ἀπαγγέλλοντας ἔγνω, αὐτοὺς μὲν ἀπεπέμψατο, ἀπειλη-

in mentem, ut numerosum adeo exercitum unus tantum homo insequeretur. Timor enim, qui totos occupaverat, densam oculis caliginem offundebat. Sed ubi res nota fuit, mutuam animi imbecillitatem videntes, repente se convertunt resistuntque principi. Nec tamen alacres ivere in pugnam, metu adhuc impetus retundente; sed pharetras totas evarcuantibus, princeps volantia undique tela clypeo repellere, seque telis inviolatum servare. Erat vero ad Persas vir animosus & impiger; qui ubi neminem congredi cum illo vidit, effervescens ira, erepto de manibus contribuli gladio, ad principem transverberandum fertur. sed ille crinibus prehensum trahere cum tribus aliis itidem generosis; propter quæ resistere alii non ausi, fugientes abscedunt. Imperator cum dictis captivis in castra redit; cumque hiemem ingruere acerrimam videret, Byzantium proficiscitur. Sed ubi jam in oppidum Bithyniæ pervenerat, quod inhabitandum dederat deductis è Philomilio captivis, Romanis, cui Pylæ nomen; convenere eum missi ab Sultano legati, quos nihil sani adferre visos remisit, additis minis, nisi imperata facerent, bre-

σάμενος,

στάμενος, ὅτι γε μὴ κατὰ γνώμην αὐτῷ ποιούντων, οὐκ εἰς μακρὰν ἡ Ῥωμαίων τῆς σφετέρας καταδραμεῖται ἵππος, καὶ λῄσονται πάντα πολλῷ μᾶλλον ἢ νῦν. Ὁ δὲ ἐπ' ὀλίγον τῇ αὐτῶν ἐνδιατρίψας χρόνον, εἶτα ἐκεῖθεν μεταβὰς, εἶχε γὰρ αὐτὸν χωρίον τηνικάδε ἐς τὴν περαίαν διαβαίνοντα, Ῥιτζίον πρὸς τῶν ἐγχωρίων κεκλημένον, ἐπὶ τὴν ἀντίπορθμον ἦλθεν. Ἐκεῖθεν τε ὁδῷ προϊὼν, διὰ τῶν αἰγιαλῶν πόλεων ἐπὶ τὴν Φιλαδέλφου καταλαμβάνει. ὅθεν συσκευασάμενος ἐμβάλλει τῇ Περσικῇ. Οἱ μέντοι πρέσβεις διὰ τῶν Δορυλαίου πεδιάδων ἰόντες, ἀγνῶτες τε διὰ τοῦτο τὸ παράπαν τοῦ βασιλέως ἐπὶ τὴν αὐτῶν ἦσαν ὁρμὴν, καὶ τοῖς Βυζαντίου προαστείοις διατρίβειν αὐτὸν ποιεῖσθαι ἰσχυρίζοντο. Ὅθεν καὶ τῆς Ῥωμαίων ἐφόδου πανταχόθεν διαγγελλομένης, Πέρσαι τὰ μὲν πρῶτα κομιδῇ ἄπιστον εἶναι τὸ πρᾶγμα ἡγοῦντο. Ἐπεὶ δὲ αὐτοπτησάντων ἤδη πολλῶν ἤκουσαν, τότε δὴ πανστρατὶ κινηθέντες ἀπαντιάζειν ἠπείγοντο. Ἐπ' οὐδενὶ γὰρ οὕτω παθαίνεται βάρβαρος, ὡς ἐπὶ χρημάτων ἢ κτημάτων ἀποβολῇ. Βασιλεὺς δὲ ἔτι μηδέπω γνῶναι Πέρσας τὰ πρασσόμενα οἰηθεὶς, τὸ μὲν ἄλλο Ῥωμαίων στράτευμα πρόσω ἐπὶ διαρπαγῇ ἔπεμψεν. ὁ δὲ κατόπιν σὺν ὀλίγοις ἐχώρει. ὅθεν καὶ Πέρσας κεκινῆσθαι ἤδη παμπληθεὶ ἀκούσαντες Ῥωμαῖοι, συνεταράχθησαν μὲν ὡς τὸ εἰκὸς, ἄλλως τε καὶ βασιλέως μὴ συμπαρόντος αὐτοῖς. Ὡς δὲ ἤδη ἀνεμίγνυντο τούτοις καὶ αὐτὸς, ἔγνω γὰρ τὴν

A vi equitatum Romanum incursaturum illorum agros, & multo hostilius omnia quam nunc depopulaturum. Ipse paullum illic locorum moratus (transfretaturus nimirum substiterat in regione, quam Ritzium vocant indigenæ) trajiciens inde in adversam ripam pervenit. Hinc facto per maritimas civitates itinere ad Philadelphiam se collegit, ibique rebus omnibus comparatis, Persiam invasit. B Inter hæc negotia, proficiscentes per Dorylæi campos legati, prorsus ignari erant imperatorem in fines suos fecisse impetum; imo illum ad suburbia jam Byzantina rediisse credebant. Quare nunciata undique Romanorum irruptione, primum quidem Persę rem omnino vanam esse putare: sed ubi multos oculis ipsos conspexisse audiverunt, tum omnibus moti copiis occurrere. Nulla enim re C alia æque commovetur barbarus, ac fortunæ & possessionum amissione. Imperator autem, haudquaquam adhuc scire Persas quæ agebantur ratus, ceterum agmen ad prædam præmittit, ipse cum paucis subsequitur. unde Romani, postquam audivere tota mole excitos Persas, ut mirum non erat conterrebantur, eo magis, quod imperator non adesset. Sed postquam & ille, intellecto Persarum

Περσῶν ἔφοδον, ἀναθαρσήσαντες λοιπὸν συντονώτερον ἐπορεύοντο. Ἐπεὶ δὲ ὀψὲ τῆς ἡμέρας ἦν, τῶν ἵππων ἀποβάντες, τοῖς τε ἵπποις φορβὴν κατὰ τὸ ἔθος ἐδίδουν, καὶ πρὸς βραχὺ διαναπαυσάμενοι, νυκτὸς ἤδη ἐπιλαβομένης, ἄρξαντες ὑπὸ λαμπτῆρσι τὸν δρόμον ἐποιοῦντο. Ἔστι δὲ τὸ τῶν λαμπτήρων χρῆμα τοιοῦτον. Κύβον τινὰ σιδήρου πεπυγμένον, ὀρθὰς τούτῳ ἐναρμόζουσι κατὰ τὰ διέχοντα τινὰς ἐκ πλατέος ἠρέμα πρὸς ὀξὺ λήγουσας ἀεὶ, κατὰ μέσον μέντοι τὸν κύβον ἑτέραν ἱστᾶσι σιδηρᾶν καὶ ταύτην, οὐ μέντοι κατὰ τὰς ἄλλας, ἀλλὰ παχεῖαν μὲν τὸ πρῶτον, ὀξεῖαν δέ πως κατὰ βραχὺ γινομένην. Ζωστῆρσι δὲ τισὶ τὰς κύκλῳ περιλαβόντες, οἷόν τινα λυχνοῦχον ἀποτελοῦσιν, ἐπί τε δοράτων ἐντιθέασιν ἄκρων. Εἶτα λίνεά τινα ὕφη κατὰ μῆκος διελόντες ὑαλείῳ περιδεύουσι στέατι, ἑλίξαντές τε ἐπιμελῶς, ἑκάστῳ τῶν ὀξὺ ληγόντων περιπείρουσιν αὐλῶν σιδηρείων, πυρί τε καιομένων, μύριόν τι σέλας ἐκεῖθεν ἐκπίπτειν ποιοῦσιν, ὡς χειροποίητόν τινα ἡμέραν ἐντεῦθεν σχεδιάζεσθαι τοῖς στρατεύμασι. Περὶ μὲν τῶν λαμπτήρων τοσαῦτα εἰρήσθω. Ὁ δὲ Ῥωμαίων στρατὸς χιόνος καταἐνεχθείσης σφοδρᾶς, τῶν ὁδῶν τε παντάπασιν ἠφανισμένων, ἐπὶ πλεῖστόν τι ἐφ' ἣν ἐφέρετο ἀποπλανηθεὶς, μικροῦ καὶ εἰς ὀλεθρίους αὖ καὶ κινδυνώδεις διεξέπεσε χώρους, εἰ μὴ ταχὺ τῆς πλάνης αἰσθόμενος βασιλεὺς, λαμπτῆράς τε εἵλετο, καὶ ἔνθα καὶ ἔνθα περιελθὼν, καὶ ἀνέγνω τε τὴν πορείαν,

A adventu, accesserat, recepto animo concitatiores properant. ubi jam serum erat diei, descendentes equis & pabulum eis de more prębentes, paullisper quievere; & postquam nox aderat surgentes, præeuntibus facibus, iter fecerunt. Res autem in laternis hoc modo se habet. Ferrum elaborant quadratum & planum instar cubi: ei ambitus circumdant pariter ferreos rectos & eminentes, & in qua- B tuor angulis, qua intermissi sunt, ex lato in acutum desinentes. in medio cubo aliud ferrum statuunt, non rectum, ut istos, sed ab inferiore parte crassum, paulatim vero in acutum fastigatum. Ambitus vero illos extremos catenulis revincientes instar lychnuchi conficiunt, & hastarum cuspidibus appendunt. Deinde linea quædam vela in longitudinem discissa suillo sevo inungunt, & arte contorta C unicuique affigunt in acutum desinentium velut lucernæ nasorum. quibus igne accensis magnum inde lumen excitant, adeo ut quasi manu facta dies exercitibus aperiatur. De lucernis quidem hæc dicta sunto. Ceterum agmen Romanum, gravi delapsa nive, & contectis ubique itineribus, ubi longissime qua ibat via aberrasset, mox in loca incidisset perniciosa & difficilia; nisi imperator, cogni-

καὶ ἐπὶ

καὶ ἐπὶ τὴν προκειμένην τὸ στράτευμα διώδευσεν. Ἐπὶ χῶρόν τέ τινα Σαραπατὰ, μύλωνος πρὸς τῶν ἐγχωρίων ὠνομασμένον ἐλθὼν, ἐκεῖθεν λοιπὸν προνομεύειν ἤρξατο. Τῆς οὖν φήμης πανταχῆ διαδραμούσης, πυθόμενος ὁ τὴν τῆς γῆς ἐκείνης σατραπείαν διέπων, ὄνομα αὐτῷ Σολυμᾶς, ὤκνει καὶ εἰσέτι πιστεύειν τοῖς λεγομένοις. ὅθεν καὶ Πουπάκην ἀδελφιδοῦν αὐτῷ τυγχάνοντα, βασιλεῖ δὲ πολλάκις εἰς ὄψιν ἐλθόντα, πέμψας ἐκέλευεν, ἐγγίσαι τοῦ Ῥωμαίων γεγονότα στρατοῦ, ὅπῃ δυνατὸν τὸν βασιλέα περισκοπεῖν. Ὁ τοίνυν Πουπάκης τὴν πρώτην τὸν βασιλέα διαγνοὺς, ἀποβαίνει τε τοῦ ἵππου, καὶ δουλικῶς αὐτῷ προσλαλεῖ. ὁ δὲ ὅστις τε εἴη, καὶ παρ' ὅτου πεμφθείη μαθὼν, τάδε τῷ Σολυμᾷ, ἔφη, ἀγγελεῖς. Ὅμοιόν τι ποιεῖς τίς ποτέ ἐστιν, ὁ τὰ Περσῶν ληϊζόμενος, μαθεῖν ἐπιζητῶν, ὥσπερ ἂν εἰ καὶ πυρὸς ἐπὶ τὴν σὴν ἀναφλεγέντος οἰκίαν, τοῦ μὲν ὅπως ἂν αὐτοῦ περιγένοιο, λόγον ἐποιήσω οὐδένα. τὸ δὲ, ὅθεν τε τὴν ἀρχὴν ἔσχε, καὶ παρ' ὅτου ἀναφθείη, ἐπιμελῶς ἀνηρεύνας. Μὴ τοίνυν ὡς ὑπὸ παραπετάσματι τὸ δῆθεν ἀγνοίᾳ τὸ τῆς δειλίας περικαλύπτειν θέλε κακόν. ἀγνοίας γὰρ προσποίησις, ὁπότε μὴ κατὰ λόγον γένοιτο, οὐδαμῶς ἐξαιρεῖσθαι μέμψεως τὸν χρώμενον πέφυκεν. Ἓν ἄριστον ὁ τῆς στρατηγίας οἶδε λόγος προκινδυνεύειν πατρίδος, ῥοπῇ τὰ πράγματα ταλαντεύειν. κἂν τις οὐκ ὑποδέξοιτο ταύτης, ἀπολώλεκεν ἤδη

A to errore, acceptis facibus hac illac circumjens, invenisset viam & in proximam regimen feliciter exercitum perduxisset. Postquam inde Sarapata ventum erat, quem locum Mylonum vocant incolæ, ex eo facere excursiones cœpit. Didita igitur per omnem eum tractum fama cum pervenisset ad regionis illius Satrapam, nomine Solymam, etiam tum adduci ut crederet vix poterat. Unde Pupacem B fratris filium, qui sæpe imperatorem oculis vidisset, misit, ut proxime accedens Romanos, prospiceret num adesset imperator. Illo statim agnito, equo descendere Pupaces, & humillime principem alloqui. qui ubi didicisset, quis & quare missus esset, hæc, inquit, Solymæ nunciabis: *Sciscitando quisnam ille sit, qui Persiam depopuletur, perinde facis, ac si ardente domo tua, de restinguendo incendio nihil* C *sollicitus, unde initium habuerit, & quis accenderit, curiose inquireres. Noli igitur ignorantia, quasi velo, contegere malum timorem. Ignorantiæ enim simulatio, quando cum ratione non est, minime solet utentem culpa liberare. Bonum imperatorem pro patria propugnantem unum decet ante omnia, momenta ponderare rerum agendarum: quæ nisi apprehenderit, omnia ilicet perdidit. Ita te vero & alias locum non habet simu-*

τὸ

τὸ πᾶν. Σοὶ δὲ καὶ ἄλλως οὐκ ἔτι χώραν ἡ σκῆψις ἔχει. ἔγνως ἰδοὺ, συνεβάλλε τὸν Πέρσας μαστίζοντα. κἂν ἀντιτάξασθαι θελήσῃς, λόγος οὐδείς. Ταῦτα εἰπὼν αὐτὸν μὲν ἀπεπέμψατο. τὰ ἐν ποσὶ δὲ δῃώσας καὶ ἀφανισμῷ παραδοὺς, παλινῳδίας ἥπτετο. πρᾶγμα πρὶν γενέσθαι ἀπιστούμενον. Λέγεται γὰρ οὐ πλείους τῶν ἑξήκοντα τὴν στρατιὰν ἱκανὴν εἶναι ἀνδρῶν μαχητῶν. Ὅτε δὴ τὰ Ῥωμαίων ἐπὶ μεγάλῳ γεγονότα κινδύνῳ παραδόξως ἐῤῥύσθη. Πέρσαι γὰρ εἰς μυριάδας τὸ ἀπὸ τοῦδε συλλεγέντες, τοὺς ἐπικαίρους τῶν τόπων κατεῖχον. Ἔνθα γεγονότων Ῥωμαίων, μάχη ἐῤῥήγνυται ἰσχυρὰ, καὶ Πέρσαι μὲν ἐξ ὑπερδεξίων βάλλοντες Ῥωμαίους ἔθλιβον. Οἱ δὲ ὑπ' ἀνάγκης ἐν χρῷ ἀλλήλοις ἀεὶ συνιόντες, ἀνεπιμνήστοι παντάπασιν ἀρετῆς ἦσαν, τῆς τοῦ χώρου φύσεως οὐδὲ ὅσον τὰ εἰς τὴν πορείαν ἱκανῆς αὐτοῖς οὔσης. Ἤδη δὲ καὶ περὶ αὐτὸν βασιλέα τὸ δεινὸν ἐφειστήκει. Τῶν γὰρ παρασπιζόντων αὐτῷ τινὲς ἀποῤῥέειν ἤρξαντο. Ὁ δὲ καίτοι ἐν τῷδε κακοῦ γεγονὼς, τοῦ συνήθους ὅμως οὐ καθυφίει λήμματος. Ἀλλὰ καὶ τὸν γαμβρὸν αὐτοῦ προσιόντα Ἰωάννην, οὗ πολλάκις ἐμνήσθην, τὴν ἀσπίδα τε προβάλλειν αὐτῷ προτεθυμημένον, ἔτυχε γὰρ ὁπλοφορίας ἄνευ τῷ τηνικαῦτα ὤν, ἀπεπέμψατο. Ἀμήχανον εἶναι εἰπὼν, ἀσπίδα μίαν δυοῖν καλῶς προασπίζειν σωμάτοιν. Ἐν τηλικαύτῃ δυσχερείᾳ τὸν χῶρον ἐκεῖνον διελθόντες Ῥωμαῖοι, ἐπειδήπερ ἐν εὐρυτέροις ἤδη

A *latio. Agnoscis, en, ex certis argumentis castigatorem Persarum: & si resistere volueris, nulla est causa cur conteris.* Sub hæc dicta dimisit illum; & obviis pervastatis ac dirutis, retro profectus est. Res, nisi facta esset, incredibilis. Ajunt enim, manum haut plus sexaginta militum habuisse, cum rem Romanam magno expositam periculo præter opinionem explicuit. Persæ nimirum ingenti multitu-B dine ex eo tempore congregati, loca idonea insidebant: quæ postquam Romanus intrasset, pugna atrox committi, & ex alto tela mittentes Persæ illos conterere, Necessitate itaque adacti, in unum tandem coëunt, prorsus immemores virtutis, ne ad iter quidem faciendum idonea satis loci natura. Jamque deficere incipientibus comitum nonnullis, omnis pugna moles principem circumstabat: C verum is, quamquam tantis malis implicitus, non tamen consuetum animum contraxit, sed & affinem Joannem, cujus sæpe mentionem fecimus, accedentem & objicere illi clypeum volentem (nam & tum sine armatura erat) remisit; impossibile esse inquiens, unum clypeum duobus bene corporibus protendi posse. In ea difficultate locum istum emensi Romani, simul in liberiorem venerunt equo-

ἐγένοντο

ἐχόμενον, ἱππεύοντι ἀρετὴν καὶ ῥώμην ἀνδρῶν ἐλέγξαι δυναμένοις, τὴν ἐνυάλιον ἠχὴν ἀλαλάξαντες, κατὰ τῶν πολεμίων τὰς αἰχμὰς ἴθυναν, τρεψάμενοί τε πολλοὺς ἔκτειναν, καὶ πᾶσαν τὴν ἐπήγοντο λείαν ἀνειληφότες ἀνεχώρησαν. ὅτι δὴ πολλῶν ἀνδραγαθημένων πάντας βασιλεὺς ὑπερῆρεν. οὔτε γὰρ οὐδεὶς πρότερος αὐτοῦ τοῖς ἐχθροῖς συνεπλάκη, καὶ τηλικούτων οὐδεὶς αὐτόχειρ γέγονεν ἀριστειῶν. Ταῦτα κατωρθωκὼς βασιλεὺς, ἐπὶ Βυζάντιον ἦλθε. Πέρσαι δὲ ὤδινον τοῖς συμπεσοῦσι, καὶ ἀντιλυπήσειν Ῥωμαίους διενοοῦντο. καιροῦ τε λαβόμενοι, Φιλητάν τε πόλιν ἑῴαν διήρπασαν, καὶ τὴν πρὸς τῇ μικρᾷ Φρυγίᾳ Λαοδίκειαν ἐπελθόντες ἀδοκήτως κακῶς διέθεντο, πολλοὺς τῶν ἐγχωρίων στόματι μαχαίρας ἡβηδὸν παραπέμψαντες, οὓς καὶ ἀνδραποδισάμενοι, πολύ τι καὶ οὐκ εὐαρίθμητον πλῆθος. Ταῦτα πυθόμενος βασιλεὺς, ἤχαλε μὲν καὶ ἐδυσφόρει. καὶ εἴγε δυνατὸν ἦν, εὐθυωρὸν ἐπὶ τὴν Ἀσίαν διαβῆναι ἤθελε, πρὸς Ἰκονίῳ ἐνστρατοπεδευσόμενος. Ἐπεὶ δὲ τούτου καιροῦ τε χρῄζειν ἔγνω, τηλικούτοις ἐπιβάλλοντος ἔργοις, καὶ μείζονος ἢ πρότερον πολέμου παρασκευῆς, τοῦτο μὲν ὑπερέθετο. Δυνάμεις δὲ πανταχόθεν ἀθροίζειν διανοηθεὶς, Ἰωάννην μὲν τὸν Κοντοστέφανον ἐπὶ Παλαιστίνης ἔπεμψε, Βαλδουΐνῳ τε τῷ Ῥηγὶ ἐντευξόμενον, καὶ δυνάμεις, ἃς αὐτὸς βασιλεῖ δεήσειν διδόναι ἐπὶ συμμαχίᾳ

A rumque & militum virtutis capacem; tum demum bellicum clamorem tollere, hastisque in hostem directis, fugare, cædere multos, & recepta, quam agebant, prędа abire. Illo certamine omnes, etiam fortissime pugnantes, imperator superavit; neque enim quisquam ante illum hostes invasit, aut tam præclara manu facinora edidit: Ita prospere gestis rebus, Byzantium rediit. Persę vero do-
B lebant fortunam suam, & ulcisci cogitabant Romanos. Itaque occasionem nacti, urbem in oriente Philetam diripiunt; hinc Laodiceam in Phrygia minore ex improviso aggressi, acerbius tractant, multos incolarum, nullo habito ætatis discrimine, cædunt mucronibus, & ingentem multitudinem vivam capiunt. Postquam ea imperator audivit, indignabatur & graviter ferebat; & si fieri potuis-
C set, recta voluisset in Asiam ire, ante ipsam Iconium castra locaturus. Sed ubi tempore opus esse vidit tantas res molienti, ac majoris quam ante belli apparatu, id quidem omittere. Copias autem colligere ac contrahere undique statuens, Joannem Contostephanum in Palæstinam mittit, ut adiret Balduinum regem, & quas ille copias, si necesse foret, sociales missurum se promiserat, & aliam

διωμο-

διωμολόγηκε, ταύτας δή, πρὸς δὲ μισθοφορικὴν ἐκεῖθεν ἄξοντα χεῖρα. Ῥενάλδῳ δὲ τῷ Ἀντιοχείας πρίγκιπι σὺν δυνάμεσι ταῖς περὶ αὐτὸν τὴν ταχίστην ἐκέλευεν ἰέναι. Πρὸς δὲ καὶ τοὺς Ἀρμενίων τότε ἡγεμονεύοντας, Τορούσην καὶ Τιγράνην Χρυσαφιόντε ἄνδρα Κίλικα, καὶ οὓς Κοκκοβασιλείους ἐκάλουν, στρατιωτικῶν μὲν καὶ τούτους ἐξάρχοντας δυνάμεων, ἐθελοδούλους δὲ ἐκ μακροῦ βασιλεῖ προσκεχωρηκότας. Ἐκ μὲν δὴ ἑῴας τηλικαύτην ἤθροιζε χεῖρα. Ἐξ ἑσπέρας δὲ, Λιγύρους τε ἦγεν ἱππέας, καὶ τὸν Δαλματίας μετεπέμπετο Ἀρχιζουπάνον, δυνάμεσιν ἅμα ταῖς ὑπ' αὐτόν. Σκύθας τε καὶ τῶν ἀμφὶ τῷ Ταύρῳ ἱδρυμένων ἐθνῶν ἐμισθοῦτο πολλά. Οὐ μὴν ἄχρι καὶ τούτων ἔστη τὰ πρὸς πόλεμον ἐξαρτύων. Ἀλλ' εἰδὼς ὡς τοῖς ἐπὶ Παλαιστίνην ἀπιοῦσι Λατινικοῖς γένεσιν ἐπὶ τὴν νῆσον Ῥόδον ἀεὶ τὸ κατάντημα γίνεται, μισθοφορικὴν ἐκεῖθεν ἱππέων ἦγεν ἰσχύν. Χορταγωγίας μέντοι, καὶ τῆς ἄλλης ὑπηρεσίας ἕνεκεν, ἀμύθητόν τι πλῆθος βοῶν, σὺν αὐταῖς ἁμάξαις, ἐκ τῶν κατὰ Θρᾴκην ἐκέλευεν ἐλαύνειν χωρίων. Ταῦτα μὲν οὖν οὕτω παρεσκεύασται. ὡς δὲ ὁμοφύλοις ἅμα καὶ συγγενέσι τὸν Σουλτὰν ἐκπολεμώσειεν, ἐπὶ Σανισάνην τὸν ἀδελφὸν ἔπεμψε, Γάγγρας τῷ τηνικάδε καὶ Ἀγκύρας στρατεύοντα τῆς Γαλατῶν, καὶ Ἰαγουπασὰν τὸν κηδεστὴν, ὃς Καισαρείας τε ἀμφοτέρας ἦρχε, καὶ Ἀμασείας ἡγεμόνευε πόλεων περιφανῶν, ἄλλων τέως, ὁπόσαι περὶ τῇ Καππαδο-

A inde insuper mercenariam manum adduceret. Renaldum vero Antiochiæ principem cum militibus, quos haberet, adesse celerrime jubet; ut & præfectos Armeniorum Torusen & Tigranem & Chrysaphium virum Siculum & quos Coccobasilios vocant, & ipsos militarium copiarum duces, qui se ultro imperio principis jam dudum tradiderant. Tantum ex oriente virium contraxit: ex oc- B cidente Ligures equites, ac Dalmatiæ excibat Archizupanum cum exercitu suorum; Scytharum quoque gentiumque circa Taurum incolentium plurimos conduxit. Neque & hic substitit: sed gnarus euntium in Palæstinam Latini generis plerumque in Rhodo insula conventus & stationem esse, inde quoque mercenariam equitum vim egit. Ad pabulum vero & rerum alia- C arum usum incredibilem boum numerum cum ipsis plaustris ex Thracia adduci jussit. Ea omnia sic quidem apparabantur. utque Sultanum popularibus & consanguineis suis debellaret, ad Sanisan fratrem mittit Gangræ & Ancyræ in Galatia præpositum, ac Jagupasanem affinem, qui utrique Cæsareæ è Amaseæ claris civitatibus, aliisque cunctis præerat, quæ in Cappadocia sitæ. hos post-

κῶν

ζῶν ἵδρυνται γῆ. καὶ δὴ ὑπόπτους καὶ αὐτοὺς τῷ Σουλτὰν καταστησάμενος ἐν βραχεῖ ἐπὶ τὸν πόλεμον ἤδη καθίσταται. Τούτων αἰσθόμενος ὁ Σουλτὰν, ἐπειδὴ μὴ εἶχε πρὸς ὁπότερον οὖν τῶν ἐκ βασιλέως ἐπικλωμένων αὐτῷ ἀντιτάξασθαι, τοῖς μὲν χώραν προσοικοῦσι τῆς αὐτοῦ, πολλῶν τε ἄλλων, καὶ δὴ καὶ πόλεων ἀφίσταται, πόνῳ πολλῷ κατακτηθεισῶν αὐτῷ πρότερον. Ἐπὶ δὲ βασιλέα πέμψας συγγνώμην ᾔτει. τούτου δὲ τυχὼν καὶ τοὺς δορυαλώτους ἀποδώσειν Ῥωμαίων ἐπήγγελε, κἂν ὁπουδήποτε γῆς κρυπτόμενοι εἶεν, μελήσειν γὰρ αὐτῷ τῆς ἀναζητήσεως. Ἐν ᾧ δὲ ταῦτα ἐδοκιμάζετο, συνέπεσέ τι τοιοῦτον. Ἰωάννης σὺν τοῖς ἱππεῦσιν ἐκ Παλαιστίνης στρατεύματι περιτυγχάνει Περσικῷ, ἐς δισμυρίους τε καὶ δισχιλίους ἀριθμουμένῳ ἄνδρας μαχίμους. τῷ ἀφνιδίῳ τοίνυν καταπλαγεὶς, τὸ μὲν πρῶτον ἐπί τινα λόφον ἐγγύθεν παρόντα, σὺν τοῖς περὶ αὐτὸν, σπουδῇ ἀνιὼν ἔστη. Μετὰ δὲ ταῦτα παντὶ τῷ στρατῷ ἐγκελευσάμενος, κατ' αὐτῶν ἵεται, σὺν ὠθισμῷ τε πολλῷ τῶν Ῥωμαίων τοῖς πολεμίοις ἐμπλεκομένων, ἐπαγωγὴ Περσῶν γίνεται. καὶ αὐτῶν φυγόντων, πολλοὶ μὲν ἔπεσον, πλεῖστοι δὲ πρὸς τῶν Ῥωμαίων ᾑρέθησαν στρατιωτῶν. ἥ τε ἵππος αὐτοῖς ξυνεπάτει τοὺς πλείστους. Ὅτε ἄλλοι τε πολλοὶ λόγου καὶ ἀρετῆς εἰργάσαντο ἄξια, καὶ Ἰωάννῃ καὶ τῷ στρατηγῷ ἀρετῆς δήλωσις κατ' ἐκεῖνον ἐπιγέγονε τὸν ἀγῶνα. Ταῦτα καταπραξάμενος Ἰωάννης, σὺν τοῖς τροπαίοις ἐπὶ βασιλέα

A quam suspectos Sultano reddidisset, nullo labore ad bellum hoc pellexit. Quæ ut audivit Sultanus, cum adversus utrumvis horum, quos ad defectionem sollicitaverat imperator, bellare non sustineret, finitimis suis & alia, & oppida quædam, magno prius labore possessa cessit. Ad imperatorem vero missis legatis veniam precatur. qua impetrata, captivos Romanos redditurum se promit- B tit, & quocumque conditi loco essent, curæ sibi eorum inquisitionem fore. Inter hæc negotia ejusmodi quid accidit. Joannes ex Palæstina cum equitibus rediens in exercitum incidit Persarum duorum & viginti armatorum millium. Itaque re nec opinata perturbatus, primum ad tumulum qui prope erat recipiens suos constitit. Inde universos adhortatus in hostem ducit; & magno impe- C tu inferentibus se Romanis fugere Persæ, multi in fuga occidi, plurimi à nostris capi, alios equitatus obterere. Multi tum alii egregia & digna memoratu opera ediderunt, & ante omnes dux Joannes virtutem suam illo in discrimine prodidit. His confectis rebus cum trophæis ille ad imperatorem venit. Postquam ea Sultanus accepit, actus pœnitentiæ stimulis, miserebatur intempesti-

προσαγγέλεται. Ὁ δὲ Σουλτὰν ἐπειδὴ ταῦτα ἤκουσε, κέντροις μεταμελείας νυττόμενος, τῆς ἀκαίρου τόλμης ἑαυτὸν ἐταλάνιζεν, οὐχ ὅσον τοῖς ξυμπεσοῦσιν ἐκταραχθείς, τὴν δὲ βασιλέως ἐνδόθεν ἔτι μᾶλλον καθ᾽ αὐτοῦ ἀρραβῶνι ζόμενα ἔλασιν. κἀντεῦθεν ὡς ἐνεστῶσιν τοῖς οὐ παροῦσι τέως προσφερόμενος. Ὅθεν καὶ μείζοσιν ἄλλαις τὰς προτέρας φθάνων ἐπικατελάμβανε πρεσβείας. χεῖρά τε σύμμαχον ἀνὰ πᾶν ἔτος Ῥωμαίοις δεήσειν διδόναι ἐπαγγελλόμενος, καὶ τῆς αὐτῶν δὲ γῆς οὔποτε Πέρσην ἑκόντος αὐτοῦ ἐπιβήσεσθαι ὡμολόγει, κἂν ἀφ᾽ ἑτέρας ἀρχῆς ἐνοχλοίη τις Ῥωμαίων τῇ γῇ, τοῦτον δὲ στρατεύειν εὐθὺς κατ᾽ αὐτοῦ, καὶ πᾶσι τρόποις τὴν ὁθενδήποτε φυομένην ἀπείργειν ἐπιβουλήν. Πᾶν τι, ὃ πρὸς βασιλέως ἐπιτάττοιτο, ὀκνήσει οὐδεμιᾷ ἐπιτελὲς αὐτίκα ποιεῖν. κἂν τις τῶν βασιλεῖ κατηκόων πόλεων ὑπὲρ τὴν Περσικὴν φθάσασα πέπτωκε παλάμην, καὶ ταύτην Ῥωμαίοις ἀνασώζεσθαι συνετίθετο. Τούτοις ἀναπεισθεὶς βασιλεύς, ὅρκοις τε δεινοτάτοις αὐτὸν κατειλήφει. καὶ τὴν ἔχθραν λύσας ἐπ᾽ οἴκου ἀνεκομίζετο. Πυθόμενος δὲ Σκύθας τὸν Ἴστρον διαβλῆναι ἐφ᾽ ᾧ Ῥωμαίων καταδραμεῖσθαι, τῆς ἐπὶ Βυζάντιον φερούσης ἀφέμενος, ἐπὶ τὸν ἀγχοῦ πόλεως Ἀβύδου ἐχώρει πορθμόν. Ἔνθα ἐπιθαλασσίδιόν τι ἐπὶ Θρᾴκης πόλισμα κεῖται, ἀπὸ Καλλίου τοῦ Ἀθηναίων οἶμαι στρατηγοῦ τὴν προσηγορίαν ἐσχηκός.

A vam audaciam; & non tantum clade hac consternatus est, quam adventum imperatoris eo contra se acerbiorem certo credebat; ideoque futuris tanquam præsentibus jam & incumbentibus angebatur. Quare antea oblatis multa & majora promissa addidit, copias sociales omnibus annis, quoties necessitas postularet, missurum se Romanis; & neminem Persarum sua voluntate fines unquam
B Romanos ingressurum; si alio ex imperio quis agros ipsorum infestaret, se continuo bellum adversus illum sumturum, omnibusque modis undecumque vim ingruentem depulsurum: cuncta ad hæc quæ imperaret princeps sine ulla mora exsecuturum, & si quæ Romanæ ditionis civitates in potestatem venissent Persarum, illas etiam in restitutum polliceri. His à principe acceptis
C conditionibus, eoque firmissimo jurejurando obstricto, simultates dirimit & domum revertitur. Sed intellecto Scythas Istrum superasse, quo fines Romanorum incursarent; omisso quod Byzantium ducebat itinere, ad fretum Abydenum contendit, ubi in Thracia ad mare situm est oppidum, quod à Callia credo Atheniensium duce nomen accepit, inde copiis transportatis, adversus Scythas

ἐνταῦθα

ἐνταῦθα περιιωσάμενος ἐπὶ Σκύθας ἐφέρετο. Ἀλλ' ὅπω ἔφθη τὸν Ἴστρον καταλαβεῖν, κἀκεῖνοι τὴν Ῥωμαίων ἀκούσαντες ἔφοδον, τάχυ συσκευασάμενοι ἀνεχώρησαν. Ταῦτα μὲν τῇδε συνηνέχθη γενέσθαι. Ὁ δὲ βασιλεὺς ἐπειδὴ μηδὲν οὐδενδήποτε ἀνθιστατοῦν τῇ Ῥωμαίων ἀπεφαίνετο ἀρχῇ, ψυχαγωγίας ἕνεκα ἐπί τι τῶν ἐγγὺς Βυζαντίῳ χωρίων ἐξῆλθε, Λόγγοι ὄνομα τούτῳ. Ἐνταῦθα διατριβὴν ποιουμένου, ἡ τέλειος ἡμέρα τοῦ βίου τῇ βασιλίδι ἐπεγένετο Εἰρήνῃ, γυναικὶ ἐπὶ σωφροσύνῃ, ὥσπερ εἴρηταί μοι καὶ πρότερον, καὶ κοσμιότητι, καὶ οἴκτῳ τῷ πρὸς τοὺς δεομένους πολλῷ τὰς καθ' ἐκεῖνον ὑπερβαλούσῃ τὸν χρόνον. Αὕτη δυοῖν μὲν ἐγένετο θυγατέρων μήτηρ, ὧν ἡ μὲν πρεσβυτέρα ἐπεβίω τε καὶ τῷ πατρὶ ξυνδιήγαγεν, ἁτέρα δὲ ὀλίγῳ ὕστερον τὸν βίον ξυνεμετρήσατο, τέταρτον ἡλικίας ἀνύσασα χρόνον. Ἀλλ' ἔτι περιῆν ἡ παῖς τῇ νόσῳ παλαίουσα. καὶ ὁ βασιλεὺς, τῶν ἑσπερίων τότε καλούντων πραγμάτων, τῶν κατὰ τὴν οἰκίαν ἀφέμενος, ἐπ' ἐκεῖνα ἐχώρει. Φήμη γάρ τις ἐκράτει τῷ τηνικαῦτα, ὡς ὁ τῶν Ἀλαμανῶν ῥὴξ Φρεδερῖκος τὸ σύμπαν ἔθνος ἀνακινήσας πανστρατιᾷ ἐπὶ τὴν Ῥωμαίων φέρεται γῆν. διὰ ταῦτά τε οὖν καὶ ὡς ὁ τῶν Οὔννων ῥὴξ Ἰατζᾶς τὸν βίον ἀπολίποι, ἐπὶ Σαρδικὴν ἦλθεν. Ἔνθα ἐφ' ἱκανὸν διατρίψας, περὶ πλείστου τὴν τῶν Οὐννικῶν ἐπικράτησιν ἐποιεῖτο. Ἤδη γὰρ τὰ ἀμφὶ τοῖς Ἀλα-

A properavit. Sed nondum ad Istrum pervenerat, cum isti audito Romanorum adventu, convasatis celeriter rebus retro proficiscebantur. Hæc quidem ibi forte inciderunt. Imperator autem ubi nullam esse usquam contra imperium Romanum vim reliquam vidit; ad recipiendum spiritum in propinquum Byzantio prædium, Longi vocatur, concedit. Hic dum commoratur, extremum vitę diem

B claudit Eirene imperatrix, femina & temperantia & moribus, & misericordia erga supplices omnes alias ejus ætatis, ut & ante à nobis dictum est, longe supereminens. Duarum illa mater fuit, quarum natu major superstes patri convixit, altera vero paullo post & ipsa obiit, postquam annum ætatis quartum implesset. Supererat autem adhuc filia luctabunda cum morbo, cum imperator sic exigen-

C tibus occidentalibus rebus domesticas posthabens eo se contulit. Fama namque tum temporis increbescebat, regem Alamannorum Fredericum omnibus excitis viribus ad fines Romanos descendere. Earum rerum ergo, & quod Hunnorum rex Jatzas vita concesserat, Sardicam venit. Ibi diu satis moratus, maximi facere, si occupare regnum Hunnorum posset: nam quæ modo de Alamannis fe-

μανοῖς θρυλληθέντα, οὐκέτι ἐκράτουν. A ὅθεν δὲ τῆς Οὐννικῆς μεταποιεῖσθαι ὁ βασιλεὺς ἤθελεν, ἤδη λέγομεν. Ἰατζᾷ δὴ τούτῳ ἤστην μὲν ἀδελφὼ, Βλαδισλάβος τε καὶ Στέφανος. Οὐκ οἶδα δὲ ὅτι προσκεκρουκότε ὑπερφυῶς ἐμισηθήτην αὐτῷ. Ἀμέλει καὶ μετὰ πλάνην τῶν ἄλλοτε ἀλλαχόθεν δρασμῶν, τέλος βασιλεῖ προσελθόντε, χειρὸς ἐγενέσθην τῆς αὐτοῦ. Καὶ ὁ μὲν βασιλέως ἔγημεν ἀδελφιδῆν ὁ Στέφανος, Μαρίαν τὴν Ἰσαακίου τοῦ Σεβαστοκράτορος παῖδα, περικαλλῆ καθάπερ B εἴρηταί που. ἅτερος δὲ ἄζυξ διετέλει. τότε τοίνυν ἐπειδὴ τοῦ Ἰατζᾶ τετελευτηκότος θάτερον τῶν ἀδελφῶν ἐπὶ τὴν ἀρχὴν ὁ τοῦ δικαίου ἐκάλει θεσμός (Νόμος γὰρ οὗτος παρὰ τοῖς Οὔννοις ἐστὶν ἐπὶ τοὺς περιόντας ἀεὶ τῶν ἀδελφῶν τὸ στέφος διαβαίνειν) κατάγειν τούτους εἰς γῆν τὴν πατρῴαν βασιλεὺς σπουδῆς εἶχεν. Ἰατζᾶς γὰρ τὸ πάτριον παριδὼν νόμον, ἐπὶ τὸν υἱὸν τὴν ἀρχὴν διεβίβασεν. Οὖννοι τοίνυν, τὸ μέντοι τοῦτον αἰδεσάμενοι τὸν νόμον, τὸ δὲ καὶ τὴν βασιλέως C εὐλαβηθέντες ἔφοδον, Στέφανον τὸν Ἰατζᾶ τῆς ἀρχῆς παραλύσαντες, θατέρῳ τῶν ἀδελφῶν τῷ Βλαδισθλάβῳ ταύτην ἀπέδοσαν. Τῷ γε μὴν Στεφάνῳ, φημὶ τῷ πρεσβυτέρῳ, τὴν Οὐρὸμ ἀπεκλήρωσαν τύχην. Βούλεται δὲ τοῦτο παρὰ Οὔννοις τὸν τὴν ἀρχὴν διαδεξόμενον ἑρμηνεύειν τὸ ὄνομα. Τὰ μὲν οὖν ἐπὶ τοῖν αὐταδέλφοιν τούτοιν ἐνταῦθα πέρας ἔσχε. Βασιλεὺς δὲ ἐπὶ τὴν Μακεδονικὴν ἐχώρει πόλιν, Φιλίππῳ τὰ πρὸς

rebantur, non plane constabant. Unde vero affectare rem Hunnicam animum induxerit imperator, nunc explicabimus. Jatzæ huic frater erant Bladislabus & Stephanus; & nescio ob quas gravissimas offensas odio illi uterque fuerit. Itaque post longam huc illuc fugam delati tandem ad principem, illius sese imperio dedere. Et Stephanus quidem sororem ejus duxit Mariam Sebastocratoris Isaaci filiam, virginem, ut & ante memoravimus, formosissimam: alter vero cœlebs permansit. Itaque cum mortuo Jatza alterum fratrem ad regnum legis moris & æqui ratio vocaret (lex enim est apud Hunnos, ut semper ad fratres superstites transmittatur imperium) in patriam eos reducere imperator pro viribus nitebatur. Quippe Jatzas neglecta patria consuetudine regnum filio suo tradiderat. ideo Hunni & legem reverentes, & imperatoris verentes adventum, Stephano Jatzæ abrogatum imperium in alterum fratrem Bladislabum transferunt; Stephanum vero, seniorem dico, Uram faciunt, quod nomen successorem regni apud Hunnos significat. Ita se fratrum quidem istorum res habuit. Princeps autem ad Macedonicam civitatem duxit, Philippo ad res Servicas constituendas mis-

τῇ

τῇ Σερβικῇ καταστησόμενος πράγματα. ὁ γάρ τοι Πρελμίσλαβος, ὃς τῆς χώρας τότε ἦρχε, καὶ ἄλλοτε μὲν ὥσπερ μοι δεδιήγηται πρότερον, ἀποστασίαν ὠδίνησε, καὶ αὐτονόμως ἐχρήσατο τῇ γνώμῃ, ἐγγύς τε διὰ τοῦτο ἐλθὼν τοῦ τῆς ἀρχῆς πρὸς βασιλέως ἀποβιβασθῆναι, ἰλεώτι αὖθις τετύχηκεν αὐτοῦ, καὶ ἐπὶ τῆς αὐτῆς ἔμενε. τότε οὖν οὔτε λόγων, οὔτε ὅρκων λόγον θέμενος οὐδένα, νεωτέροις καὶ πάλιν ἐπεβάλλετο πράγμασιν. Δι' ἅπερ βασιλεὺς τοῦ ἀνδρὸς καταγνοὺς, μεθίστησι μὲν αὐτὸν τῆς ἀρχῆς, Βελούσην δὲ τὸν B ἀδελφὸν ἐπ' αὐτῆς καθιστᾷ. Πρελμίσλαβον μέντοι τῆς τύχης κατοικτισάμενος, ἐκεῖθεν μὲν ἀπανίστησιν, ὡς μὴ καὶ πάλιν κακουργεῖν δύναιτο, χώρᾳ δὲ πιοτάτῃ δωρεῖται, καὶ ταῖς νομαῖς ζώων ἀγαθῇ. Ἀλλὰ Βελούσης μὲν ἐπ' ὀλίγων ἐμπρέψας τῇ ἀρχῇ, τότε τῆς ἡγεμονίας κατέθετο σχῆμα, καὶ τῆς πατρίου μεταχωρήσας, ἐπὶ τὴν Οὐννικὴν ἦλθεν. ἔνθα πλείω τινὰ ἐπιβιοὺς χρόνον, ἐξ ἀνθρώπων ἠφάνιστο. Βασιλεὺς δὲ τὸν ὕστατον ἀδελφῶν μετάπεμπτον θέμενος, ὃς C Δεσὲ μὲν ἐκαλεῖτο, Δένδρας δὲ χώρας ἦρχεν, ἣ Ναισῶν ἐγγειτόνων ἐστὶν, καὶ πολυάνθρωπος. τὰ πιστά τε παρ' αὐτοῦ λαβὼν, ὅπως ἀνόθευτον αὐτῷ, τὸ τῆς δουλείας σχῆμος. Πρὸς δὲ, καὶ ὡς παντάπασι Δένδρας Ῥωμαίοις ὑπεκστήσεται, ἣν καθάπερ ἔφην καρπιζόμενος ἦν, Ἀρχιζουπάνον ἀνεῖπεν. Ὑπὸ τοῦτον τὸν χρόνον, καὶ Κλιτζιεσθλὰν ὁ Σουλτὰν ἐς Βυζάντιον αὐτόμολος ἦλθε, περὶ τῶν αὐτοῦ συμφορῶν βασιλέως δεησόμε-

A ſo. Primiſlabus enim, regionis iſtius rector, & antehac, ut memoravimus, defectionem molitus erat ſuoque egerat arbitrio: unde cum prope exutus illo munere ab imperatore fuiſſet, illo miſericorde potitus, dignitatem retinuit. tum vero & promiſſa & jusjurandum ſuſque deque habens, novis iterum rebus ſtudere. Ea propter in illum animadvertit imperator, imperioque dejecit, & Beluſen fratrem ſubſtituit. Miſeratus tamen fortunam Primiſlabi, ſubmovit eum inde quidem, ne iterum turbaret, ſed pingui agro donavit & paſcendis pecoribus idoneo. ſed Beluſes quidem breve tempus imperio decorus, ducatus ſpeciem depoſuit, patrioque excedens ſolo in Hunnicam venit, ibi cum diu ſupervixiſſet, vita conceſſit. Imperator autem accitum minimum natu fratrem, Deſe nomen erat, Dendræ regionis, Naſſi vicinæ & hominum frequentis, præſidem, fide accepta, illum ſincerum per omnem vitam obſequium præſtiturum, atque inſuper totam Dendram, quam uti diximus poſſidebat, traditurum Romanis, Archizupanum pronunciat. Sub idem tempus Clitzieſthlan Sultanus Byzantium transfuga venit, de fortuna ſua principem imploraturus. res ingens & admirabiliter inſig-

νος, πρᾶγμα ὑψηλόν τι, καὶ δαιμονίως ὑπέρογκον, καὶ ὅσα ἐμὲ εἰδέναι, οὔποτε ἄλλοτε Ῥωμαίοις ἐντυχηθὲν πρότερον. Τινὸς γὰρ, καὶ τῶν μεγαλοπρεπεστέρων, οὐχ ὑπέρκειται, ἄνδρα τηλικαύτης ἡγεμονεύοντα γῆς, καὶ τοσούτων κυριεύοντα ἐθνῶν, βασιλεῖ Ῥωμαίων ἐν οἰκέτου παρεστάναι σχήματι. καὶ ὥς γε τοῖς φιληκόοις τὰ πραχθέντα τότε διηγησαίμην· ἦν τὸ μὲν βῆμα λαμπρὸν, καὶ δίφρος ἐπὶ πλεῖστον γῆθεν αἰρόμενος ἔκειτο. θέαμα λόγου πολλοῦ ἄξιον. εἴργαστο μὲν ἅπας χρυσοῦ, λίθων δὲ ἀνθράκων καὶ ὑακίνθων, ἄφθονόν τι ἁπανταχόθεν τούτου διεστοίβαστο χρῆμα. Μαργάρους δὲ, οὐδ' ἂν ἀριθμεῖν ἴσχε. καθένα γὰρ τῶν ἠρέμα κατὰ διέχειαν πεπηλότων λίθων, περιέθεον ἱκανοί. ἐσφαίρωντο μὲν ἐς τὸ ἀκριβὲς, λελεύκαντο δὲ ὑπὲρ χιόνα. τηλίκων ὁ δίφρος πεπλήρωτο φώτων. Τό γε μὲν ἀνώτατον καὶ τὴν κεφαλὴν ὑπερτεῖνον αὐτοῦ μέρος, τοσούτῳ τῶν ἄλλων ἐκράτει λαμπρότησιν, ὅσῳ καὶ ἡ ἐγγειτόνων αὐτῷ τῶν λοιπῶν μελῶν προὔφερε κεφαλή, ἐφ' οὗ καθῆστο βασιλεὺς μεγέθει σώματος ἀναλογωτάτου, τὸν πάντα πληρῶν. ἐσθὴς δὲ αὐτὸν περιέθεεν ἁλουργὶς, ἐξαίσιόν τι χρῆμα. Ἄνωθεν, ἄχρι καὶ ἐς τὰς βάσεις αὐτὰς, ἐπυρσοῦτο μὲν ἄνθραξιν, ἠυγάζετο δὲ μαργάροις· οὐκ ἀπεριέργως μέντοι, ἀλλὰ θαυμασία τις αὐτοὺς ἐποίκιλε γραφικὴ, ἀκήρατον δήπου λειμῶνα σχεδιαζούσης τῷ

A nis, qualis nunquam ante, quantum ego recordare possum, Romanis contigit. Quam enim vel præclarissimarum non hæc superat, virum tantæ ditionis rectorem & tot populorum dominum, imperatori se Romano servili habitu stitisse. utque studiosis talium rerum ea, quæ tum acta fuere, referam; splendidum quidem exstructum erat tribunal, & sella posita sublimis, spectaculum sane B memoratu dignum. Facta ea ex auro tota, carbunculis & hyacinthis infinito numero distincta. margaritas haut facile numerasses; circa singulos enim lapides, parvo distantes intervallo, frequentes interpositæ erant, accuratissime orbiculatæ niveque candidiores. hujusmodi ea sella luminibus scatebat. Pars autem ejus suprema, quæ nimirum supra caput extenditur, tantum alia superabat C ornamenta, quanto ceteris membris vicinis excellentius est caput. Hac sede imperator considebat, amplitudine corporis convenienti totam implens; vestem autem indutus purpuream maximi pretii. à capite usque ad ipsos pedes gemmis relucebat, margaritis referta, non quidem perinde positis, sed admirabili structura sic variatis, ut quasi verum aliquod pratum ars in populo exprimeret. A

πέπλῳ

πετάλῳ τῆς τέχνης. Ἀπὸ μέντοι τραχήλου ἄχρι καὶ ἐπὶ στέρνα, ὑπερφυὴς μεγέθει καὶ χροιᾷ, λίθος ἀπὸ χρυσίων καθεῖτο ἀμμάτων, πυρσίζων μὲν ἅτε ῥόδον, σχήματι δὲ μήλῳ παρεμφερὴς μάλιστα. Περὶ γάρτοι τοῦ ἐπὶ κεφαλῆς κόσμου, περιττὸν καὶ φράζειν ἡγοῦμαι. Ἀφ᾽ ἑκατέρας δὲ τοῦ δίφρου ἡ τάξις ἑστήκει, κατὰ τὸ εἰωθός. γένους ἑκάστῳ καὶ τύχης πρυτανευόντων τὴν χώραν τῆς στάσεως. Τὰ μὲν δὴ τοῦ βασιλέως ἐν τούτοις ἦσαν. Κλιτζιασθλὰν δὲ ἐπειδήπερ εἰς μέσους παρῆλθε, B θάμβους ὅλος ἦν. καὶ τοῦ βασιλέως καθίζησαι τοῦτον προτρεπομένου· Ὁ δὲ τὸ μὲν πρότερον ἰσχυρότατα ἀπέλεγεν. ὡς δὲ ἔτι μᾶλλον ἐγκείμενον ἑώρα τὸν βασιλέα, καθῆστο λοιπὸν ἐπὶ χαμαιζήλου τινὸς, καὶ ἥκιστα ἐπὶ μετεώρου καθέδρας. τὰ εἰκότα τε εἰπὼν, ἢ ἀκοῦσαι, ἐς τὴν ἐπιτεταγμένην αὐτῷ ἐν Παλατίῳ ἀπηλλάττετο καταγωγήν. Ὁ βασιλεὺς δὲ τῷ τῶν ἀτυχημάτων ὄγκῳ φιλοτιμούμενος, θρίαμβον ἐξ αὐτῆς ἀκροπόλεως ἐπὶ τὸν περι- C καλλῆ τὸν τῆς τοῦ θεοῦ σοφίας Νεὼν ἐπιγήσατο μὲν ἐμπαρασκευὴν, ἐφ᾽ ᾧ σὺν ἐκείνῳ πομπεῦσαι. Οὐ μὴν καὶ εἰς τέλος ἤγαγε τὸ βουλευθέν. Λουκᾶς γὰρ ὁ τηνικάδε τοῖς ἐκκλησιαστικοῖς ἐφεστὼς πράγμασιν, ἀντίλεξις τῇ πράξει ἐγένετο, μὴ δεῖν εἶναι λοιπὸν, δι᾽ ἐπίπλων εἰπὼν θείων καὶ κόσμων ἱερῶν ἄνδρας διελθεῖν ἀσεβεῖς. Τότε δὲ καὶ ἄλλο τι παρεμπεσεῖν προσίστατο τῷ πράγματι. Ἐπειδὴ γὰρ πόρρω τῶν πυλῶν ἦν,

A cervice usque ad pectus insignis & magnitudine & colore lapis aureis ligamentis dependebat, rosæ instar rubens, forma autem malo cum maxime similis. Cæterum de capitis ornamentis supervacuum arbitror dicere. Ab utraque vero sellæ parte ordines stabant, genere ac fortuna convenientem singulis locum adsignantibus. Ejusmodi quidem apparatus erat imperatoris. Clitziasthlan vero cum ad me- B dios transeundo pervenisset, totus stupefactus est, principe illum ut consideret rogante. Verum is primum pertinacissime abnuit; inde, ubi magis vidit instare imperatorem, sedit tandem humili, & minimum elevata sede. hic postquam de quibus videbatur dixisset audivissetque, ad destinatum sibi in palatio hospitium concessit. Imperator autem rerum prosperarum magnitudine elatus, triumphum C instruebat apparatissimum, quo illum ab arce summa usque ad inclitum Divinæ Sapientiæ templum in pompa traduceret. sed non est exsecutus propositum. Lucas enim Ecclesiæ tum temporis antistes huic actui resistere; non decere inquiens, inter religionis instrumentum, & sacra ornamenta, impium hominem transire. Et alius etiam tum casus interveniens factum impediebat. namque ingens

ἐξαίσιος

ἐξαίσιος τις βρασμὸς ἀθρόον ἐκλόνησε τὴν γῆν. Βυζάντιοι μὲν οὖν ἐνταῦθα τὰς Λουκᾶ παραινέσεις ἐκβῆναι οἰόμενοι, ἀπὸ γνώμης εἶναι Θεοῦ τὴν ἐγχείρησιν ἔφασκον. Πεφύκασι γὰρ ἄνθρωποι τοῖς παροῦσιν, ἐκ τοῦ ἐπὶ πλεῖστον προσέχοντες, πολυπραγμονεῖν περαιτέρω μηδέν. Τὸ δὲ τοῦ πράγματος τέλος τὴν τοῦ συναντηχθέντος ἐναργῶς παρεστήσατο δήλωσιν. καὶ Τζιεσθλὰν γὰρ μετὰ πολλοὺς ἐπιγενόμενος χρόνους, τῶν εἰς βασιλέα συνθηκῶν ἀλογήσας, πανστρατὶ Ῥωμαίους κατὰ Περσῶν ἐλθεῖν παρεσκεύασε. Τύχῃ δέ τινι δυσχωρίαις ἐμπεσὸν τὸ στρατιωτικὸν, τῶν ἐπὶ δόξης τε ἀποβεβλήκει πολλοὺς, καὶ μεγάλου ἐγγὺς ἦλθε κακοῦ, εἰ μὴ βασιλεὺς ἐνταῦθα ἀνθρωπίνης ὅρον ἀρετῆς, τὰ πολέμια παρελθὼν ὤφθη. Ἀλλὰ ταῦτα μὲν, ὥσπερ καὶ ἤδη ἔφην, εἰσέπειτά μοι λελέξεται. Ὁ δὲ βασιλεὺς ἐς τὰ κατὰ νότον τῆς πόλεως ἀνάκτορα καταχθεὶς, μεγαλοπρεπέσι τε ἐδεξιοῦτο δείπνοις αὐτὸν, καὶ διὰ φιλοφροσύνης ἦγεν ἁπάσης. Εἶτα καὶ ἵππων αὐτὸν ἔθελξεν ἁμίλλαις, ὑγρῷ τε πυρὶ, κατὰ τὸ ἔθος, λέμβους τινὰς ἐνεπίμπρα καὶ ἀκάτους, καὶ ὅλως τῶν τῆς ἱπποδρομίας ἐγέμιζε τὸν ἄνδρα θεαμάτων, ἐξ ὧν μάλιστα μεγέθη πόλεων φιλεῖ δείκνυσθαι. Ὁ δὲ ἐφ' ἱκανὸν ἐν Βυζαντίῳ διατρίψας, τὰ προλαβόντα τε δευτέροις ὅρκοις πιστωσάμενος, ἐπὶ τὴν ἑαυτοῦ ἦλθεν. Εἶχε δὲ τὰ τῆς ὁμολογίας αὐτοῖς ὧδε. ἐχ-

A aliquis motus multa jam nocte totam repente concussit terram: unde Byzantini veras esse Lucæ monitiones rati, Deo id displicere inceptum dicebant. Solent enim homines præsentia ut plurimum attendere, de futuris minime solliciti. Finis autem negotii manifestum reddidit, quid illud portentum significasset. quippe Tziesthlan longo post tempore, ruptis quæ cum principe fecerat pactis, Ro- B manós omnibus copiis contra Persas excivit. Ubi cum forte quadam in locos difficiles exercitus incidisset, multi nobiles viri amissi, & in discrimen venisset summa rerum, nisi imperator illic in re militari se supra virtutis humanæ modum demonstrasset. sed hæc, ut & modo diximus, deinceps à nobis memorabuntur. Princeps vero in aulam, quæ erat in parte urbis australi, concedens, magnificis C illum epulis & omni benevolentiæ genere excipit. inde & equestribus certaminibus oblectat, scaphasque ex more & acatia liquido igne incendit, denique ludis ad satietatem afficit circensibus, quibus maxime solet amplitudo civitatis ostendi. sed ille cum diu satis Byzantii egisset, & priora pacta altero etiam jurejurando firmasset, in regnum suum revortitur. Pepigerunt autem his conditioni-

θρὸν

ἐχθρὸν μὲν διὰ βίου φρονήσειν, οἷς τὸ πρὸς βασιλέα τρέφοιτο ἔχθος, φιλίαν δ' αὖ τοῖς τοὐναντίον εὔνοις αὐτῷ καθεστῶσι· πόλεις τε, ἃς ἂν αὐτὸς περιγένοιτο, τὰς μείζους καὶ ἀξιολογωτέρους βασιλεῖ διδόναι. Ἐξεῖναι δὲ αὐτῷ οὐδαμῇ τῶν ἐχθρῶν τινὶ σπείσασθαι, ὅτι μὴ βασιλέως κελεύοντος. δεήσειν τε Ῥωμαίοις συμμαχήσειν, πανστρατιᾷ ἀπαντῶντα, κἂν ἑῷος, κἂν ἑσπέριος ὁ πόλεμος εἴη. Οὐ μὴν, οὐδὲ τοὺς ὅσοι ὑπὸ τὴν αὐτοῦ μὲν κεῖνται παλάμην, κλέμμασι δὲ διαζῆν ἐπίστανται, οὓς δὴ Τυρκομάνους ἔθος καλεῖν ἐστὶν, ἀτιμωρήτους ἐᾶν, ὁποιονοῦν τι ἐς Ῥωμαίων ἡμαρτηκότας τῆς γῆς. Ταῦτά τε αὐτὸς ὡμολόγηκε, καὶ μεγιστάνων ὅσοι αὐτῷ εἵποντο. κἂν ἐκεῖνος αὐτῶν ἀμελοίη, τοὺς δὲ σθένει παντὶ κωλύειν τὴν ἐγχείρησιν. Ταῦτα μὲν οὖν ἐν Βυζαντίῳ ἐτελεῖτο. Ἡ δὲ φήμη φθάνει ἐξ Εὐρώπης ἐπὶ τὴν Ἀσίαν διαβᾶσα τοίνυν, καὶ οὐ πρὸς καλοῦ αὐτοῖς ἔσεσθαι οἱ τῇδε νομίσαντες φύλαρχοι, εἰ βασιλεὺς τὸν Σουλτὰν εἰσπεποίηται, πρέσβεις πέμψαντες ἐδέοντο, ὡς καὶ αὐτοὺς τῷ Σουλτὰν διαλλάξαι. Ὁ δὲ ἤκουσε μὲν αὐτῶν οὐκ ἀηδῶς. Ἐς δὲ τὴν τοῦ Σουλτὰν δῆθεν τὸ πᾶν ἀνατιθεὶς αἵρεσιν, ἐπ' ἐκεῖνον αὐτοὺς ἔπεμπεν, ἐν παλατίῳ, καθάπερ εἴρηται, διατριβὴν ἔχοντα. Οἳ καὶ ἐπειδὴ τάχιστα πρὸς λόγους ἐκείνῳ κατέστησαν, διαλύσασθαί τε σφίσι τὴν ἔχθραν ἴσχυσαν, καὶ ἱκέτην ὑπὲρ αὐτῶν βασιλεῖ γενέσθαι ἔπεισαν. Ὁ

A bus: hostium imperatoris per vitam hostis esset, amicus contra amicorum: urbium quas ipse ceperat majores celebrioresque principi traderet: fœdus ne quo cum hoste faceret injussu imperatoris: si res auxilium ejus exposceret, omnibus accederet viribus, seu in Oriente, seu in Occidente bellum foret; neque etiam Turcomannos quos vocant, rapto vivere assuetos, quotquot sub imperio ejus essent, B impunitos sineret, in quamcunque demum imperii Romani partem deliquissent. Hæc & ipse pactus est, & qui illum comitabantur Megistanes; si falleret ipse, omnibus se viribus præpedituros inceptum pollicentes. Atque hujusmodi quidem Byzantii fuere transacta. Fama vero eorum ex Europa in Asiam translata, phylarchi ibi haudquaquam sibi commodum fore putantes, si impe- C rator sibi Sultanum adgregasset; missis legatis precabantur, ut & ipsis Sultanum conciliaret. Horum ille orationem non illibenter audivit; sed velut rem omnem arbitrio relinquens Sultani, ipsos ad illum misit, in palatio, quemadmodum dictum est, divertentem. Simul ei præsto fuere, magno opere contendebant, ut deponeret inimicitias, utque & apud principem pro se intercederet persuase-

δὲ ἱκετεύοντα προσηκάμενος, ἐν φίλων μοίρᾳ καὶ αὐτοὺς ἐποιήσατο. Εἰρήνη τε τὸ λοιπὸν στάθηρα τῇ Ῥωμαίων εἶχεν ἀρχῇ. Ἐπειδὴ ἡ βασιλὶς Εἰρήνη τὸν βίον ἤδη μετήλλαξε, βασιλεὺς δὲ οὔπω ἄῤῥενος τότε πατὴρ παιδὸς ἐτύγχανεν ὤν, ἐπὶ δευτέρους λοιπὸν ἔβλεψε γάμους. Καὶ ἦν γάρ τις κόρη τῶν κατὰ τὴν ἐν Φοινίκῃ Τρίπολιν, Λατίνα μὲν γένος, περικαλλὴς δὲ ἐν τοῖς μάλιστα. Ταύτην ἐκεῖθεν ἄξοντας Ἰωάννην τε Σεβαστὸν τὸν Κοντοστέφανον ἔπεμψε, καὶ Θεοφύλακτον ἄνδρα Ἰταλὸν, ὃν Ἐξκούβιτον ἐκάλουν. Εἶδόν τε οὖν τὴν κόρην οἱ ἄνδρες, καὶ ἀγασάμενοι τοῦ κάλλους, ἐπειδὴ μηδὲν ὁθενδήποτε ὑπεφαίνετο πως ἐμποδὼν, μηδὲν ὑπερθέμενοι, ἐς τὴν τριήρη ἐμβιβάζουσιν. Ἄρτι δὲ ἐκεῖθεν ἀφήσειν μελλόντων, νόσοι βαρεῖαι τῇ κόρῃ ἐνέσκηπτον, καὶ ἦν ἐν κακοῖς. ὅθεν καὶ ἀεὶ εἰς τὴν ἐπιοῦσαν ἀναβαλλόμενοι τὸν ἀπόπλουν, εἰκῆ τὸν καιρὸν ἀνῆγον. κἂν γὰρ ἐν ὀλίγῳ ἀνεθείη τῶν ὀδυνῶν, προσδοκήσιμός τε ἀποπλεῖν γένοιτο, ἀλλ' ὥσπερ ἀπὸ προνοίας τινὸς, ὀπισθόρμητόν τι δεινὸν ἐπ' αὐτὴν ἤρχετο, καὶ κατακλιθεῖσαν ἔφριττέ τε τὸ σῶμα, καὶ ἐκλονεῖτο ἐξαίσια. πυρετοί τε αὐτὴν μετεδέχοντο, καὶ ὑπωπιασμὸς ἤδη, καὶ τηκεδὼν ἐπηκολούθει. καὶ τὸ τῆς ὄψεως ἄνθος χαρίεντι μαρμαῖρον τὰ πρότερα, ἠλλοιοῦτο κατὰ βραχὺ καὶ ἐξυγνοῦτο. Ἰδὼν ἄν τις δακρύων ἐπλήσθη, τηλικούτου λειμῶνος ἔξωρα φθίνοντος. Οὕτω μὲν ἡ κόρη

A runt. cujus ille admissis precibus, & ipsos in numerum amicorum ascivit. Tum igitur in reliquum firma pax omni parta est Romano imperio. Postea quam vita excesserat Eirene Augusta, imperator, masculæ adhuc prolis exsors, de secundis nuptiis cogitare cœpit. Et erat puella Tripoli in Phœnicia, Latina genus, forma eximia: eam inde adducturos misit Joannem Sebastum Contostephanum, &
B Theophylactum hominem Italum, quem Sexcubitum appellabant. Simul itaque virginem conspexerunt legati statim forma arrisit; atque ubi nihil utique obstare videbatur, non amplius morati, in triremem deducunt. Jamque inde decessuris, morbi graves corripere virginem & male habere. unde in sequentem semper diem extrahentes abitum, frustra tempus consumebant. si enim vel paul-
C lulum dolores cessassent, fuisset etiam ad iter parata, sed, velut ab consilio quodam, rediens malum invasit iterum eam, corpusque decumbentis tremere ac convelli graviter cœpit; ad hæc febris secuta est & livor, & tabes; flosque faciei, primum ad gratiam rutilans, obfuscari paulatim & languescere. eam intuenti lacrimæ oboriebantur, tanta viriditate corporis intempestive pereunte. His

κακῶς

κακῶς εἶχεν ἐπ' οἴκου διατρίβουσα. A Εἰ δέ ποτε καὶ τὴν ναῦν ἀναβαίη, καὶ ὀλίγον Τριπόλεως ἀναχθείη, ἐνταῦθα διπλοῦς ἐπανεφύετο κλύδων. καὶ τὸ μὲν σκάφος εἶχεν ἡ Τρίπολις αὖθις, τὰς δὲ νόσους ἐκείνη οὐ πολὺ ταύτης ἀπολειφθεῖσα ἐδέχετο μείζους. Τοῦτο πολλάκις ἐπιγεγονὸς εἰς ἀπορίαν τινὰς τὸν Κοντοστέφανον ἦγεν ἐννοίας. Τοίνυν καὶ ἀσχάλλων, ὡς τὸ εἰκὸς, ἄλλοτε ἄλλους ἀναπλάττων λογισμοὺς, τέλος ἐπί τινα τῶν ἐνταῦθα νεῶν παρελθὼν, ἐπυνθάνετο, εἰ βασιλεῖ τὴν παῖδα κατεγ- B γυηθῆναι χρεών. ἀνεῖλε δὲ οἱ τὸ ἱερὸν πυθεῖον. ὁ μὲν γάμος ἕτοιμος, οἱ δὲ κεκλημένοι οὐκ ἦσαν ἄξιοι εἰσελθεῖν. Τούτων ἐκεῖνος ἀκούσας, συνείς τε τοῦ χρησμοῦ, ἐπειδὴ καὶ φήμη τις ἤδη περιέθρευσε τούτους, ὡς εἴη γάμων οὐκ ἐκ νομίμων ἡ κόρη φῦσα, πρᾶγμα εἰς αἰσχύνην διαφέρον μάλιστα, ἀπέσχετο ἤδη τῆς ἐγχειρήσεως, ἄρας τε ἐγγύθεν ἐπὶ Βυζάντιον ἦλθεν. Ἦσαν δὲ Ῥαιμούνδῳ τῷ Ἀντιοχείας πρίγκιπι θυγατέρες κάλλει κατ' ἐκεῖνον διενεγ- C κοῦσαι τὸν χρόνον. Ταύτας ὀψόμενον, Βασίλειόν τινα ἐπίκλησιν Καματηρὸν, ἀκόλουθον ὄντα τὸ τηνικάδε, βασιλεὺς ἔπεμψεν. Ὁ δὲ ἐπειδὴ τάχιστα πρὸς Ἀντιόχειαν ἤλυθε, καλὰς μὲν εἶδε καὶ ἄμφω, καλλίων δὲ οἱ ἡ Μαρία εἶναι κατεφάνη. καὶ ἔτυχέ γε τῆς ἀκριβείας ἡ τοῦ πρεσβύτου ἐκείνου βάσανος. Τηλικοῦτον γὰρ κάλλος οὔπω, Βυζάντιοι ἔλεγον, ὁ καθ' ἡμᾶς ἐγνώρισεν αἰών. Ἀλλὰ ταῦτα μὲν ὕ-

puella malis domi afficiebatur. Si verò aliquando navem ingrederetur & parum Tripoli abesset, ibi iterum duplo major accessio oriri: itaque navis redire in urbem, cum ipsa haud longe inde provecta in morbos graviores incideret. Id ubi crebro evenisset, Contostephanum ad ambiguas incertasque cogitationes egit. Itaque is, nec mirum, indignari, aliisque super alia agitatis consiliis, novissime templum ibi aliquod ingressus, an principi expediret virginem illam ducere, sciscitari. respondit illi oraculum: *nuptias quidem paratas, invitatos vero dignos non esse qui ingrediantur.* Quibus auditis & intellecto oraculo, cum & fama accidisset, non esse legitimo matrimonio prognatam virginem, id, quod erat pudendum maxime, abstitit incœpto, & mox abiens Byzantium rediit. Erant autem Raimundo Antiochæ principi filiæ, pulchritudine tum temporis præcellentes. Has ut spectaret Basilium quendam, cognomento Camaterum, acoluthum, imperator misit. qui ut celerrime Antiochiam venit, formosam quidem vidit utramque, pulchriorem tamen Mariam æstimabat: & rectum erat senis istius judicium. Talem enim formam aiebant Byzantini nunquam sua ætate extitisse. Sed de

στερον. Τότε δὲ ἐπειδήπερ ἐπὶ τὴν Μαρίαν ὁ Γνώμων εἶδε, πυθόμενος βασιλεὺς, ἄνδρας τῶν ἐπὶ δόξης ἐπ' Ἀντιοχείας ἔπεμψε, τὴν κόρην αὐτῷ καταστήσοντας, Ἀλέξιον δὴ, τοῦ βασιλέως Ἀλεξίου θυγατριδοῦν, ὃς καὶ μέγας τῷ τότε δοὺξ ἐτύγχανεν ὤν, καὶ Νικηφόρον τὸν ἐκ Βρυεννίων, γαμβρὸν μὲν ἐπ' ἀδελφιδῇ βασιλεῖ γεγονότα, Σεβαστὸν δὲ ἤδη τετιμημένον. Ἐν οἷς καὶ Ἀνδρόνικος ἦν ὁ Καμάτηρος, ὃς τὴν ὕπαρχον τότε διεῖπεν ἀρχὴν, ἀνὴρ Σεβαστότητι μὲν ἀξιωθεὶς, ξυγγενὴς δὲ βασιλεῖ καὶ αὐτὸς ὤν. οἱ δὲ καὶ εἶδον, καὶ θαυμάσαντες ἐνέθεσαν τῇ τριήρει, καὶ μεγαλοπρεπῶς ἐς Βυζάντιον ἐκόμισαν. Πέμπτην τοίνυν καὶ εἰκοστὴν μηνὸς ἄγοντος Ἀπελλαίου, ὃν Δεκέμβριον Ῥωμαΐζοντες ὀνομάζουσιν ἄνθρωποι, εἰς τὸν περιώνυμον τῆς τοῦ θεοῦ Σοφίας οἶκον, λαμπρῶς καταχθεὶς, ἐνταῦθα ταύτην ἁρμόζεται, Λουκᾶ τὴν ἐν Κωνσταντινουπόλει Ἐκκλησίαν τηνικαῦτα λαχόντος, Σωφρονίου Ἀλεξανδρείας, καὶ τοῦ Θεοπόλεως Ἀθανασίου, ἣ Χριστιανοῖς ἔθος ἐστὶ, τὰς χεῖρας αὐτοῖς ἐπιθέντων. αὐτῷ τε αὐτὴν ἀνειπὼν, ἐς τὰ βασίλεια παλινδρομεῖ, μεγαλοπρεπέσι τε δείπνοις τοὺς ἐν τέλει εἱστία, καὶ δημοθοινίας ἁπανταχῆ τῶν τῆς πόλεως ἐκάθιζε στενωπῶν. τῇ ἑξῆς δὲ συνδειπνήσοντας αὐτῷ τοὺς Πατριάρχας ἦγεν, ἀφθόνῳ τε χρυσίῳ δεξιωσάμενος ἕκαστον ἀπέλυε. πρὸ πάντων γε μὴν, χρυσίου κεντηνάριον τὴν Ἐκκλησίαν ἐδωρήσατο. Ὀλίγῳ δὲ ὕστερον καὶ ἁμίλλαις ἵππων διῆγε τὸν

A his postea. Tum postquã inspector Mariam notaverat, imperator, eo cognito, viros clarissimos Antiochiam mittit virginem sibi petituros, Alexium nempe imperatoris Alexii nepotem, qui & magnus ea tẽpestate duxerat, Nicephorum ex Bryenniorũ familia, affinem principis sororium, jamque Sebasti dignitate insignitum. Inter eos erat & Andronicus Camaterus, imperii tum præfectus, & ipse Sebasti mu-

B nere ornatus & consanguineus imperatoris. Hi & viderunt eam & admirati sunt, ac triremii mpositam magnifice Byzantium adduxerunt. Quinto igitur & vigesimo mensis Apillæi (Romani Decembrem vocant) in celeberrimum deæ Sophiæ templum deductus, illam ibi conjugio sibi jungit, Luca Ecclesię Constantinopolitanæ, Sophronio Alexandrinæ, & Theopolitanæ Athanasio, episcopis, ut Chri-

C stianis est mos, manus ipsis imponentibus. Postquam illam duxisset, in palatium revertitur, magnificisque conviviis proceres excipit, epulas populo per totam passim civitatem vicatim collocat; postridie vero epulaturos secum patriarchas adduxit, singulosque multo donatos auro dimisit. atque ante omnia centenarium auri Ecclesiæ dedit. Paullo autem post certaminibus equorum popu-

δῆμον,

δῆμον, καὶ τῶν εἰς εὐφροσύνην ἀγώνων οὐδενὸς καταμελεῖν ἤθελεν. Ἐν Βυζαντίῳ μὲν ταῦτα ἐπράσσετο. Στέφανος δὲ, τοῦ Βλαδισθλάβου πεπτωκότος, τῆς ἀρχῆς ἤδη ἐγκρατὴς γεγονὼς, βαρὺς ἐδόκει τοῖς ἀρχομένοις, καὶ λίαν ἐπαχθὴς ἦν. Ὅθεν καὶ ἐλοιδορεῖντο αὐτῷ Οὖννοι τὰ πολλὰ, καὶ ἔνδηλοι ἦσαν, ὡς αὐτίκα τῆς ἡγεμονίας αὐτὸν καταστασιάσοντες. Ἐφ' οἷς ὁ Στέφανος ἐκταραχθεὶς, βασιλέως καὶ πάλιν ἐδεῖτο. Ἄρας τοίνυν ἰσημερινῆς ἤδη τῆς ὥρας, ἐπὶ τὴν πόλιν ἐφέρετο Φιλίππου, καὶ αὐτὸς μὲν ἐνταῦθα σὺν τῷ πλείονι τοῦ Ῥωμαίων ἔμεινε στρατοῦ. μοῖραν δέ τινα τοῦ στρατεύματος τῷ ἀδελφιδῷ πιστεύσας Ἀλεξίῳ τῷ Κοντοστεφάνου παιδὶ, ἐπὶ Οὐννικὴν ἔπεμψεν. Ἐν τούτῳ δὲ Στέφανος Οὔννοις ἤδη διαλλαγῆναι νομίσας, οὐκέτι τούτου ἔχρῃζεν. ὅθεν καὶ οἴκαδε λοιπὸν ὁ Ῥωμαίων ἀνεζεύγνυ στρατός. Ἀλλὰ μεταξὺ Οὖννοι αὖθις Στεφάνῳ ἐπισυστάντες, ἄλλα τε πολλὰ εἰς αὐτὸν ἀπερρίπτουν, καὶ δὴ καὶ ὑπ' αὐτῷ τὰ Οὔννων ἀπαλετρεάφθαι ἰσχυρίζοντο πράγματα. διὰ ταῦτα βασιλεὺς μὲν στράτευμα καὶ πάλιν ἤθροιζε. Στέφανος δὲ τὸν κίνδυνον διευλαβηθεὶς, τὸ μὲν πρῶτον φυγὰς, ἐπί τινα τῶν ἐγγυτάτω Ἴστρου πόλεων ἦλθεν, αἳ βασιλέως ἀνέκαθεν κατήκοοι τυγχάνουσιν οὖσαι. Ἐκεῖθεν δὲ ἐπὶ Σαρδικὴν μεταβὰς, ἐνταῦθα βασιλεῖ συνεγένετο. Ὁ δὲ σφόδρα περιαλγὴς τοῖς ξυμπεσοῦσι, τῆς τύχης τε τὸν ἄνθρωπον οἰκτισάμενος, χρή-

A lum affecit. adeoque nullum delectationis genus voluit prætermittere. Hæc quidem Byzantii acta. Stephanus vero defuncto Bladislabo imperium jam adeptus, gravis molestusque admodum subjectis esse cœpit: eoque illum Hunni increpare plurimum, moxque etiam depulsuri solio videri. quibus Stephanus perterritus, auxilium iterum principis invocabat. Motis igitur circa æquinoctium copiis,
B adPhilippopolin ducit;& ipse quidem ibi cum maxima parte Romani exercitus manet, partem vero Alexio Contostephani committens fratris filio in Hunnicam mittit. Sed enim Stephanus interea in gratiam cum Hunnis reversus, nihil eo usus est. unde domum tandem Romanus rediit exercitus. Sed interim Hunni Stephano iterum infesti, tum alia ei multa exprobarunt, tum & sub
C illo perditas esse res suas contenderunt. propter quæ copias rursum contraxit imperator. Stephanus autem, evitato periculo, primum quidem in unam è civitatibus Istro proximis, & à longo tempore principi obnoxiis, fugiens venit; inde vero in Sardicam transiens, ad imperatorem ibi accedit. Ille vero tristis admodum hoc casu, & miseratus fortunam hominis, & pecuniis eum donat,

μασί τε ἐθωρήσατο, καὶ δυνάμεσιν ἀποχρώσαις ἐπὶ τὴν πατρῴαν αὖθις κατῆγεν ἀρχήν. A Ἦρχε δὲ τῶν δυνάμεων τούτων Ἀλέξιος, οὗπερ ἤδη ἐμνήσθην ὁ Κοντοστέφανος, βασιλεὺς δὲ κατόπιν ὀλίγον ἐχώρει. Ἐπειδὴ τε ἐν Ναϊσσῷ πόλει ἐγένετο, ἔννοιά τις αὐτῷ ἐπῆλθεν, ἐνταῦθα στρατοπεδευσαμένῳ, καὶ τῶν ἀμφὶ τῇ Σερβικῇ ἐν παρέργῳ ἐπιμεληθῆναι πραγμάτων. ἄγει γάρ πως ἐφ' ἑκατέρας Παιονικήν τε καὶ Σερβικὴν ὁ χῶρος οὗτος, καὶ ἔστιν ἀμφοτέραις ἐντεῦθεν δέος ἐνιέναι. B Δεσὲ γὰρ, ὃς βασιλέως δόντος τῆς Σερβικῆς ἦρχε τῷ τότε, ἐπειδὴ τῆς χώρας ἐγκρατὴς ἤδη ἐγένετο, τῶν συνθηκῶν ἀλογήσας, Δένδρας τε χώρας εἰσαῦθις μετεποιεῖτο. Καὶ τῆς Ῥωμαίων ἀφηνιάζων ἀρχῆς, εἴς τε Ἀλαμανοὺς ἔπεμψε, κῆδος ἐντεῦθεν ἑαυτῷ συνάψαι διανοηθεὶς, καὶ πᾶν ὃ μὴ κατὰ γνώμην Ῥωμαίοις ἦν, τρόπῳ παντὶ ἐπράσσετό τε δὴ καὶ βασιλέως αὐτὸν μεταστελλομένου, ἐφ' ᾧ κατὰ Παιόνων αὐτῷ συστρατεύσοι. C Ὁ δὲ δύστροπός τις καὶ ἰσχυρογνώμων ἐφαίνετο, ἐπὶ μακροτέραις τε ταῖς ἐλπίσιν ὠχεῖτο, καὶ εἰς τὴν ἐπιοῦσαν τὴν ἄφιξιν ὑπισχνεῖτο. Ὁ μὲν οὖν βασιλεὺς διὰ ταῦτα, ἐπειδὴ πρὸς τῇ Ναϊσσῷ ἐγένετο, ἔνθα ταῖν ὁδοῖν ἀμφοτέραιν, ἡ μὲν ἐπὶ τὴν Σερβικὴν ἄγει, θατέρα δὲ ἐπὶ τὸν Ἴστρον, καὶ γῆν τὴν Παιονικὴν, ἐν μεταιχμίῳ τὴν στρατοπεδείαν ἐπήξατο. Δεσὲ δὲ τὸν ἐπικρεμάμενον ἤδη κίνδυνον αὐτῷ συνιδὼν, τὸ περὶ αὐτὸν ἀναλαβὼν στράτευμα, ἐς

A & ſufficientibus ad patrium recuperandum imperium viribus mittit: ei exercitui præerat Alexius, cujus modo fecimus mentionem, Contoſtephanus. Imperator autem paululum à tergo ducebat. Poſtquam ad Næſſum urbem ventum erat, cogitatio illum ſubit, ibi caſtris poſitis, res Serbicas per otium expediendi. fert enim in Pæoniam & Serbicam iſte locus, ſed periculum erat utramque ingre- B dienti. Deſe nimirum, qui principis beneficio Serbicæ tum imperitabat, ſimul regionem illam obtinuit, rupto fœdere, Dendram etiam rurſum occupavit, & Romanum reſpuens imperium, ad Alamannos miſit, ut inde ſibi affinitatem contraheret, & quidquid adeo ingratum eſſet Romanis, omnibus modis faciebat; etiam tum, cum à principe advocaretur, ut adverſus Pæones bellanti auxilio C eſſet, difficilis ac pertinax videri, magnarum rerum ſpem agitare, ſemperque proximum in diem adventum prodere. Imperator propterea, ad Næſſum ut venerat, ubi viæ duæ, altera in Serbicam, altera ad Iſtrum & Pæoniam ducens, in medio inter utramque caſtra poſuit. Deſe vero imminens jam ſibi diſcrimen prævidens, accepto quod collegerat, agmine, in caſtra Romana venit: eum impera-

τὶ

τὸ Ῥωμαίων ἀφικνεῖται στρατόπεδον. A Βασιλεὺς δὲ εὐμενῶς τε αὐτῷ προσηνέχθη, καὶ τὰ εἰκότα τετίμηκεν. Ἀλλ' ἔοικεν ἀκολάστου γλώσσης μηδὲν αἴσχιον εἶναι κακόν. Δεσὲ γὰρ, ἐπειδὴ μηδὲν ἐξ ἀβουλίας αὐτῷ τῆς προτέρας ξυνενεχθὲν ἔγνω κακὸν, ἐπῆρτό τε τὴν διάνοιαν, καὶ μείζω κακουργήσειν ἢ πρότερον ἐς Ῥωμαίους διενοεῖτο. εἶχε δὲ ὅμως ἐν ἀπορρήτῳ τὸ σκέμμα. Οὕτω φιλανθρωπίας ὑπόθεσις τοῖς τῶν ἀνθρώπων πονηροτάτοις ὕλη μειζόνων ἀδικημάτων ὡς τὰ πολλὰ γίνεσθαι εἴωθεν. B ἧκον μὲν γὰρ ὀλίγῳ ὕστερον πρέσβεις ἐς βασιλέα ἐπὶ τοῦ Παιόνων ἔθνους. Ὁ δὲ κατά τινα τύχην αὐτοῖς συναντώμενος, ὅπη τε τὰ κατ' αὐτὸν ἔχοι πρὸς αὐτῶν ἠρωτημένος, ὥσπερ ἔθος ἐστὶν, ἀπαρακαλύπτως ἔφησεν. ὡς καλῶς καὶ τοῖς πρὸς αὐτὸν ἐπαξίως τοῦ σφῶν Ῥηγὸς εὐμενείας, κύριον αὐτὸν διαφανῶς ὀνομάσας. Ταῦτα πυθόμενος βασιλεὺς οὐκέτι μέλλειν ἔγνω, καὶ τοίνυν ἐπὶ δίκην καλέσας αὐτὸν, ἐπειδήπερ ἐκρατεῖτο τῶν C κατηγόρων αὐτοῦ καὶ συνειδότων, κατὰ πρόσωπον ἱσταμένων ἤδη, καὶ θεατριζόντων τῷ ἀνθρώπῳ τὴν ἀπιστίαν, τότε μὲν ἐν τῷ ἀσφαλεῖ, οὐ σὺν ἀτιμίᾳ, τοῦτον ἔσχε. Ταφρείᾳ γὰρ τὴν σκηνὴν αὐτοῦ περιέχων, κατὰ τὸν ἐν τοῖς χαρακώμασι νόμον ἐτήρει, ὡς ἀπ' ἐκείνου λοιπὸν Δεσὲ χάρακα τὸν τόπον ὀνομασθῆναι. Οὕτω γὰρ τὴν ταφρείαν ἰδιωτίζοντες ὀνομάζουσιν οἱ πολλοί. ὀλίγῳ δὲ ὕστερον ἐς Βυζάντιον πέμψας, ἐνέφρουρει ἐν

Παλατίῳ

tor benevole exceptum quo decebat honore prosecutus est. Sed lingua intemperanti nullum esse turpius malum solet. Namque Dese, ubi nihil sibi obvenisse incommodi propter priorem temeritatem vidit; tollit animum, ac majora, quam ante, inferre mala Romanis cogitat: sed propositum hoc silentio premebat. Ita plerumque amicitiæ prætextus majorum pessimis hominibus injuriarum materia est. Venerunt siquidem paullo post Pæonum de gente ad imperatorem legati: quibus ille forte fortuna obvius, rogatusque, uti moris est, ut erga illos ipse animatus esset, nihil dissimulans respondit, optime & prout regis eorum erga se benevolentia mereretur, dominum illum palam nominans. Postquam ea cognovisset imperator, cunctari amplius noluit: sed in jus vocatum, ubi convictus ab adversariis erat & coram productis consciis ac perfidiam homini exprobrantibus, in custodia, sine dedecore tamen, habuit. Vallo enim tabernaculum ejus cingens, secundum militiæ & castrorum morem servavit, ut ab illo deinceps Dese Fossa locus iste fuerit nominatus. ita namque vallum id singulari nomine multi vocant. Paucos autem post dies eum Byzantium misit & palatio inclu-

Παλαγίῳ κατεσκήσατο. Ταῦτα μὲν A τῇδε ἐγένετο. Βασιλεὺς δὲ τοῖς ἐκ τῶν Παιόνων ἀφιγμένοις χρηματίσας πρέσβεσιν, ἐπειδὴ μηδὲν ὑγιὲς αὐτοὺς ἀπαγγέλλοντας ἔγνω, ἐκέλευεν αὐθημερὸν τοῦ Ῥωμαϊκοῦ ἀπαλλαγέντας στρατοπέδου, τὴν αὐτὴν αὖθις προΐεσθαι. Οἱ μὲν οὖν ἀπέεσαν. Ὁ δὲ ἐπὶ Βελέγραδα πάλιν ἐλθὼν, ἐνταῦθα ηὐλίσατο, ἣν, καθάπερ εἴρηται, Ζεύγμινον καθελὼν ὁ Ῥωμαίων ἐδείματο στρατός, συναιρομένους τῶν πόνων καὶ Οὔννων πολλοὺς B ἔχοντες. Παίγνιον δὴ τοῦτο τὰ ἀνθρώπεια διαχλευαζούσης ἀεὶ πράγματι. κἂν γὰρ ἐπεγγελάσῃ τις, τοὺς πάλαι καθαιρεθέντας δομήτορας αὖθις οἰκιστὰς καθορῶν, ἐκ τούτων εἶμαι τὸ τῆς τύχης ὄνομα παρὰ τοὺς ἀνθρώπους ἐρρύη. Τῶν γὰρ τῆς προνοίας ἔργων τοῖς λόγοις ἐφιστάνειν οὐκ ἔχοντες, ἐκ τοῦ παραλόγου σφίσιν εἶναι δοκοῦντος, τῇ τύχῃ τὰς τῶν πραγμάτων διδοῦσιν ἐκβάσεις. ἀλλὰ ταῦτα μὲν ὥς πη φίλον C ἑκάστῳ νομιζέσθω τε καὶ λεγέσθω. Ὁ δὲ λόγος ἐχέσθω τῶν προτεθέντων. Ἐπειδήπερ ὁ βασιλεὺς ἐνταῦθα ἐγένετο, γνοὺς ἀμήχανον εἶναι λοιπὸν Στέφανον γῆς ἄρξειν τῆς Οὔννων (ἤδη γὰρ Στέφανον αὖθις τὸν Γάτζα κατεστήσαντο φέροντες) ἑτέραν ἐτράπετο. Οὐννικῆς γὰρ δυνάμει τῇ πάσῃ, καθάπερ εἴρηται, μεταποιεῖσθαι ἤθελεν, ἐν μεταιχμίῳ τῶν ἑσπερίων κειμένης ἐθνῶν. Βε-

cludi jussit. Hæc quidem ibi acta. Princeps auditis inde Pæonum legatis, ubi nihil eos sani adferre cognovit, castris excedere Romanis & recta domum abire jussit. Illi igitur abierunt: ipse autem ad Belegrada cum venisset, castris ibi positis consedit: quam civitatem, diruto, ut supra commemoravimus, Zeugmino, Romanus miles ædificaverat, multis Hunnorum in partem laboris adscitis. Jocus hic est illius quæ ludit in rebus humanis sive fortunæ sive providentiæ. Atque adeo (licet hoc forsan risurus sit aliquis) cum adspicio eosdem ab seseolim eversarum urbium vicissim postea conditores, subit suspicari, Græcum Fortunæ vocabulum Τύχη à Τεύχειν, quod est fabricare, ab hominibus impositum. Cum namque capere non possunt operum providentiæ rationes, dum præter opinionem accidere videntur, rerum exitus fortunæ tribuunt. Sed hæc, prout lubitum cuique fuerit, arbitretur & dicat. Nos autem ad priora redeamus. Ubi jam eo pervenisset imperator, vidissetq; Stephano Hunnorum dominatum servari non posse (namque illi Stephanum Jatzæ filium iterum restituerant) aliam ingressus est viam. Hunnicam enim omnino, sicuti dictum est, ut in potestate haberet con-

λαι

λαν τοίνυν, ὃς μετὰ Στέφανον τῷ Γατζᾷ παῖς ἦν, Μαρίᾳ τῇ αὐτοῦ θυγατρὶ συνάψαι πρὸς γάμον διενοήθη. Γεώργιον μὲν οὖν, ὃς ἑταιρείας τῷ τότε ἡγεῖτο τῆς βασιλικῆς, Παλαιολόγον μὲν γένος, ἐς δὲ τὸν τῶν σεβαστῶν ἀναβεβηκότα ὄγκον, ἐπὶ Οὐννικὴν πέμψας δοκιμάζειν ἐκέλευε περὶ τοῦ κήδους. Ὁ δὲ τὴν ἐς Βυζάντιον αὖθις ἐστέλλετο. Οὖννοι δὲ τῷ Παλαιολόγῳ κοινολογησάμενοι, Βελάντε φέροντες ἔδοσαν αὐτῷ, καὶ χώραν, ἣν ὁ πατὴρ αὐτοῦ περιὼν ἀπεδεδώκει, ἄσμενοι ἐκληρώσαντο. Ὁ τοίνυν Παλαιολόγος παραλαβὼν αὐτὸν, σὺν ὁμολογίαις, αἷς εἴρηται, ἐν Βυζαντίῳ παρεγένετο. Καὶ τὸ ἐντεῦθεν τῶν ἐπὶ τῷ κήδει βασιλεὺς ἐφρόντιζεν. Ὅ τε παῖς Ἀλέξιος ἤδη μετωνομάσθη, καὶ δεσπότης ἀνεβοήθη. Ἡ μὲν οὖν ἐπὶ Βυζάντιον ἄφιξις τῷ Βελὰν ταύτην ἔσχεν ἀρχήν. Βασιλεὺς δὲ τὰ κατὰ τὴν ἑσπέραν καλῶς ἔχειν ὑπολαβὼν, ἐπὶ τὴν Ἀσίαν λοιπὸν ἔβλεψε, καὶ πρότερον μὲν τοῖς συμπεσοῦσιν εἰς τοῦτο κεκινημένος, πρὸς δὲ τῶν ἑσπερίων ἐκεῖθεν ἑλκόμενος πραγμάτων. Νουραδὶν γὰρ, ὃς τῆς κατὰ Συρίαν ἦρχε Βερροίας καὶ Δαμασκοῦ, πόλεων ἄμφω περιφανῶν, τῆς τύχης εὐμενὲς ἐμβλεψάσης αὐτῷ, καὶ ἄλλων τε πόλεων ἦρξε πολλῶν, αἳ τῶν Εὐφράτου πίνουσι ναμάτων, καὶ χωρῶν οὐκ εὐκαταφρονήτων περιγέγονε συχνῶν, πολλοῖς τε τῶν τῇδε

A tendebat in medio occidentalium populorum sitam. Itaque de Bela, qui post Stephanum Jatzæ filius erat, adsumendo in matrimonium filiæ suæ Mariæ cogitat: & Georgium propterea, cohortis imperatoriæ tum temporis præfectum, Palæologum genere, atque ad Sebasti honorem provectum, ad tentandam affinitatem in Hunnicam mittit. ipse vero Byzantium se recipit. Hunni in colloquium B cum Palæologo congressi, & Belan ipsi tradiderunt, & agrum, quem superstes adhuc pater illi dederat, sorte facta lubentes adsignarunt. Eo itaque accepto Palæologus quibus dictum est conditionibus, Byzantium rediit; quæque ad affinitatem pertinebant imperatori deinceps cordi fuere. Ipse puer mutato nomine Alexius vocabatur, & appellabatur Despota. Tale quidem ini- C tium Belæ in urbem Byzantinam adventus habuit. Imperator autem bene jam res in occidente constitutas ratus, Asiam deinceps respicere, prioribus quidem eo casibus adductus, sed negotiis inde detractus occidentalibus. Nuradin enim, qui in Syria Berrhœæ & Damasco, claris utrisque civitatibus, ita illi indulgente fortuna, aliisque multis ad Euphratem urbibus imperabat, varia & haud-

A Σατραπῶν εἰς χεῖρας ἐλθὼν, οὓς μὲν δορυαλώτους ἔσχεν, ἐν οἷς καὶ Ἰατζουλῖνος ὁ Ἐδέσσης ἡγεμονεύων, οὓς καὶ πολέμῳ ἀπεκτονὼς ἔτυχε. Ῥαιμοῦνδον δὲ τὸν ἐκ Πετούης, οὗπερ ἱκανῶς ἐν τοῖς ἔμπροσθεν ἐπεμνήσθημεν λόγοις, ἄνδρα ἰσχύϊ καὶ ῥώμῃ κατὰ τοὺς θρυλλουμένους ἐκείνους Ἡρακλεῖς, καὶ Βαλδουῖνον, τὸν Μαρασίου τότε κρατοῦντα. Προϊὼν δὲ καὶ Κωνσταντίνῳ τῷ τῆς Κιλικίας δουκὶ εἰς μάχην καθέστη, ὃν
B Καλαμάνον ἐπεκάλουν νεανίαν, τήν τε ὄψιν ἀγαθῷ, καὶ δραστηρίῳ τὰ ἐς μάχας. Ἀλλὰ τὸ μὲν πρῶτον ἥττητο τότε κατὰ κράτος τοῦ νεανίου, καὶ ἀνηκέστοις περιπέπτωκε συμφοραῖς. Εἶτα τύχῃ τινὶ αὐτόν τε καὶ Ῥενάλδον τὸν Ἀντιοχείας Πρίγκιπα εἷλεν, ἐν οἷς καὶ ὁ τῆς ἐν Φοινίκῃ Τριπόλεως ἡγεμονεύων ἦν. Κωνσταντῖνος γὰρ, ἐπειδὴ τοῦ πολέμου ἐκράτει, οὐκέτι καθεκτὸς ἦν, ἀλλ' ἀλογίστῳ τινὶ τόλμῃ καθυπαχθεὶς, ἐς τὴν
C δίωξιν οὐ σὺν ἐπιστήμῃ πεσὼν, αὐτός τε ἥλω, καὶ τὰ Ῥωμαίων ἔσφηλε πράγματα. Ὁ Νουραδὶν δὲ καὶ Τερόζην μάχῃ νικήσας, ἐλπίσιν ὠχεῖτο, ὡς αὐτίκα καὶ τῆς Ἀντιοχείας ἐπιβησόμενος. Διὰ ταῦτα μὲν οὖν βασιλεὺς καὶ πρότερον ὤδινεν ἐπὶ τοῖς ξυμπεσοῦσι, καὶ ἐπὶ τὴν Ἀσίαν διαβαίνειν διενοεῖτο. τότε δ' οὖν καιροῦ λαβόμενος πᾶς ἐπίρροπος ἐς τοῦτο ἐφέρετο. ἀλλὰ καὶ πάλιν τὰ ἐκ τῆς ἑσπέρας ἐμποδὼν αὐτῷ

A quaquam contemnenda loca expugnaverat, multosque ibi Satrapas bello aggressus, alios quidem captivos habebat, in quibus & Jatzalinum Edessæ principem, alios in acie obtruncaverat, Raimundum scilicet Pictonem, de quo in prioribus libris satis conlo cavimus, virum animo & robore fama celebratos illos Hercules æquantem, & Balduinum Marasii ea tempestate dominum. Progressus
B autem, manus etiam conseruit cum Constantino Ciliciæ duce, quem Calamanum vocabant juvenem, forma bona, & militiæ impigro. Sed victus primum fortitudine juvenis, in gravissimas calamitates incidit: inde forte quadam & ipsum & Renaldum Antiochiæ principem, ac præter hos Tripolis in Phœnicia præfectum cepit. Constantinus enim, postquam bello superaverat, contine-
C re se non potuit; sed stolida quadam audacia incitatus, victosque temere & inconsiderate persecutus, & ipse captus est & rem Romanam destituit. Nuradin vero ubi & Terosen prælio vicerat, etiam capiundæ mox Antiochiæ spem adsumebat. Propter hæc quidem imperator primo casus illos indignari, deque transitu in Asiam cogitare: tum vero accepta occasione, totus eo animum ad-

ἔστησαν.

A ἔστησαν. Ὅτι καὶ νέος Παιόνων ῥὴξ τοῦ Βελᾶν καὶ πάλιν ἐπεβάτευε κλήρου, καὶ παρεσπόνδει καὶ τότε περιφανέστατα, καὶ Στέφανος, ὃν ἤδη τῆς ἀρχῆς ἀπεώσαντο Οὖννοι, διὰ Ἀγχιάλου πόλεως ἐπὶ τὴν Οὐννικὴν πόθεν παρεισδὺς ἀνακαλεῖσθαι τὴν ἀρχὴν διενοεῖτο. Ἔλαθε δὲ προπετέστερον μᾶλλον, ἢ προμηθέστερον, τῷ πράγματι ἐπικεχωρηκώς. Ὡς γὰρ παριὼν τῶν Οὔννων ὑπεποιεῖτο τινὰς, γνοὺς ὁ Στέφανος, πανστρατὶ ἐπ᾽ αὐτὸν ἐφέρετο. B Διὰ τοῦτο βασιλεὺς ἐπὶ Κιλικίας μὲν στράτευμα τὰ ἐνταῦθα φρουρῆσον ἔπεμψεν ἱκανόν. ὁ δὲ ἐπὶ τὸν Ἴστρον καὶ πάλιν ἤλαυνε, Σάον τε περαιωσάμενος ἄντικρυ Τιτελίου τὸ στράτευμα ἔστησε, κατὰ νοῦν ἔχων, ὡς Βελᾶ μὲν τὸν κλῆρον ἀνασώσηται τὸν πατρῷον, Στέφανον δὲ τῶν παρὰ πόδας ῥύσηται δυσχερῶν. Ἤδη γὰρ καὶ ὑπερρύη τὰ τῆς δυνάμεως αὐτῷ, καὶ ἦν ἐν στενῷ κομιδῆ, τῶν σὺν αὐτῷ Οὔννων ἐπὶ τὸν C Ῥῆγα μετατιθεμένων ἑκάστοτε. Καὶ δὴ καὶ Ἀνδρόνικον τὸν Κοντοστεφάνου υἱέα, ὃς καὶ μέγας ὀλίγῳ ἐχρημάτισε Δοὺξ, ἅμα στρατεύματι στείλας, Στέφανον μὲν ἀνήρπασε τοῦ κινδύνου. ὁ δὲ ἄρας ἐκ Τιτελίου, παντὶ τῷ στρατῷ προσωτέρω ἐχώρει. Ὁ γάρ τοι τῆς ἀρχῆς ἐπιβατεύων Στέφανος, ἐπειδὴ μὴ ἐξ ἀντιπάλου δυνάμεως τῷ βασιλεῖ συμπλακήσεσθαι εἶχε, τὸ μὲν πρῶ-

A vertere. sed allata iterum ex occidente fama impedimento fuit. Namque Pæonum novus rex infestabat iterum Belæ hæreditatem, fœdusque aperte violabat; & Stephanus, quem modo imperio deturbaverant Hunni, per Anchialum civitatem in Hunnicam subiens, repetere regnum meditabatur. deceptus autem est præcipitantius eam rem, quam consideratius, aggrediendo. Simul enim in B transitu eum nonnullos Hunnorum conciliasse sibi Stephanus accepit, omnibus obviam copiis processit. Ea propter imperator validum ad præsidia locorum in Ciliciam exercitum mittit: ipse ad Istrum legiones reducit, & Saum transvectus, contra Titelium castra locat, in animo habens, ut Belæ quidem paternam hæreditatem recuperaret, Stephanum vero præsentibus eriperet difficultatibus. C Quippe jam imminutæ illi vires ipseque in arcto erat, Hunnis suis ad regem quotidie deficientibus. Andronicum igitur Contostephani filium, qui brevi tempore magni Ducis nomen gessit, postquam eo cum exercitu misisset, Stephanum periculo explicuit; & ipse, motis ab Titelio castris, toto agmine in ulteriora perrexit. Regni enim invasor Stephanus ubi pares haudquaquam ad dimi-

τον σὺν ταῖς περὶ αὐτὸν δυνάμεσι περίπου τὰ τῆς Οὐννικῆς ἔσχατα ἐχώρει. Ἔπειτα συμμάχους ἐκεῖθεν ἐπαγόμενος, Ῥωμαίοις ἀντιτάξεσθαι ἠπείγετο. Βασιλεὺς δὲ ἐπί τινα χῶρον, Πετρίκον καλούμενον, καταλαβὼν, ἐνταῦθα ἐσκήνου. Ἔστι δὲ ὁ χῶρος οὗτος τῆς εἰς τὴν ἐνδοτέρω Παιονίαν παρελεύσεως ὅρος ὁ πρῶτος, ἔνθα γεγονὼς, Στεφάνῳ ἔγραψεν ὧδε. Ἥκομεν, ὦ ἐμὲ παῖ, οὐ πόλεμον Οὔννοις ἄγοντες, ἀλλὰ Βελᾷ τε ἀδελφῷ τῷ σῷ τὴν χώραν ἀνασωσόμενοι, ἣν οὐ δυναστείᾳ τῇ ἡμῶν παρασπάσαντες εἴχομεν, ἀλλὰ σύ τε ἔδως, καὶ πατὴρ ὁ ὑμῶν πολλῷ ἤδη πρότερον. καὶ Στέφανον δὲ τὸν σὸν τοῦ κινδύνου ἐξαιρησόμενοι θεῖον, γαμβρὸν ἤδη καὶ αὐτὸν κράτει γεγονότα τῷ ἡμῶν. Εἰ βουλομένῳ σοι τοίνυν ἐστὶ, γαμβρὸν ἡμῖν καὶ Βελᾶν ἔσεσθαι, ὅπερ καὶ διωμολόγηταί σοι· τί μὴ τὴν χώραν ἀποδοὺς, τῆς ἡμετέρας θᾶττον ἀπολαύσῃ ξενίας; εἰ δὲ κῆδος ἀποπροσποιῇ, καί σοι ἕτερα περὶ τούτου δοκεῖ· ἴσθι ὡς τοῦ βιάσασθαί σε πολλῷ ἡμεῖς ἀπεχόμεθα μᾶλλον. Βασιλεὺς μὲν ταῦτα ἔγραψεν. Ὁ δὲ ἄλλην τε, καθάπερ εἴρηται, σύμμαχον χεῖρα ἦγε Ἀλαμανῶν, καὶ τῶν πρὸς τῷ Ταύρῳ ἱδρυμένων ἐπηγάγετο Σκυθῶν, καὶ δὴ καὶ τὸ Τζέχων ἑαυτῷ συνεστήσατο ἔθνος, τοῦ ἐν σφίσιν ἄρχοντος πανστρατὶ ἐπ' αὐτὸν ἀφικομένου. Ἦν δὲ οὗτος ὁ Κορράδῳ πάλαι τῷ Ἀλαμανῶν συ-

A candum cum principe vires habuit, primum quidem cum iis, quę aderant, copiis in ultimos Hunnicæ angulos concedit: postea adductis inde auxiliis, acie decernere cum Romanis gestiebat. Imperator vero ubi ad locum quendam pervenisset, Petricum vocant, castra ibi posuit. Est vero locus iste introitus in interiorem Pæoniam primus terminus: quo cum pervenisset, Stephano hunc in modum B scripsit: *Non ad inferendum Hunnis bellum, fili mi, venimus, sed ad restituendum Belæ fratri tuo terram suam, quam non nos dominationi vestra detraximus, sed & tu illi concesseras & pridem ante pater vester: & ad eripiendum periculo Stephanum avunculum tuum, jam & ipsum Majestatis nostræ affinem. Quod si ergo te non invito Belas gener est noster, uti quidem simul pactus es, cur non redditis illi finibus nostra potius frueris* C *amicitia? si vero necessitudinem ejuras, & nunc aliam mentem cepisti, scito nos multo intentius facturos, ut te vim facere prohibeamus.* In hanc sententiam scripsit imperator. Ille autem & alias auxiliares manus Alamannorum, & Tauro accolentium Scytharum accivit, & Zechorum etiam nationem sibi adjunxit, quorum rector cum omni exercitu ad eum accurrit. Idem Conrado Alamannorum regi mi-

σπαλδέντας

στρατεύσας ἐκεῖ, ἐπινίκια, ὥσπερ μοι διελήλυθε, ἐπὶ Ἀσίαν ἐκεῖνος ἐστέλλετο, Ῥὴξ τε διὰ ταῦτα ὑπ' ἐκείνου γενόμενος. Καίτοι ἐψεύσαντο ἄμφω, ὁ μὲν τὴν κλῆσιν, ἄπορος δὲ τὴν χάριν ὁ δοὺς. Μακρὸς γὰρ ἐξ οὗ χρόνος τὸ τῆς βασιλείας ὄνομα ἐν Ῥώμῃ ἀπώλετο, ἐξ ὅτου μὲν Αὔγουστον, ὃν καὶ Αὐγουστοῦλον ἐκάλουν, τὸ τῆς ἡλικίας αἰνιττόμενοι νέον, καθ' ἣν ἐπελάβετο τῆς ἀρχῆς, ἐπὶ Ὀδόακρον καὶ Θευδέριχον, ἑξῆς τὸν Γότθων ἡγεμόνα, τυράννους ἄμφω, μετέβη τὰ τῆς ἡγεμονίας. Ῥὴξ γὰρ Θευδέριχος, καὶ οὐ βασιλεὺς, διεβίω καλούμενος, καθάπερ Προκόπιος ἱστορεῖ. Ῥώμη μέντοι ἀπὸ Θευδερίχου καὶ ὀλίγῳ πρότερον, ἄχρι καὶ νῦν στασιαζομένη διαγέγονε. Πολλάκις μὲν πρὸς Βελισαρίου καὶ Ναρσοῦ, τῶν Ῥωμαίων στρατηγῶν, ἐπὶ τῶν Ἰουστινιανοῦ Ῥωμαίοις ἀνασωθεῖσα χρόνων. Αὖθις δὲ οὐδὲν ἧττον τυράννοις βαρβάροις δουλεύουσα, οἳ καὶ ῥῆγες κατὰ Θευδερίχου τοῦ πρώτου καὶ ῥηγὸς ἅμα καὶ τυράννου κέκληνται ζῆλον. Οἷς δὲ μὴ τοῦ τῆς βασιλείου μέτεστιν ὕψους, πόθεν οὗτοι τηλικαύτας προβεβλήσονται ἀρχὰς, αἳ, καθάπερ ἤδη ἔφην, οἱονεί τινες διαιρέσεις ἐκ τοῦ τῆς βασιλείας καθίενται κράτους. τοῖς δὲ οὐκ ἀπόχρη μόνον, εἰ τῷ τῆς βασιλείας οὐδὲν προσῆκον ἐπιβατεύουσιν ὕψους, ἐμπόρων ἑαυ-

A litaverat, ut supra dictum est, cum in Asiam expediret, idque ob meritum rex ab eo nuncupatus erat. Sed uterque frustra fuit, alter cum nomine regio; alter cum beneficio & dono nominis. Jamdudum enim imperatorium nomen Romæ abolitum erat, ex quo, nempe ab Augusto (quem & Augustulum dixerunt, ætatem ejus teneram, in qua occupavit imperium, significantes) in Odoacrum &
B mox Theodoricum, Gothorum ducem, tyrannos ambo, transivit potentia. Rex enim Theodoricus, non imperator, quoad vixit, vocitatus est, ut Procopius scribit. Ipsa quidem Roma Theodorici ab ævo & paullo ante in hunc usque diem veris imperatoribus rebellis mansit: non semel à Belisario & Narse, ducibus Romanis, Justiniani tempore imperio vindicata, rursum nihilominus tyrannorum
C barbarorum adducta fuit servitio, qui & Reges, imitatione Theodorici, primi & regis & tyranni, appellati. Cæterum illi, qui celsitudinis Augustæ non sunt participes ipsi, quo jure conferent in alios tanta potestatum insignia, quæ quasi segmenta & particulæ sunt Augustæ majestatis? Illis vero non hoc sufficit unum, quod invadunt nulla parte sibi congruens imperatorium fastigium, velut nundi-

τοῖς περιτεθέντες κράτος. βούλεται δὲ τοῦτο τὸ ἀκέρατον ἑρμηνεύειν. Ἀλλ' ἤδη καὶ τὴν ἐν Βυζαντίῳ βασιλείαν ἑτέραν παρὰ τὴν ἐν Ῥώμῃ ἀποφαίνειν τολμῶσιν. ἅπερ ἐμοὶ διασκοπουμένῳ πολλάκις ἤδη καὶ δακρῦσαι ἐπῆλθεν. Οἷον γὰρ οἷον, ἡ Ῥώμης ἀρχὴ βαρβάροις καὶ δεινῶς ἀνδραποδώδεσιν ἀνθρώποις διεκαπηλεύθη χρῆμα. Κἀντεῦθεν οὔτε ἀρχιερέως αὐτῇ μέτεστι, οὔτε πολλῶν δήπουθεν ἄρχοντος. Ὁ μὲν γὰρ τῷ τῆς βασιλείας ἐπεμβαίνων μεγαλείῳ, ἀναξίως ἑαυτῷ, ἱππευομένῳ πεζῇ τῷ ἀρχιερεῖ παραθέει, καὶ ὅσα καὶ ἱπποκόμος αὐτῷ γίνεται· ὁ δὲ Ἰμπεράτορα τοῦτον, εἰς ταυτὸν ἄγων βασιλεῖ, ὀνομάζει. Πῶς, ὦ βέλτιστε, καὶ πόθεν σοι τοῖς Ῥωμαίων βασιλεῦσιν εἰς ἱπποκόμους κεχρῆσθαι ἐπῆλθεν; ἀλλ' οὔτε πόθεν ἔσχες, καὶ σὺ μὲν ψεύδῃ τὸν ἀρχιερέα, ὁ δὲ τὸν βασιλέα διακιβδηλεύει. Μὴ γὰρ τὸν ἐν Βυζαντίῳ τῆς βασιλείας θρόνον Ῥώμης θρόνον διομολογοῦντι σοι, πόθεν τὸ Πάπα σοὶ κεκλήρωται ἀξίωμα. Εἷς ἐστὶν, ᾧ ταῦτα ἔδοξε, Κωνσταντῖνος, ὁ πρῶτος ἐν βασιλεῦσι Χριστιανός. πῶς οὖν τὸ μὲν αὐτοῦ ἄσμενος δέχῃ, τὸν θρόνον φημὶ, καὶ τὸ τῆς ἀξίας ὑπερβάλλον, τὸ δὲ ἀπαρεσποιῇ. ἢ ἀμφότερα στέρξον, ἢ καὶ θατέρου ἀπόστηθι. Ἀλλ' ἐμοὶ, φησὶ,

A narum mercem sibi circumdantes majestatem, eamque sinceram ac meram interpretantur. sed jam eo procedunt audaciæ, ut & Byzantinum imperium diversum ab eo, quod Romæ sit, indigitent. Quæ mihi contemplanti sępe lacrimæ obortæ sunt. Qualem enim quantamque rem, Romæ principatum scilicet, barbari fœdaque mancipia cauponantur, eoque illic à multis tempestatibus neque Pontifex maximus, neque Augustus fuit. B Iste enim, qui imperatorio nomine superbit, pręter decorum tantæ personæ, pedes ipse pontificem equitantem propter cursitat, & tantum non equi ejus curator est: hic vero istum talem imperatorem vocant, & pari cum principibus nostris honore vult censeri. Lepidum caput, quomodo & unde tibi jus factum est imperatoribus Romanis pro stratoribus utendi? sed nec undecumque unquam factum est, & tu Pontificem, ille Imperatorem, mentimini. C Tu enim, qui Byzantinum Augustum solium diffiteris esse solium Romanum, dic mihi, quo tandem auctore Papæ dignitatem sortitus es? Unus est, qui hæc statuit ac decrevit, Constantinus, primus inter imperatores Christinus. Quî ergo alterum quidem institutum ejus libens accipis (thro-

βασιλέας προβεβλῆσθαι ἔξεστι. ὅσον ἐπιθεῖναι χεῖρας, ὅσον ἁγιάσαι, ταῦτα δὴ τὰ πνευματικά. οὐχὶ δὲ καὶ βασιλείας ἤδη καταχειρίζεσθαι, καὶ τάγε τοιαῦτα καινοτομεῖν. Ἐπεί, εἴγε ὑμέτερον ἦν βασιλείας μετατιθέναι, τί μὴ τὴν ἐν Ῥώμῃ αὐτοὶ μετετάξατε; ἀλλ' ἑτέρου πράξαντος, ἄκων ἠγάπα τοῖς δεδογμένοις ὁ τηνικαῦτα τὴν καθ' ὑμᾶς Ἐκκλησίαν λαχών. Σὺ δὲ καὶ περιπίπτεις τοῖς σεαυτοῦ, καὶ λανθάνεις πῶς τ' ἀναντία ποιῶν· ὧν γὰρ οὐ πολλῷ πρότερον, ὡς βασιλέα μὲν καλῶς ποιῶν, οὔκουν ἐδέξω προσκαλοῦντας, ὅτι μὴ δὲ ἐξῆν, εἰς δὲ ἱπποκόμους κατέλεξας· νῦν οὐκ οἶδ' ὅπως εἰς βασιλέας παραλαμβάνεις, καὶ κρίνεις τὸν ἐξ οὗ, καὶ δι' οὗ, καὶ καθ' οὗ, σοὶ τοῦ θρόνου μέτεστιν, οὐ δὲ ταυτὸν τῷ βαρβάρῳ ἴσως, τῷ τυράννῳ, τῷ δούλῳ. Ἀλλὰ τυραννοῦμαι, φησίν, ἀλλὰ βιάζομαι. Οὐκ ἔχει σοι χώραν ἡ σκῆψις. Χθὲς γὰρ καὶ οὐ πολλῷ πρότερον βασιλεῖ Μανουὴλ ταῦτα ὡμολόγεις. κἂν αὐτὸς ἀρνηθείης, ἀλλ' αἱ βίβλοι κηρύττουσιν, αἱ τὰ γράμματά σου τῷ ἐδαφίῳ μετεδέξαντο. Ἀλλ' ὄντως βωμολοχία τις ἐστὶ τὸ πρᾶγμα, καὶ τρόπος μικροπρεπὴς καὶ ἀνελεύθερος, καὶ νοθόγενον δίκην

A num dico & dignitatis inter episcopos excellentiam) alterum vero conculcas & rejicis? Aut utrumque accipe, aut etiam altero cede. Sed meum est, inquit, imperatores creare ac designare. Sane, quatenus manus imponis, quatenus consecras: hæc autem spiritualia sunt: sed non est tuum, imperium imperatoribus abrogare, & istiusmodi res novas moliri. Nam si vestrum erat transferre imperium, quare non olim de B illo, cum Romæ esset, aliter statuistis? sed alterius id facientis invitus atque ingratiis constitutioni acquievit iste, qui tunc temporis vestræ Ecclesiæ præsidebat. Tu vero incurris offendisque in te ipsum, & nescis te tibi ipsum esse contrarium. Quorum enim non multo ante, imperatori gratificatus, ne alloquia quidem & appellationes accipiebas, quod neque licebat; quos stratoribus accensueras; eos nunc nescio quo pa- C cto facis Augustos: & illum, de quo & per quem & sub quo thronum nactus es, non dico barbaro, sed tyranno, sed servo homini parem ponis. Sed, ais, tyrannide opprimos, sed vi cogor. Non habet locum prętextus. Heri & non multo ante imperatori Manueli scis quæ pactus sis; & si inficias iveris, at libelli prædicant, qui literas tuas paginis exceperunt. Cæterum vernilitas hæc est, ratioque agendi indecens atque illiberalis, &

ἀεὶ

ἀεὶ μεθαρμόζῃ ταῖς τύχαις. Ἀλλὰ (A) ταῦτα μὲν πλέον ἢ χρονικαῖς προσῆκε διεξήλθομεν ὑποθέσεσιν. ὁ δὲ λόγος ἀναγέσθω καὶ πάλιν ἐπὶ τὰ πρότερα. Στέφανος μὲν οὕτω συσκευασάμενος, κατὰ Ῥωμαίων ἐφέρετο. Βασιλέα δὲ ἐν τῇ τῶν Οὔννων γεγονότα, ἐξῄεσαν οἱ ταύτῃ ἄνθρωποι πανδημεὶ ὑποδεξόμενοι. ὅσοι τε εἰς τοὺς ἱερέας κατελέγοντο, ἱερουργεῖς ἀναβεβλημένοι στολὰς, καὶ τὰ ἱερὰ χερσὶ φέροντες λόγια, καὶ ὅσοι ὀχλικὸν καὶ δημῶδες ἦν, ᾠδήν- (B) τινα ἐμμελῶς συντεθειμένην ἐκ τῶν παρ' ἡμῖν ἁρμοδιώτατα προσφωνοῦντες. Εἶχε δὲ ὧδε. Ὁ συμμαχήσας κύριε τῷ πρᾳοτάτῳ Δαβίδ, καὶ τὰ ἑξῆς. Ὁ δὲ τὰ τῇδε χωρία ὑπερβὰς, Ἴστρον διαβῆναι ἠπείγετο. Τὴν ἐνταῦθα τε νῆσον παρελθὼν, ἐπὶ τὰ ἐνδότερα χωρεῖν ἤθελεν. Ὅτε δὴ τοῦ Ῥωμαϊκοῦ περαιουμένου, λέγεται μίαν τῶν νεῶν φόρτου πλέαν ὅπλων τε καὶ ἀνθρωπείων ὡς πλεῖστον, οὐ μακρὰν ὄχθης γεγενημένην, ἐπὶ θατέραν νεῦσαι (C) πλευρὰν, ὡς ἤδη καὶ εἰσρεῖν τὸ ὕδωρ ἐπ' αὐτήν. Ὁ μὲν οὖν ἄλλος Ῥωμαίων στρατὸς, ὅσοι τε ναυσὶν ἐμβάντες τοῖς ποταμίοις ἐφέροντο νώτοις, καὶ ὅσοι ἐπὶ τῆς ἠπείρου ἵσταντο ἤδη, οἱ μὲν ὑποψίᾳ κινδύνου, οἱ δὲ ὀλιγωρίᾳ ἐχόμενοι, περιεώρων τὸ πρᾶγμα. καὶ ἡ ναῦς ὀλίγου δεῖν αὔτανδρος τῷ βυθῷ κατεδύσατο, εἰ μὴ βασιλεὺς ἐπὶ τὸ ὕδωρ ἁλλόμενος, ἐπὶ πλεῖστόν τε πεζῇ προελθὼν, καίτοι τοῦ ῥεύματος

A cothurni instar adaptas te vicissitudinibus fortunæ, & cum temporibus mutaris. Verum hęc longius, quam chronicis convenit commentariis, exsecuti sumus. nunc ad priora iterum sermo redeat. Stephanus, ita quidem instructis rebus, ducere ad Romanos pergit. Ad imperatorem vero, postquam in Hunnicam pervenisset, excipiendum omnes gregatim exibant incolæ; & qui sacerdotes apud eos erant, stolam induti sa- B cerdotalem & sacra manibus oracula ferentes, & plebes cæteraque turba, compositam ex nostris cantilenam suavissime canebant. Erat autem ejusmodi: *Qui auxilium tulisti, Domine, mansuetissimo Davidi*, & quæ sequuntur. Ille vero loca ista supergressus, transire Istrum properat: superataque ibi insula, pergere in interiora constituit. Dum ergo exercitus transportaretur, una navis, ut ajunt, sarcinis armisque & militibus cum- C maxime referta, haud procul à litore in alterum latus impulsa, jam & aquam hauriebat. Ibi tum reliquum agmen, tum qui naves ingressi flumine vehebantur, tum qui jam in continente stabant, alii quidem metu periculi, alii negligentia, non subvenire laboranti: adeo ut cum vectoribus navis submersa prope fluctibus fuisset, nisi imperator prosiliens in aquam longumque per eam pedibus incedens, licet magno impetu

σὺν

σὺν ῥύμῃ σφοδρᾷ καταφερομένου, καὶ τέλμα τι ἐνταῦθα δυσδιεξόδευτον ἐργαζομένου, τῷ ὤμῳ τε ὑπέσχε τῇ νηΐ, καὶ τὸν τοῦ κινδύνου ὑποτεμόμενος χρόνον, ἄδειαν τοῖς λοιποῖς ἐπιβοηθεῖν δέδωκεν. Οἱ τὴν αὐτοῦ αἰδεσάμενοι προθυμίαν, παρέστησάν τε τοῖς κινδυνεύουσι, καὶ τοῦ κινδύνου ἐξείλοντο. ἐξ ἐκείνου τοίνυν μέγα ἐπὶ φιλανθρωπίᾳ βασιλεὺς ὄνομα ἔσχε. Τότε δὴ οὖν Ἴστρον ἄνωθέν που διαβὰς, ἐπί τινα πόλιν ὄνομα Παγάτζι ἐφέρετο. Ἡ δὲ πόλις μητρόπολις τῶν Σερμίων τυγχάνει οὖσα. Ἐνταῦθα δὲ διατριβὴν ὁ τοῦ ἔθνους ποιεῖται ἀρχιερεὺς, ἔνθα πλῆθος κατοίκων λόγου κρεῖσσον ἐξήει δορυφορῆσον αὐτόν. Τότε μὲν οὖν ἐνταῦθα που ηὐλίσατο. Ἑξῆς δὲ πυθόμενος Στέφανον ἐγγὺς ἤδη γεγονέναι, εἰς μὲν τὸν πόλεμον αὐτίκα καθίσταται. Ῥωμαίων δέ τινα τῆς Τζέχων συνιέντα γλώττης προσκαλεσάμενος, ἐκέλευε μεταμφιασάμενον ἐπὶ τὸ τῶν πολεμίων καθυποδῦναι στρατόπεδον, εἰς ὄψιν τε τῷ τῶν Τζέχων ἐλθόντα ῥηγὶ, τάδε εἰπεῖν αὐτῷ. Ποῖ δήποτε πορεύῃ; τίνα ταύτην πορείαν σὺν τῷ ὑπό σε φέρῃ στρατεύματι; ἢ οὐκ οἶδας, ὡς βασιλεῖ μεγάλῳ χεῖρας ἀνταίρειν πολεμίας; ᾧ καὶ τὸ ὑπ' αἰτίαις λόγον ἐχούσαις δίχα μάχην ἰέναι σφαλερὸν, μὴ ὅτι γε πρὸς τῶν Οὔννων τανυνὶ περιφρονεῖσθαι κινδυνεύοντι· οἱ Βελᾶ κλῆρον ὄντες, εἶτα ἀφείλοντο, ὅσα

A se ad Istrum ducit, & trajiciendi fluminis rationem init hujusmodi. Expeditiores & ad pugnam meliores in exercitu copias è regione Chrami oppidi Hunnicæ collocans, velut extemplo se transmissurum in speciem ostentat: ad quam rem impediendã ut adversa in ripa obstare Hunnorum agmen vidit, progressus ad Belegrada, ubi dies cœpit, oram inde solvere. Ita distractæ hostium vires, utrique resi- B stere parti contendentium. neque tamen eo minor ad trajiciendum Romanorum animos torpedo occupavit. Quod ubi imperator advertit, primus ante alios, qualia sæpe ausus erat, scapham ingressus, in adversam ripam ferri: inde ceterum agmen, verecundia ejus animi, & ipsi naves conscendere. Hunni vero simul jam transivisse principem viderunt, dissoluta acie, retro proficiscuntur. Ibi impera- C tor in transitu ad hostile solum, dum longius quam decebat prosilit (cœnum enim impediebat, quo minus propius terram navis applicari posset) alterum offensum pedem graviter affecit. Neque ideo tamen remittere impetum; sed dum flumen derivare conatur, eique operi totum diem ipse interest, tumescere pars læsa pedis cœpit. Qui vero Zeugmen barbari præsidio tenebant, magno nume-

 τειχέων

τειχέων ἐκδραμόντες, ὡς ἀντιταξόμενοι ἔστησαν. Ἀλλ' ἅμα τε βασιλέα εἶδον, καὶ ἄλλος ἄλλον προφθάνειν ἐπειγόμενος, ταραγμῷ καὶ θορύβῳ ἐς τὴν πόλιν εἰσέπιπτον. ἐπεξιέναι τε οὐκέτι ἐτόλμων. Καὶ λοιπὸν Ῥωμαῖοι τὰ πρὸς τειχομαχίαν ἐξηρτύοντο. Τρίτῃ δὲ μετ' ἐκείνην ἡμέρᾳ καὶ ἔργου εἴχοντο. Οἱ δὲ βάρβαροι ἐκ τῶν ἐπάλξεων ἀμυνόμενοι, κεκραγμῶν τινῶν καὶ ἀλαλαγμῶν τὸν ἀέρα ἐπλήρουν, ἔβαλλόν τε διηνεκὲς καὶ ἐβάλλοντο. Ἀλλ' ἐπὶ τοιούτοις μὲν ἥ τε αὐτίκα καὶ ἡ μετ' ἐκείνην ἀνάλωτο. καὶ οὐδὲν οὔτε Ῥωμαίοις, οὔτε Οὔννοις, προὐχώρει. Ἐγὼ δὲ καὶ ἄλλα μὲν τῶν εἰς ἐκείνην τετελεσμένων θαυμάζειν ἔχω τὴν πολιορκίαν. τήν γε μὴν τοῦ βασιλέως τόλμαν, εἰ μὴ παρὼν ἐτύγχανον, τῇδε τῶν πραττομένων αὐτόπτης γινόμενος, σχολῇ ἂν ἀφηγουμένους ἐπίστευσα. Ῥωμαῖοι γὰρ ξύλινον τεκτηνάμενοι πύργον, ἀναβαίνειν ἐπὶ τὴν πόλιν διενοοῦντο, ὡς ἀπὸ χειρὸς τοῖς ἐπὶ τῶν ἐπάλξεων ἀντικαταστησόμενοι βαρβάροις. Ὁ δὲ πρῶτος τῶν ἄλλων ἀναβαίνειν ἠξίου, ταύτην δέ μοι, λέγων, ἄνδρες Ῥωμαῖοι, μείζω τῶν ἄλλων χαριεῖσθε τὴν εὔνοιαν, εἴγε ἀναβαίνοντα κωλύετε μηδέν. Οὐ μέντοι καὶ ἐξέπραξε τὸ ἐπιθύμημα. Οἱ γὰρ προὔχοντες τῶν στρατηγῶν περιστάντες, αὐτὸν ἰσχυρότατα διεκώλυσαν. Ὁ δὲ κύκλῳ τὸ τεῖχος περιιὼν,

A ro extra mœnia procurrentes opponere se Romanis parant: sed simul atque imperatorem viderunt, pro se quisque antevertere alios nitentes, ingenti tumultu & trepidatione in urbem incidunt, neque progredi deinde sustinent. Romani post hæc quæ ad oppugnationem spectabant expedire, & tertio die opus ipsum capessere. Barbari vero è turribus se tuentes, clamoribus & vociferationibus B aërem implent, tela continuo jaciunt, iisdemque & ipsi impugnantur. Atque eo certaminis genere & ille & sequens dies consumtus, neque aut Romani quicquam, aut Hunni profecerunt. Ego quidem tum & alia demiror ejus oppugnationis, tum imprimis audentiam imperatoris, nisi ipse tum temporis præsens, quæ acta fuere oculis meis conspexissem, aliis narrantibus difficulter crederem. C Romani enim lignea ædificata turri transcendere in urbem, & cum barbaris mœnia defensantibus cominus manus conserere statuerunt. Ipse autem primus omnium transire voluit, *Hoc maxime*, inquiens, *habebo benevolentiæ vestræ pignus, viri Romani, si me ascendere non prohibueritis.* Non tamen exequi id propositum potuit, quia ducum præcipui circumstantes eum, pertinacissime

αὐτότε

αὐτότε ὅθεν ἐπίμαχον μάλιστα ἦν διεσκοπεῖτο, καὶ τὰς τάφρους, αἳ τὴν πόλιν ἐζώννυον, βάθους τε καὶ εὔρους ἱκανῶς ἐχούσας, φακέλλων ξύλων καὶ φρυγάνων ἀπορίᾳ λίθων ἐκέλευε πληροῦν, οὕτω τε διαβιβάζειν τὰ μηχανήματα, ἤνυσε δὲ ὅμως ἐπὶ τῆς πόλεως ἁλώσει οὔπω οὐδέν. Οὖννοι γὰρ καίτοι μεγάλα πρὸς τῶν Ῥωμαίων βιαζόμενοι στρατιωτῶν, ἐπηλαλάζοντε μᾶλλον ἢ πρότερον, καὶ ἐλπίσιν ὠχοῦντο, ἐλπίδας αὐτοῖς τὸν ἄλλον ἰέναι τῶν Οὔννων στρατόν. Ἐπὶ τοιούτοις τῶν πραγμάτων ὄντων ἠρτημένων, προσπεσόντες οἱ Ῥωμαίων σκοποὶ, μεγάλου ἔφοδον ἐμήνυον στρατεύματος αὐτοῖς. κόνιν γὰρ ἐπὶ πλεῖστον τοῦ ἀέρος ὀρθιάζουσαν ἰδέσθαι. Ἀλλὰ καὶ τῶν τῆς Οὔννων τύχης ἐπιφανοῦς Βάσακις ὄνομα, Ῥωμαίοις προσχωρήσας, οὐ μακρὰν ἄποθεν εἶναι τὸν Παιόνων ἰσχυρίζεται ῥῆγα, ἄλλους τε ἀριθμοῦ κρείττους, καὶ δὴ καὶ Σκύθην ὁμοῦ καὶ Ταυροσκύθην ἄγοντα στρατὸν, πρὸς οἷς καὶ τὸν Τζέχων ἔλεγε δυνάστην πανστρατιᾷ καὶ πάλιν σὺν αὐτῷ ἥκειν. Τούτων ἐπειδήπερ ὁ βασιλεὺς ἤκουσεν, βουλὴν σὺν τοῖς μεγιστᾶσι καθίζει, ὅπως ποτὲ χρὴ τὰ παρόντα διοικεῖσθαι ζητῶν. Ἄνδρες ἀμέλει, ἔφη, Ῥωμαῖοι, οὐ τοῦτο μόνον ἡ τῶν πραγμάτων οἶδε φύσις, ἵνα τις μόνον τολμᾷ, ἀλλ' ὡς ἂν τῇ τόλμῃ μὴ ἀξύμβατα καὶ τὰ ἔργα ἐπιθῇ, μάλιστα ἔγωγε τῷ καὶ

A tinacissime obnitebantur. Ille itaque urbem obequitans, & qua parte expugnatu facillima videretur explorans, fossas, quibus cincta erat, profundas & satis admodum latas, fascium & virgultorum penuria, lapidibus compleri, & sic transportari machinas jubet: neque ea quidquam res momenti ad capiendam urbem attulit. Hunni enim, quamvis gravia à Romanis militibus passi, majores quam ante
B clamores edere, imo & ad spem accingi, reliquum mox Hunnorum agmen præsto futurum. His ita pendentibus rebus accurrunt speculatores Romani, magnum iis auxilio exercitum advenire nunciantes: pulverem enim se quam altissime in aërem sublatum, conspexisse. Sed & Hunnus quidam, opibus & fortuna clarus, Basakis nomine, qui Romanam societatem amplexus erat, haud procul inde
C esse referebat Pæonum regem, & cum alios infinita multitudine populos, tum Scytharum Tauroscytharumque agmen ducere; adhæc Zechorum iterum cum omnibus viribus rectorem cum ipso accurrere. Postquam ea principi comperta sunt, primores castrorum in concilium vocat, deque modo rerum agendarum sententias eorum expostulat: *Non hoc solum, Viri,* inquiens, *Romani, rerum exigit na-*

καὶ κατὰ βραχὺ σωφρονοῦντα περὶ πλείστου εἶναι οἰόμενος. Μὴ τοίνυν ἐπειδὴ τὸ ἔθνος τοῦτο ἐκ παραλόγου τινὸς ἄνωθεν τύχης εὐημερῆσαν δυσαντίβλεπτον τῇ Ῥωμαίων κατέστη ἀρχῇ, διὰ ταῦτα ἀποχρῶν ἡμῖν οἰηθῶμεν, εἰ μόνον ἐπὶ γῆς στρατεύοιμεν τῆς αὐτῶν. Ἀλλ' ἀπονομητέον ἑκάστῳ τὸ προσῆκον, καὶ ἀποδοτέον κατὰ καιρὸν τῇ παρούσῃ περιστάσει τὴν δέουσαν. Οὐ γὰρ ταὐτὰ εὐημεροῦσιν οἶμαι καὶ δυσπραγοῦσιν ἁρμόσειεν ἂν πράγματα· καὶ τῇ Ῥωμαίων τοίνυν ἀρχῇ, εἰ καὶ τῆς παλαιᾶς οὔπω τετύχηκεν εὐκληρίας, ἀλλὰ σὺν Θεῷ φάναι πολλῷ βελτίονι ὑφ' ἡμῖν ἀναφανείσῃ προασπιστῇς, εἰς ἀδοξίαν περιστήσεται, πάντας ἐκ ποδῶν τῷ Οὔννων γενέσθαι Ῥηγί. σὺν πολλῷ μὲν ὥς φασι, καὶ τῷ αὐτόχθονι ἐπιόντι στρατῷ, πλείονι δὲ καὶ τῷ ἀπὸ συμμαχίδος συγκεκροτημένῳ χειρός. Ὅπως ἂν ἀμφότερα ταύτῃ περισωθείη, δόξα τε, ἣν εἰς τὸ βέλτιον ἤδη μεταβαλοῦσα ἔχει, καὶ δύναμις, ἡ αὐτῆς ἀκραιφνὴς ἐντεῦθεν ἀπαλλαγείη, βουλευτέον ὡς ἔνι μάλιστα. Βασιλεὺς μὲν τοσαῦτα εἶπεν. Ῥωμαίων δὲ τῶν ἐκ βουλῆς, τοῖς μὲν μεταστρατοπεδεύσασθαι ἐντεῦθεν ἐπὶ Σάοντι τὸν χάρακα πήγνυσθαι ἐδόκει. ὅπως ἐντεῦθεν σὺν τῷ ἀσφαλεῖ τοῖς πολεμίοις ἀντιφέρεσθαι δύναιντο. τοῖς δὲ τοῦτο μὲν οὐδαμῇ ἤρεσκε, τῆς πολιορκίας δ' ἀφεμένους ἐδόκει δυνάμει τῇ πάσῃ ἐπιὸν ὑποστήσεσθαι τὸν πολέμιον. Ἀλλὰ

A *tura, ut quis modo audeat; sed ne contraria eveniant audacia effecta, maxime equidem vel leviter duntaxat sapienti providendum arbitror. Ne igitur, quia gens hæc, rebus aliquamdiu nescio qua fortuna prospere fluentibus, aspera imperio fuit Romano, ideo satis nos habeamus bellum modo in eorum solo gerere: verum quid temporibus quibusque conveniat attendendum est, & facienda, quæ præsens hic status postulaverit. Neque* B *enim felicibus eadem, quæ infelicibus, congruere facta puto: eoque imperio Romano, quamquam ad pristinam nondum felicitatem redierit, sed, Deo bene juvante, longe æquabilius & melius nobis nunc defensoribus habenti, dedecori erit, omnes nos Pæonum regi cessisse, ingenti quidem, ut ajunt, indigenarum exercitu accedenti, & majoribus adhuc sociorum copiis aucto atque instructo. Qua igitur ratione utraque illi conserventur,* C *& gloria, quæ jam in melius ire cœpit, & potentia, quæ inde tota recederet, quanta maxima fieri cura poterit, reputandum singulis existimo.* In hunc modum imperator disseruit. Alii autem in consilio Romani transferenda ad Saum castra, ut tutius inde obviam hosti iretur, censebant: aliis id minime placuit, qui abstinendum obsidione, cunctisque viribus imminenti resistendum hosti judicarunt. Prin-

βασιλεὺς

βασιλεὺς ἀμφότερα οὐκ ἐπῄνει. Τὸ μὲν γὰρ δειλίαν, τὸ δὲ καὶ ἀβουλίαν ἀπεψήφιστο ἄντικρυς. Ἐξέσται γάρ, ἔλεγε, τῆς πολιορκίας ἀποσχομένων ἡμῶν, δύναμίν τε πολλὴν τῆς νῦν μείζω, καὶ τὰ ἐπιτήδεια διαρκῶς ἐπικομίσασθαι Οὔννους, οἳ ἀμφὶ τῇ πόλει φρουρὰν ποιοῦνται. ἐδόκει δὲ αὐτῷ, τὸ μὲν ἀχρειότερον τοῦ στρατοῦ, καὶ ὅσον οἰκετικὸν ἦν, ὅπλα περιθέμενον αὐτοῦ πρὸς τῇ πόλει μεῖναι ὑπὸ στρατηγοῖς τισι τῶν οὐ λίαν ἐπισήμων. Τὸ δ' ἄλλο ἅπαν ἅμα αὐτῷ ἐπὶ Οὔννους τοὺς ἄλλους ἰέναι μαχησόμενον. Ὡς οὖν ἐκράτει ταῦτα, παρεσκευάζοντο μὲν τῆς ἐπιούσης ἐκεῖθεν ἀναστησόμενοι. Ἐπειδὴ οὐδὲν οὐδέπω σαφὲς αὐτοῖς ἀπηγγέλη, ἐξοπλισάμενοι ἕωθεν, καὶ τρίτην ἤδη πεῖραν προσῆγον τῇ πόλει. μάχη τοίνυν αὖθις συνίσταται. Καὶ Οὖννοι μὲν οἱ ἐπὶ τῶν ἐπάλξεων λίθοις καὶ βέλεσι, καὶ παντὶ τῷ παρατυχόντι τὸν Ῥωμαίων ἠμύνοντο στρατόν. Οἱ δὲ μᾶλλον ἢ πρότερον ὑπώρυσσόν τε τὰ κρηπιδώματα, καὶ τοῖς πετροβόλοις τὰς τῶν λίθων διεσπάραττον ἐμβολάς. παρακελευσμοί τε συχνοὶ καὶ παραινέσεις ἑκατέρων ἠκούοντο, καὶ βοὴ καὶ ἀλαλαγμὸς ἦν, καὶ θροῦς ἠγείρετο ἄσημος. Οὖννοι τοίνυν τοὺς ἐπὶ τῶν θεμελίων ὑπομοχλεύοντας θεώμενοι Ῥωμαίων, τοιάδε ἐποίουν. Λίθος μέγας τι χρῆμα ἐντὸς τειχέων κείμενος ἦν· τοῦτον ὑποξυλώμασιν ἐνθέμενοι, σχοίνους τε

A ceps autem utrumque improbans consilium, illud metus, hoc temeritatis, fore ducebat: *nobis enim*, inquiens, *omittentibus obsidionem, Hunnis, qui urbi præsidio sunt, tutum atque integrum erit majores colligere vires, & commeatui ceterisque copiis largius providere.* Censuit igitur ipse, imbellior exercitus pars lixæque & calones, sub ducibus non adeo nobilibus, armarentur & in obsidione urbis manerent; reli-

B quum omne agmen secum adversus Hunnos pugnatum exirent. Hæc ubi sententia tenuit, ad iter se in proximum diem præparant. Postquam vero nihil certi de hostium adventu relatum est, sumtis prima luce armis, tertium in urbem faciunt impetum. itaque contracto rursum certamine, Hunni, qui mœnia defensabant, lapidibus sagittisque & obvio omni telorum genere subeuntes arcere Roma-

C nos: hi vero longe, quam ante, vehementius convellere fundamenta, machinisque admotis lapidum munitiones diffringere: crebræ utrinque exhortationes & incitamenta, vocesque & ululatus & dissonus clamor audiuntur. Simul ergo molientes fundamenta Romanos viderunt Hunni; ejusmodi quid facere instituunt. Saxum erat intra mœnia ingentis magnitudinis: id trabibus suppo-

ἀνάψαντες σφῶν, ἐπὶ τὸ ξύλινον ἀνέλκουσι περιπύργιον, ὅπερ αὐτοῖς κατεσκεύαστο τειχέων ὑπερανεστάμενον, ὡς ἐκεῖθεν ἐπὶ Ῥωμαίους ἀφιήσουσιν. Ἀλλ' ἄρτι ὁ λίθος ὡμίλει τῷ πυργίῳ. Τὸ δὲ οὐκ ἐνεγκὸν τὴν ὁλκὴν, μέγας γὰρ ὑπερφυῶς ἦν, ἐξαπιναίως ῥαγὲν εἰς γῆν κατηνέχθη, σὺν τῶν Οὔννων πολλοῖς, καὶ αὐτῶν οὐδεὶς τὸν κίνδυνον ἔφυγε. θροῦς τοίνυν καὶ πάλιν ἠγέρθη, καὶ ἡ μάχη ἔτι μᾶλλον ἐμαίνετο. Ὅτι λέγεται, ὡς Ῥωμαίων τινὰ εὐστοχώτατα ἐπιλοξαζόμενον βασιλεὺς κατανοήσας, ἐπέδραμέ τε καὶ τὴν ἀσπίδα περιθεὶς ἀπαθῆ βελῶν συνετήρει τὸν ἄνθρωπον. Οὖννοι δὲ, ἐπειδήπερ ἐν στενῷ κομιδῆ περιεστῶσαι σφίσι τὰ πράγματα ἔγνωσαν, πέμψαντες ἐχρῄζον βασιλέως, ὡς ἐνδόντες τὴν πόλιν αὐτῷ, ἀθῷοι ἐντεῦθεν λοιπὸν ἀπαλλάξωσιν. Ὁ δὲ οὐ πρότερον ἔφη τοῦτο ποιήσειν, πρὶν ἂν καλῳδίοις τῶν τραχήλων Γρηγόριός τε καὶ τῶν ἐν σφίσι ζουπάνων οἱ ἄλλοι ἀναψάμενοι, γυμνωθεῖσι ποσὶ, καὶ ἀκαλύφεσι ταῖς κεφαλαῖς πρὸς αὐτὸν ἔλθοιεν. Ὁ μὲν δὴ ἐπὶ τούτοις αὐτοὺς ἀπεπέμψατο. Ῥωμαῖοι σφοδρότερον ἐπιβρίσαντες τὴν πόλιν εἷλον. Ἧς ἤδη ἁλισκομένης, Γρηγόριός τε καὶ οἱ σὺν αὐτῷ στρατηγοὶ τῶν Οὔννων, σὺν ἀτιμίᾳ τρόπον τὸν εἰρημένον ἐλεεινοὶ τῶν σχημάτων, βασιλεῖ προσιόντες ἔκλαον. Ὁ δὲ μέχρι μὲν τινὸς οὐδὲ προσβλέπειν ἠξίου. Ὀψὲ δὲ πολλὰ τοῦ

A ſitis alligatiſque funibus in editum ab ſe ſupra muros ligneum propugnaculum attrahunt, ut ex eo in Romanos devolverent. Jamque ſublato in turrim lapide, cum pondus ejus (erat enim immodice magnus) ſuſtinere non poſſet, repente cum ipſis Hunnis, quorum nemo diſcrimen evaſit, delapſa in terram corruit. Inde iterum oriri clamor cœpit, & pugna mu'to infeſtior eſſe. Tum quoque impe- B ratorem ajunt, cum Romanum quendam certo ictu ab hoſtibus percuſſum & haud dubie periturum vidiſſet, accurriſſe, & protenſo clypeo hominem ſervaſſe. Poſteaquam vero Hunni res ſuas in arcto eſſe animadverterunt, ad imperatorem miſere legatos, ut dedentibus civitatem integris abeundi corporibus poteſtas fieret. Ille vero non ſe hoc prius facturum reſ, ondit, quam Gregorius & alii C apud eos zupani, adſtricto funibus collo, pedibuſque & capitibus ad ſe nudis veniſſent. Hoc iis reſponſo dimiſſis, Romani longe violentius urbem adorti, eam per vim capiunt. qua occupata, Gregorius & ceteri Hunnorum duces, indecenti & ad eum, quem diximus, modum miſerabili habitu, imperatorem plorantes accedunt. Sed ille aliquamdiu ne aſpectu quidem eos dignatus eſt: poſtea, Bela in-

Βελᾶ

Βελᾶ παρῃτησαμένου, τὸν μὲν φόνον ἀφῆκεν, ἐς τὴν φρουρὰν αὐτίκα ἔπεμψε. Ῥωμαῖοι δὲ θυμῷ μεγάλῳ εἰς τὴν πόλιν εἰσιόντες, ἅτε ἄρνας τοὺς τῇδε κατέθυον ἀνθρώπους. ὅτι μοι καὶ δακρῦσαι ἐπῆλθε, βίον ἐννοουμένῳ τὸν ἀνθρώπειον, ὅσοις τε τὸ δείλαιον τοῦτο γένος ἑκουσίοις ἑαυτὸ ξυνέδησε κακοῖς. Ἤγοντο κειμήλια, καὶ ἱματισμοὶ, καὶ ἀργυρώματα, καὶ πάντα τὰ ἐκείνων ἐληΐζετο ἀγαθά. ὅπλοις τοῖς ἐχθρῶν ἠμπίσχετο ἕκαστος, καὶ τῶν ψιλῶν τούτων καὶ ἀνόπλων μαχητῶν. Ὅτε δὴ καὶ γυναιόν τι εὕροιτο δύστηνον, διεληλαμένην ἀκίδα τῆς ἕδρας ἔχον. πόθεν δὲ αὐτῷ τοῦτο συνέβη, αὐτίκα δηλώσω. Αὕτη ἐπηνίκα ἔτι ἀνάλωτος ἦν ἡ πόλις, ὑπὲρ τῶν τειχέων ἑστῶσα σποδόν τε κατέσηθε, καὶ τὰ ἱμάτια κόσμῳ οὐδενὶ ἀνασείρασα, τὴν ἕδραν, παλιντρόπῳ τῷ προσώπῳ, ἐς τὸν Ῥωμαίων ἐδείκνυε στρατὸν, ἀπεραντόν τινα βαττολογίαν ὑποψάλλουσα, δαιμονιώδει τινὶ μαγγανείᾳ Ῥωμαίους ξυνδεῖν ᾤετο. Ἀλλά τις στρατιωτῶν βέλος ἐπ' αὐτὴν ἀφεὶς, κατατυγχάνει τῆς ταλαιπώρου, ἔνθα τὸν τοῦ σκυβαλισμοῦ παρέπεμπεν ἡ φύσις αὐλῶνα ἵδρυσεν. Εὕροιτο δὲ καί τις Ῥωμαίων δεσμώτης, ὁ τλήμων ἐπὶ σκολιώδους τινὸς καὶ ἀνηλίου καθειργμένος δωματίου, ἀπ' αἰτίας τοιᾶσδε. Τοῦτον Οὖννοι αἰχμάλωτον ἤδη πεποιημένοι, ἅτε τοξείας εὖ εἰδότι Ῥωμαίοις ἐκ τοῦ περιβόλου ἐπιτοξάζεσθαι ἀνάγκην

A tercedente, mortem remisit, inque custodiam extemplo conjici jussit. Romanus vero miles odio ingenti in urbem irrumpens, homines ibi velut agnos trucidavit: unde mihi vitam humanam intuenti, quantis nimirum ultro se difficultatibus miserum hoc genus involvat, lacrimarum vis oboritur. Agebantur thesauri, & vestimenta, & vasa argentea, adeoque omnia eorum bona diripiebantur: armisque hostilibus B vilissimus quisque & nudus miles induebatur. Quin & inventa est affecta misere muliercula, cui pars corporis, qua sedemus, telo transfixa erat: id ei quomodo acciderit, paucis repetam. Capta nondum civitate, supra muros illa stans & pulverem disparsit, & sublatis nullo pudore vestibus, facie aversa, nates inspiciendas exercitui Romano præbuit; ac multa ore titubanti intercinens, mira quaC dam incantatione defigere Romanos intendit. sed miles quidam, immisso in eam telo, miseram eo percutit loco, quem ejiciendis natura excrementis fecit. Repertus est & Romanus aliquis, in sordidum ac tenebrosum infelix carcerem conjectus, tali ab caussa. Postquam eum ceperant Hunni viderantque artis jaculandi peritissimum esse, Romanos è muro sagittis impetere adigunt: ille vero frequentia

προσῆγον. ὁ δὲ, οὐ σὺν γνώμῃ μὲν, A ἠφίει δ' ὅμως πυκνὰ, πάντα δὲ ἁμαρτεῖν ἐποίει. Ὅπερ Οὖννοι κατανοήσαντες, ξαίνουσι τι τῷ ἀνθρώπῳ κατὰ νώτου πολλὰ, καὶ σὺν ἀσφαλείᾳ καθείρξαντες εἶχον. Οὕτω μὲν δὴ Ζεύγμη καὶ πάλιν ἑάλω. Ὅτε πολλοὶ μὲν καὶ ἄλλοι λόγου καὶ ἀρετῆς εἰργάσαντο ἄξια, οὐχ' ἥκιστα δὲ καὶ Ἀνδρόνικος ὁ Δούκας. Ἐπειδὴ γὰρ Ῥωμαίους διὰ κλίμακος ἀναρριχωμένους ἐπὶ τὸ τεῖχος εἶδεν, Ἀνδρονίκῳ τῷ βασιλέως ἐξαδέλφῳ B προσιὼν, ὑφ' ὃν πλεῖν ἔλαχεν ἤδη ἐκ Ταυροσκυθῶν ἀφικόμενος, ἵλεώ τε τοῦ βασιλέως τυχόντα, ἠξίου ἐνδοθῆναι αὐτῷ τῆς ἀνόδου πειρᾶσθαι. τοῦ δὲ ἐπιτρέψαντος, σπουδῇ πολλῇ ἐς τοῦτο ἐχώρει. Ἐπειδὴ δέ τινες Λατίνων κατόπιν ἰόντες παρελθεῖν ἐφιλονείκουν αὐτὸν, ὁ δὲ ἀντέπραττε σφίσι πολλὰ, καὶ οὐδαμῇ τοῦ κλέους συγχωρεῖν ἤθελε. Ἐν ᾧ δὲ ταῦτα ἐγίνετο, ἡ κλίμαξ αἰφνίδιον εἰς γῆν ἠνέχθη καταρραγεῖσα. Ἀλλ' ὁ Ἀνδρόνι- C κος τοῦ συνήθους καὶ πάλιν ἀντείχετο θράσους. ἐπειδὴ γὰρ ἑτέρας ἀναχθείσης ἀναβαίνοντας τινὰς αὖθις εἶδε, δραμὼν ἐπέβαινε καὶ αὐτός. Ταῦτα μὲν τῇδε ἐχώρησε. Στέφανος δὲ ὁ Ῥὴξ τῇ τῆς πόλεως πεποιθὼς ἀσφαλείᾳ (πρὸς γὰρ τοῖς ἄλλοις καὶ ὀχετὸς αὐτὴν ἐκ τῶν Ἴστρου ἐπότιζε ναμάτων. ὃς τὸ μὲν πρῶτον ἐς τὸ ἐμφανὲς ἦκεν ὕπαιθρος ἐπὶ τὴν πόλιν ἀνατείνων· εἶτα βασιλέως Στεφάνῳ ἐκεί-

quidem jaculatur tela, omnia tamen ut prætervolarent ex composito dirigit. Quod ubi advertere Hunni, virgis egregie cæsum arctisque constrictum compedibus in custodiam condunt. Itaque Zeugme quidem hoc modo in ditionem rediit Romanam. Ibi & alii multi memoranda virtutis opera edidere, neque omnium minime Andronicus Ducas. Is namque, cum Romanos conscendere urbem scalis cerneret, accedens Andronicum, fratris imperatoris filium, eidemque percharum, sub quo redux è Tauroscythis militabat, rogare ut sibi quoque ascendendi potestatem faceret: eoque permittente, magno in id studio eniti. Ubi vero Latini quidam, pone ipsum sequentes, etiam prævenire contenderent; tum maxime obstare, neque quidquam iis de gloria concedere velle. Sed inter hoc certamen scala repens fracta in terram concidit: & Andronicus, solita promtus audacia, simul alia apposita escendere iterum nonnullos vidit, & ipse accurrit ascenditque. Hæc tum ibi prospere acta. Ceterum Stephanus Pæonum rex fisus ingenio & firmitudini civitatis (super alia enim rivus ex Istro ductus flumine eam rigabat, aperto primum, dein, principe bellum Stephano infe-

νῳ

τῷ συνηρμοσμένου, ὑπόνομος ἤδη κατέστη) πιστεύειν οὐχ εἶχεν εὐπετῶς, οὕτω Ῥωμαίοις ἁλώσεσθαι ταύτην. Ὡς δὲ βασιλεὺς ἐκεῖθεν μεταβὰς ἕτερόν τι φρούριον ἐνήργει, ἐν ᾧ πολλοὺς τῶν ἐν Σιρμίῳ φόρων ἀκίστατο Οὔννων, οὓς παρ' αὐτοῖς Χαλισίους ἔθος καλεῖν ἐστὶν, καὶ εἰσὶν ἑτερόδοξοι, καθάπερ ἤδη ἔφην, Πέρσαις ταυτοφρονοῦντες. τότε δὴ τὰ ἀμφὶ τῇ πόλει Ζεύγμῃ ξυμπεπτωκότα μαθὼν ἀκριβῶς, πρέσβεις ἐς τὸν βασιλέα πέμπει ἄνδρας τε τῶν ἐπιφανῶν, καὶ τὸν τὴν ἐπίσκοπον τῇδε λαχόντα ἀρχήν. Σίρμιόν τε ἀποδιδόναι Ῥωμαίοις ἐσαῦθις διομολογῶν, πρὸς δὲ καὶ Δαλματίαν πᾶσαν. Οἳ καὶ ἐπειδὴ βασιλεῖ εἰς ὄψιν ἦλθον, ἐπεῖπόν τε ὅσα αὐτοῖς ἐπέσταλτο, καὶ δὴ καὶ ἱκέτευον ἀνεῖναι λοιπὸν βασιλέα τοῦ λόγου. Ὁ δὲ τὸ μὲν πρῶτον ἀπέλεγε, πολλοῦ μέντ' ἂν ἄξιον εἴη, λέγων, ἄνδρες πρεσβευταὶ, εἴ τις ἅπερ ἀφῄρηται ἤδη, ταῦτα διδόναι ἀξιοίη. Ἔχομεν Σίρμιον, ἐξείλομεν Ζεύγμην, Δαλμάτας ἤδη κρατοῦμεν, πάντων καθάπαξ γεγόναμεν κύριοι, ὧν αὐτοὶ διδόντες εἶναι ἀφείλεσθε. Ἆρα τοίνυν ἔστι παρ' ὑμῖν Σίρμιον ἕτερον; ἔστι που Ζεύγμη; καὶ Δαλματία ἄλλη, ἃ διδόντες νῦν ἡμῖν ἥκετε; εἰ μὲν ἐστὶ, δείξατε δὴ, ὡς ἡμεῖς γε ὑπτίαις αὐτίκα ὑποδεξόμεθα ταῦτα χερσίν. εἰδότες μὲν, ὡς οὐδὲ ταῦτα ὅσον τὸ ἐφ' ὑμῖν καθέξομεν ἀσφαλῶς (μέλησις γὰρ ὑμῖν οὐδεμία πάντα

A rente, ſubterraneo canali procurrens) inducere animum non poterat, eam à Romanis captum urbem iri. Poſtquam vero digreſſus inde imperator & aliud ſuperavit caſtellum, in quo multos condidit in Sirmio captos Hunnos, qui proprio vocabulo Chaliſii vulgo appellantur, ſuntque diverſæ, ut & ſupra memoratum eſt, religionis, & eaſdem ac Perſæ opiniones habent: tum certo edoctus quę B Zeugmæ urbi accidiſſent, legatos ad principem mittit cum alios conſpicuæ dignitatis homines, tum eum, qui epiſcopale ibi regimen obtinebat, Sirmiumque ſe Romanis reſtituturum & Dalmatiam omnem pollicetur. Illi ut in conſpectum venere imperatoris, mandata exponunt, rogantes, ut annuere orationi ſuæ vellet. Is autem negare primum, *Enimvero rem magnam facitis, Legati*, inquiens, *do-* C *nando, quæ jam vobis ablata ſunt. Tenemus Sirmium; cepimus Zeugmen; ſuperavimus Dalmatas; eorumque omnium domini facti ſumus, quæ cum erepta vobis ſint, etiam nunc dare vultis. Eſtne ergo alterum apud vos Sirmium, & altera Zeugme, & Dalmatia alia, ad quæ offerendum vos acceßiſtis? Si quidem ſunt, quæſo oſtendite nobis, ut & ea apertis continuo manibus invadamus: & ſcitote, quibus hæc, nihil vos contingentia, tuto*

παραγενομένων) αὐτῇ δ' ὅμως ἰσχύϊ σὺν A Θεῷ φάναι τῇ ἡμῶν, ὥσπερ καὶ τούτων κρατήσοντες. Εἰ δὲ ταῦτα δὲ παρ' ἡμῖν ἄρτι κεῖται, ὑμῖν δ' οὐδὲν ὑπολέλειπται, ὧν ἄρα δώσειν φατὲ, ἐπὶ τίσιν ἡ σύμβασις; ἢ τί τὸ διαλλάξον ὑμᾶς ἔσται; Τὸ μὲν δὴ πρῶτον οὕτως αὐτοὺς ἠμείψατο. Μεταβαλὼν δ' ἔπειτα, ἀλλ' ἵνα, ἔφη, γνῶτε, ὡς προθύμως ὑμῖν σπείσασθαι θέλομεν, Χριστιανοῖς οὖσιν, ἄγε γενέσθω τὰ ὅρκια. Ὁ βασιλεὺς μὲν τοσαῦτα εἶπεν. Οἱ δὲ ὀμόσαντες πάντα θέμενοι ἀπηλλάγησαν. B Καὶ ὁ βασιλεὺς λοιπὸν ἐπὶ Βυζάντιον ἦλθεν. Ἤδη δὲ καὶ Ἰωάννης ὁ Δούκας Δαλματίαν παραστησάμενος, Νικηφόρῳ τῷ Χαλούφῃ ταύτην παρέθετο, οὕτω πρὸς βασιλέως ἀπεσταλμένον αὐτῷ. Ἔφθη γὰρ αὐτὸν δυνάμεσιν ἅμα ἐνταῦθα στεῖλαι, ἐφ' ᾧ ἢ βίᾳ, ἢ ὁμολογίᾳ ταύτην ἑλεῖν, τῶν Οὔννων τῷ λόγῳ δῆθεν Βελᾷ πρὸς κλῆρον καὶ ταύτας ἀφοριζόντων. Ὁ δὲ τὴν Σερ- C βίων παραμείψας χώραν, ἐπειδὴ εἰς ταύτην εἰσέβαλε, πάντα ἐν βραχεῖ δυναστείᾳ τὸ πλέον ὑπὸ τῷ βασιλεῖ ἔθετο. Ὅτε δὴ Τραγουριόν τε ὑπὸ Ῥωμαίους ἐγένετο, καὶ Σεβένικος, πρὸς δὲ καὶ Σπάλαθος, καὶ τὸ Κατζικίων ἔθνος; Κλεῖς τε πόλις περιφανὴς, ἣν Διοκλητιανὸς ὁ Ῥωμαίων ἐδείματο αὐτοκράτωρ, Κάρδων τε καὶ Ὀστρουμπίτζα, καὶ Σάλων, καὶ ὅσα ἐπὶ Δαλματικῇ

possessuri sumus, (vobis enim nulla cura est, an præter jus fasque omnia faciatis) iisdem nostris viribus, Deo juvante, & ista superaturos. Si ergo illa nostra sunt, nihilque vobis amplius in ea juris reliquum, quæ dare vos velle dicitis, quibus condicionibus fœdus petitis? aut quo tandem reconciliabimini? In hanc quidem mentem primum iis respondit: inde commutata oratione, *sed ut sciatis,* inquit, *quam libenter vobiscum, qui Christiani nominis participes estis, paciscamur, agedum fidem date.* Et hæc imperator: illi vero omnia jurejurando obstringentes, inde ad suos, & princeps Byzantium, digrediuntur. Jamque Joannes Ducas victam à se Dalmatiam Nicephoro Caluphæ, sicuti imperatum erat à principe, tradiderat: eo enim cum exercitu fuerat missus, ut sive vi, sive conditionibus, in potestatem redigeret, Hunnis, quasi cum ratione, & hanc scilicet provinciam ad hæreditatem Belæ assignantibus. Is itaque Serviorum fines prætergressus, postquam in in Dalmatiam copias traduxit, brevi omnia momento ditioni imperatoris subjecit. Tum & Tragurium & Sebenicus & Spalathus, & Catziciorum natio; adhæc Dioclea civitas inclita, quam Diocletianus Romanorum imperator condidit, item Cardon, & Ostru-

ἵδρυνται,

ἱδρύωνται ἄλλαι, ἑπτὰ καὶ πεντήκοντα A αἱ πᾶσαι. Τὰ μὲν κατὰ Δαλματίαν τῇδε ἐχώρησεν. Βασιλεὺς δὲ, ὥσπερ ἐλέγομεν, ἐς Βυζάντιον ἐπανιὼν, θρίαμβον ἐξ ἀκροπόλεως, ἄχρι καὶ ἐς τὸ τῆς Σοφίας μέγα κατήνεγκεν ἱερόν. Ἐνταῦθα τε τὰ χαριστήρια θύσας, καὶ χρυσίῳ τοὺς ἱεροπόλους δωρησάμενος, ὃ ἐκ Σιρμίου φορολογηθὲν Ῥωμαίοις ἔτυχεν, ἐν Παλατίῳ ἡσύχαζεν. Ἀλλ', ὃ μὲ μικροῦ παρῆλθεν, ἐν ἐκείνῳ δὴ τῷ θριάμβῳ καὶ ἅρμα χρυσίου εἴρ- B γαστο ἀκηράτου, ἐφ' ᾧ τὸν βασιλέα ἐπιβήσεσθαι. οὐ μὴν καὶ ἐπέβη, τὸ μὲν πρὸς τὸν ὄγκον εὐλαβηθεὶς, τὸ δέ τι καὶ πρωτοζύγων τῶν ἵππων ὄντων, οἳ τὸν δίφρον εἷλκον, θαῦμά τε τοῦτον ἐκταραχθέντων, ὡς μικροῦ καὶ ἀνατετράφθαι κινδυνεῦσαι. Οὔπω δὲ συχνὸς ἐξήκει χρόνος, καὶ αὖθις τε Σερβίους ὠδίνειν, καὶ Παιόνων τὸ ἔθνος μεμαθηκὼς, προφθάνειν ἐπείγετο τὴν ὁρμήν. Ἀλλ' ἄρτι προσιόντα τοῦ- C τον ἤκουσαν, καὶ τῆς ὁρμῆς ἀνακοπέντες, ἀπαράλυτα τὰ δεδογμένα ἐτήρησαν. Ὁ βασιλεὺς δὲ Ἀνδρόνικον ἀπὸ Ταυροσκυθῶν ἤδη, καθάπερ εἴρηται, ἐπανιόντα φιλοφροσύνης τε τῆς ἄλλης ἠξίωσε, καὶ ἀφθόνῳ χρυσίῳ τὸν ἄνθρωπον δωρησάμενος, ἐπὶ Κιλικίας τὰ τῇδε καταστησόμενον ἔπεμψεν, ὥς γε μὴν ἀφθόνοις ἔχει χρῆσθαι τοῖς ἀναλώμασι, καὶ Κύπρον αὐτῷ φορολο-

Trypitza & Salon, omnesque aliæ Romanis subjectæ sunt in Dalmatia civitates, numero in universum septem & quinquaginta. Hęc in Dalmatis feliciter gesta: & imperator Byzantium reversus, uti dicebamus, triumphum ex arce usque ad Sophiæ templum egit: ibi supplicatione facta & donatis auro sacerdotibus, quod ex tributis Sirmii contraxerat, in palatio se refecit. Sed me fere præteri- B erat, currum isto in triumpho solido ex auro confectum fuisse, quo imperator veheretur; verum non ascendisse illum, partim quod ad fastum id fore & arrogantiam crederet, partim quod equi, qui currum trahebant, tum primum domiti & jugo pressi, re nova consternati eum ita jactarent, ut parum abfuerit, quin everteretur. Nec longum intercessit tempus, cum, intellecto Servios & Pæo- C num gentem nova iterum moliri, prævenire eorum conatus intendit. sed jam accedere eum audierant, omissoque incepto, fidem servabant inviolatam. Cæterum imperator reversum, sicuti memoravimus, ex Tauroscythis Andronicum & aliis benevolentiæ muneribus prosecutus est, & ingenti pecuniarum vi instructum in Ciliciam ad res ibi componendas misit; & ut abundantissime omnia in

γεῖσθαι

γεῖσθαι ἔδωκεν. Ἀλλ' ἐκεῖνος ὀλίγον ἐν τοῖς καθεστῶσιν ἐπιμείνας χρόνον, πρῶτα μὲν Φιλίππαν τὴν Αὐγούστης κασιγνήτην ἐγγυητὴν ἐποιήσατο, τοῦ παρ' ἡμῖν νομίμου ἥκιστα ξυγχωροῦντος αὐτῷ. Εἶτα λόγῳ οὐδενὶ ταύτης ἀπεσχημένος, ἐπὶ Παλαιστίνης μετέβη, χρήματα τῶν βασιλέως πλεῖστα συνεπαγόμενος, ἃ Κιλικίας τε αὐτῆς καὶ τῆς Κυπρίων ἐκπεφορολόγηκε γῆς. Ἐνταῦθα τε τῇ Σεβαστοκράτορος Ἰσαακίου ἐντετυχηκὼς θυγατρί, ἣ Βαλδουίνῳ, καθάπερ εἴρηται, τῷ ῥηγὶ ξυνῳκήκασα, ἐπειδήπερ ἐκεῖνος ἀποθάνοι, καὶ τὰ τῆς ἀρχῆς ἐπὶ τὸν ἀδελφὸν μεταπέσοι τὸν αὐτοῦ, ἐνταῦθα ἐπικαθῆστο πόλεως χηρεύουσα. θαμά τε ἐφοίτα παρ' αὐτὴν ἅτε ξυγγενῆ, καὶ ὁμιλίας τινὰς ἰδιαζούσας ἐποιεῖτο τῇ ἀνθρώπῳ. προβαίνων δὲ καὶ ἐκτόπως ἠράσθη ταύτης, ἄθεσμόν τινα καὶ ἀνόσιον ἔρωτα, ἕως ἤδη πλησιάσας αὐτῇ, ἀνέλαβέ τε ἐκεῖθεν, καὶ ἐπὶ τὴν τῶν Σαρακηνῶν σὺν αὐτῇ χώραν ἦλθεν. ἐξ ἧς καὶ παῖδας ἐτέκνωσεν ὕστερον. Τότε δὲ πολλήν τινα ὀργὴν ὀθνείαν περιελθών, εἶτα καὶ εἰς τὴν ἑῴαν Ἰβήρων ἐμβάλλει χώραν. Οὐ πολλῷ δὲ ὕστερον αὖθις ἐπὶ τοὺς Πέρσας ἦλθε σὺν τῇ γυναικί. ὅθεν συχνὰς ἐπὶ τὴν Ῥωμαίων ποιούμενος ἐμβολάς, πολλούς τε ἀνθρώπων ἀνδραποδιζόμενος, ὁ κακοδαίμων ἁρπάγματα τοῦ πολέμου Πέρσαις παρεῖχε. δι' ἃ καὶ ἀναθέματι πρὸς τῆς ἐκκλησίας ὑποβέβληται. Ὑπὸ τοῦτον τὸν χρόνον ζήτησίς τις ἐν Βυ-

A sumptum suppeditarent, vectigalia ei insuper Cypri attribuit. Sed ille haud diu ibi locorum moratus, Philippam primum germanam Augustæ, id quod ei per leges nostras minime licebat, despondet sibi: inde nulla ratione ea relicta, in Palæstinam concedit, ingentes secum portans imperatoris pecunias, quas ex Ciliciæ & Cypri vectigalibus averterat. Postquam ibi in filiam incidisset Seba-
B stocratoris Isaacii, quæ Balduino regi, ut supra memoratum est, nupta, ubi is vita concesserat & in fratrem ipsius transiverat imperium, in civitate ejus regionis vidua agebat; sæpius eam, ut consanguineam, convenit, & secretas etiam cum ipsa consuetudines habuit. tandem impuro ejus atque illicito amore flagrans, postquam concubitu ejus potitus esset, in Sarracenorum fines transvexit, &
C liberos ex eadem postea progenuit. Inde terras exteras multas circumiens, plagam Iberorum orientalem invadit: neque ita longo post ad Persas iterum una cum conjuge redit. unde frequentes impetus in fines Romanorum faciens, multos mortales cepit, quos omnes scelus iste, tanquam belli prædam, concessit Persis. ob quæ facinora diris eum ecclesiæ devoverunt. Per idem tempus controversia

ζαντίῳ

ζαντίῳ ἀμφὶ τῇ Χριστοῦ συνέπεσε δόξῃ, ἀπ᾽ αἰτίας τοιᾶσδε. Ἦν τις Δημήτριος, Ῥωμαῖος μὲν γένος, Λάμπης δὲ κώμης ὡρμημένος Ἀσιανῆς, παιδεύσεως τῆς ἐγκυκλίου, καὶ μαθημάτων τῶν ἐκτὸς, ὀλίγας εἴπερ μετεσχηκὼς, δόγμασι δὲ ὡς ἐπίπαν τοῖς θείοις ἐνευκαιρῶν, καὶ ἀπέραντόν τινα περὶ ταῦτα κατατείνων ἀδολεσχίαν ἀεί. Οὗτος πολλάκις περὶ τὴν ἑσπέραν καὶ ἔθνη πρεσβεύσας τὰ Ἰταλικὰ, κορύζης μεστὸς ἐκεῖθεν ἐπανήκει, καὶ ἐτερατεύετο ἄλλα τε B πολλὰ, καὶ δὴ καὶ τὴν Θεοῦ φύσιν οὐδ᾽ ἐπαύετ᾽ ἀνήει πολυπραγμονῶν. πρᾶγμα οὐδενὶ ἄλλῳ, ὅτι μὴ διδασκάλοις, καὶ τῶν ἱερέων ἐφειμένον τοῖς προὔχουσιν, ἤδη δὲ καὶ βασιλεῦσι διὰ τὸ ἀξίωμα ἴσως. Τότε δὲ ἐκ τῆς χώρας ἀναζεύξας Ἀλαμανῶν, διαφανῶς ὑπερφρονεῖν τὰ τῇδε διετείνετο ἔθνη. Καὶ ποτε τῷ βασιλεῖ διομιλούμενος, τοιάδε τινὰ συνεῖρε. Πυνθανομένου δὲ τοῦ βασιλέως, τινὰ ταῦτα εἴη, ὑπολαβὼν ἐκεῖ- C νος αὐτίκα τὸν πάντα διεξῄει λόγον. εἶχε δὲ οὕτως. ἐλάσσω τὸν αὐτὸν καὶ ἴσον τῷ φύσαντι Θεῷ λέγειν τολμῶσι. Βασιλέως δὲ, τί δὲ, οὐχὶ καὶ θεὸν τὸν αὐτὸν καὶ ἄνθρωπον φαμὲν, εἰπόντος. ὁ δὲ, ναὶ, εἶπεν. Οὐκοῦν, βασιλεὺς ἔφη, ἐν τῷ ἄνθρωπος μὲν τὸ ἧττον, ἐν δὲ τῷ θεὸς, τὸ ἴσον ὁμολογῶμεν. Ταυτὸ δὲ τοῦτο καὶ τοῦ σωτῆρος ἀκούομεν λέγοντος. Φησὶ γάρ που, ὁ Πατήρ μου μείζων

A Byzantii hujusmodi ab caussa de gloria Christi fuit. Demetrius erat quidam Romani generis, sed ex Lampe vico Asiæ oriundus, in orbe disciplinarum & humanis scientiis parum admodum versatus, institutis autem divinis assiduo deditus, deque iis nescio quæ non vana semper & absurda proferebat. Hic sæpius in occidentem gentesque Italicas legatus missus, tumoris inde plenus rediit; & cum B alia finxit monstri similia, tum & naturam Dei inspicere ac perscrutari non destitit: rem alii nulli, præterquam doctoribus & præcipuis sacerdotum permissam, his dico, qui ipsos Imperatores dignitate æquant. Cum è finibus rediret Alamannorum, gentes eas perversæ opinionis propalam arguere: inque colloquium aliquando imperatoris admissus, talia proloqui. Quænam autem ista essent, illo C percunctante; statim is orsus, totum sermonem pertexuit; cujus hæc summa: *minorem illum & parem Deo, qui generavit, dicere sustinent*. At imperator subjiciens, *nunquid illum & Deum nos & hominem esse statuimus?* eoque confitente, pergit porro: *an non igitur quatenus homo est minorem, quatenus autem Deus, parem crederemus? Hoc ipsum scilicet servatorem nostrum audimus dicentem, cum inquit: Pater*

μου ἐστι. καὶ εἰ μὴ θατέρᾳ τοῦτο προσαρμοστέον φύσει (ἀτοπώτατον γὰρ) ἀνάγκη λοιπὸν τῇ ἑτέρᾳ τὸν λόγον προσάπτειν. τὸ γὰρ μηδεμιᾷ λέγειν, ἀνόητον. ἄρα καλῶς τοῖς ἀνθρώποις ὁ λόγος ἔχει, ὅσα γε πέως κράτος εἰδέναι τὸ ἡμέτερον. Ὁ δὲ καὶ πάλιν, ἀλλὰ περιφανῶς ἀσεβοῦσιν, ἔλεγε. τότε μὲν οὖν ἐν τούτοις τὴν διάλογον ἔλυον. Ὀλίγῳ δ' ὕστερον, καὶ βιβλίῳ τὰ δοκοῦντα αὐτῷ Δημήτριος ἐνθέμενος, τῷ βασιλεῖ ἐκόμισεν. ὁ δὲ, εἴγε, ἔφη, ὑπὸ γῆν αὐτὸ κατακρύψαι δυνατόν ἐστιν, αὐτίκα τοῦτο κατάχωσον, ὡς μὴ ἐντεῦθεν ὀλέθρου πολλοῖς πρόξενος ἔσῃ. ἐμοὶ γὰρ ἀπερρότως ἔχειν συμβαίνει τὰ ἐς τὴν θεωρίαν ταύτην. καὶ οὐκ ἄν τις ῥᾳδίως οἶμαι αὐτῆς με ἕξει παρακινεῖν. Ἀλλ' ἐκεῖνος ἔτι μᾶλλον θρασὺς ἦν, ἰδίᾳ τε καὶ ἐν συλλόγοις αὐτῷ προσέφερεν. Ἤδη δὲ καὶ τῶν ἀρχιερέων ἐκοινοῦτο πολλοῖς, καὶ τοῖς ἐκ τῆς λευϊτῶν μερίδος, οὓς διακόνους καλοῦμεν. Ἐπεί τε συμφωνοῦντας αὐτῷ πολλοὺς εὕρισκεν, ἔτι μᾶλλον ἀναφανδὸν κατὰ τῶν τὸ ἔλαττόν πως πεφρονηκότων ἔπνει καὶ ἐφέρετο. Προϊόντι τε, ἐπὶ μέγα ἤρθη τὸ νεῖκος. καὶ οὐκ ἦν οὐδαμοῦ, ὅς τις τοῦ τότε καὶ ἐλάλει καὶ ἐζήτει, κἂν ὁποιασοῦν ἐτύγχανε μερίδος ὤν. Ὡς οὖν ταῦτα βασιλεὺς ἔγνω, τὸ μὲν ἐπὶ κοινῆς τεθεικέναι ζητήσεως ὤκνει καὶ ἀνεδύετο, σὺν εὐλαβείᾳ τῷ πράγματι προσφερόμενος. ὁρῶν δὲ σχεδόν τι μοι ἅπαντας ἐς γνώμην τοῦ

A *meus superior me est. quod si de altera tenendum natura non est (absurdißimum enim hoc) necesse est alteri convenire: putare autem id neutri competere, stultum. Recte igitur loquuntur & sentiunt homines, quantum adhuc liquet nostræ majestati.* Sed ille instare iterum, ac manifestæ eos impietatis arcessere: & his quidem in præsentia dictis auditisque, colloquium diremerunt. Post paullo autem in libro editam opi-
B nionem suam ad imperatorem misit Demetrius. is vero, *si, inquit, celari etiam sub terram poterit, abscondesis extemplo, ne multis caussa perditionis fias. Mihi quidem immota stat super ea opinione sententia; neque ab ea, credo, facile me quisquam abduxerit.* Cæterum is insolentior etiamnum factus, privatim & publice in cœtibus ac circulis eo se jactare; cum multis communicare episcopis & levitis, quos nos dia-
C conos appellamus. Postquam sibi assentientes invenit plurimos, manifestius adhuc contra simpliciores minusque exercitos insurgit; denique in magnum eam rem certamen provehit, nemine, quocunque demum gradu aut ordine esset, aut verbum facere, aut anquirere, auso. Quæ ut comperta principi fuerunt, publico quidem examini subjicere controversiam eam præ verecundia cunctatus est:

Δημητρίου

Δημητρίου νεύοντας, ἕνα καθ' ἕνα, A ἤδη δὲ καὶ ξυνδύο καὶ κατὰ πλείους προσλαμβάνων, ἐδοκίμαζε τὰ λεγόμενα, οὕτω τε πολλοὺς αὐτῶν ἐπὶ θατέραν μετήνεγκε δόξαν, οὐκ ἔχοντας ἀντιλέγειν οὐδέν. Καὶ γὰρ καὶ παιδείας ἄγευστος Λογικῆς ἦν, ἀλλὰ φύσεως ὀξύτητι, καὶ μεγαλείῳ νοήσεως πάντων καθάπαξ ἐκράτει, τῶν ἐν τοῖς καθ' ἡμᾶς χρόνοις γεγενημένων ἀνθρώπων. Καὶ οὐκ ἦν ὅστις ἠρνεῖτο ταῦτα, μὴ ὅτι τῶν ἐν βασιλέως ἀναστρεφομένων τὰ πολ- B λά, ἢ γὰρ αὖ θωπείας ὑποπτεύσοι τις ἐνταῦθα, ἀλλ' ἤδη καὶ τῶν ἄλλων ἀγνώστων αὐτῷ· κἄν τι διερμηνεῦσαι προθυμηθείη, σὺν ἐξαισίᾳ τινὶ ἑρμηνείᾳ καὶ σαφηνείᾳ καὶ φύσεως ἁπλότητι ταῦτα διεξῄει, κἂν ὁποιουδήτινος τῶν Φιλοσοφίας ἤρτητο τὸ ζητούμενον εἰδῶν, Φυσικῶν, ἢ Θεολογικῶν, καὶ καθάπαξ τῶν ἄλλων. Ἠσχόλει γὰρ ἑαυτὸν τοῖς τε θείοις καὶ τοῖς ἐκτὸς ἀκροάμασι, πλεῖστόν τε ἀμφοτέρων, Ἄρεός τε καὶ Ἑρμοῦ, λόγον ἐ- C ποιεῖτο, καίτοι σχεδὸν πολεμίων ἔργων οὐδένα καιρὸν ἀνιείς. Ὁ μὲν οὖν οὗτος, ὅπερ ἐλέγομεν, πολλοὺς τῶν ἐντυγχανόντων ἐς γνώμην μετετίθει τὴν ἑαυτοῦ. Τὸ γὰρ πρότερον οὐδεὶς ἦν, ὅς τις οὐχὶ τῆς ἀντικειμένης αὐτῷ μοίρας ἦν, ὅτι μὴ Λουκᾶς, ὁ τηνικαῦτα τοῖς Ἐκκλησιαστικοῖς ἐφεστώς, ὃς καὶ αὐτὸς οὐδαμῇ παρρησιάζεσθαι ἔτι ἐτόλμα, καὶ διαγνώμων οὐ πλείους τῶν

A ubi vero omnes prope in sententiam inclinare Demetrii vidit, singulos primo, inde binos & plures ad se vocans, prædictam opinionem recenset; atque ita multos, cum nihil contra adferre possent, in aliam sententiam transducit. Quamvis enim Logicæ vel Dialecticæ ignarus, præstantia tamen & acumine ingenii & intellectus magnitudine omnes omnino homines præcellebat, qui nostra æ- B tate vixerunt. Et nemo hæc inficias iverit, non modo qui cum principe multum & familiariter agunt; licet eos habere suspectos adulationis possis; sed & aliorum nemo, qui ei prorsus ignoti. Si quid interpretari vellet, id singulari dexteritate & nudi sermonis perspicuitate repetebat, ex quocumque demum Philosophiæ genere deducta quæstio esset, seu Physico, seu Theologico, sive alio. C Excercebat se divinis ceterisque juxta auditionibus, ac magnum utiusque, Martis & Mercurii, quamquam militiæ & bellicorum operum raro vacuus, precium faciebat. Hac quidem, uti diximus, ratione complures, quos convenerat, in suam sententiam pellexit. Primum enim nullus inveniebatur, quin partis esset adversæ; præterquam Lucas Ecclesiæ tum temporis antistes, nec ipse aperire

ἕξ. Οἱ καὶ δὴ ἄλλοι ἅπαντες, ὡς ἐκ τῆς ἰδίας τῷ βασιλεῖ κοινωνίας πολλοὺς ποῦ καὶ αὐτοὺς ἀποῤῥέοντας ἑώρων χωροῦ, οἰηθέντες τῷ διαφόρῳ τῆς νοήσεως καὶ τῷ τῆς γλώττης εὐστρόφῳ ἐν ταῖς ἰδιαζούσαις τοὺς πολλοὺς αὐτῶν εἰς ἑαυτὸν ἐφέλκεσθαι συνουσίαις· ἔστησαν παρ' ἑαυτοῖς, μηκέτι μηδένα κατὰ μόνας καὶ ἐν παραβύστῳ τῷ βασιλεῖ ἐντεύξεσθαι αὐτῶν. Κἂν γὰρ μὴ νῦν, ἀλλ' ὀψὲ καὶ μετὰ ἀποβίωσιν ἀναθέματι πάντως ὑποβληθήσεσθαι ἔλεγον, συνελεύσεις ἔστε ἀλλήλων, καὶ δὴ καὶ ὑπερεχόντων τινῶν ποιούμενοι οἰκίας. Ὧν οὐδὲν ἔτι συνειδὼς ὁ βασιλεύς, Εὐθύμιόν ποτε τῶν νεῶν πατρῶν ἀρχιερέα ἰδίᾳ καλέσας, ἀνεπυνθάνετο τῶν εἰρημένων, γυμνάζειν τι σὺν αὐτῷ τὴν δόξαν ἤθελεν. ὁ δὲ μεμυκὼς τὰ χείλη σιγῇ ἵστατο. Τοῦ βασιλέως δὲ τὴν αἰτίαν ἐρομένου τῆς σιωπῆς, τὸν πάντα λόγον ὑπολαβὼν ἐκεῖνος διεξῄει. Θυμήνας οὖν ἐπὶ τούτοις, καίτοι οὐ πρότερον εἰθισμένον αὐτῷ τοῦτο, ὅτι γὰρ αὖ πράττοι σὺν εὐσταθείᾳ, καὶ ἀκροχολίας ἔπραττεν ἔξω, ἠπείλησε κατὰ κρημνοῦ τοῦτον ὠθήσειν, εἴγε αὐτοὶ τὴν ὑγιᾶ περὶ Θεοῦ διαστρέφοντες δόξαν, αὐτῷ ταῦτα ἐπικαλοῦσιν. Ἀλλ' ἵνα, ἔφη μεταβαλών, γνῶσθε πρῶτον οἵτινες ὄντες, καὶ ὅπως τὰ περὶ Θεοῦ φρονοῦντες, σκώμματά τι ἐπιῤῥίπτεῖτε κἀμοί· ἀνέχομαι δὲ ὑβριζόμε-

A mentem suam libere ausus, cum sex non amplius diaconis. Cæteri autem omnes, simul privatis cum imperatore consuetudinibus multos à suis partibus abscedere viderunt; rati plerosque in secretis istis colloquiis solertia ingenii ac linguæ lenocinio in sententiam ejus pertrahi: statuerunt apud se, ne-mo clam aut solus principem conveniret; secus qui faceret, ab omni communione, tam divina, quam B humana, in hac vita rejectus, ac post mortem sacer etiam inferis foret: ad hæc mutuos in ædibus suis, & principum aliquot virorum, conventus instituunt. Quorum omnium ignarus imperator, Euthymium novorum patrum episcopum in secretum abducens, dictam opinionem percunctatur, utque suam de ea mentem patefaceret, rogat: ille autem clausis obmurmurans labiis, nullum am-C plius verbum proloqui. sed imperatore caussam silentii quærente, os aperit & ordine cuncta enarrat. Propter quæ effervescens ille, quod antea non erat solitus, utpote constanter & prĕter iracundiam quælibet agens; comminatur è loco eum excelso præcipitem iri datum, si quam ipsi perverterent sanam de Deo doctrinā, sibi eam crimini ducerent. Repetens inde, *Sed ut intelligatis primum*, inquit, *qua-*

rꝰ,

νος, ὡς μὴ δόξαν ὀρθὴν ἀνθεκτικῷ διαβάλλοιμι πράξει. αἱ γὰρ πρὸς τὰ φαῦλα τῶν ἀγαθῶν ἔργων ὁμιότητες, ἱκαναὶ καὶ τὰς γνώμας φαυλίζειν, ἐξ ὧν ἑκάτεροι προέρχονται. Ἀνθοπλίσασθε τοίνυν ὅπως μοι μόνῳ τῶν ἁπάντων ἀπεναντίας ὑμῖν ἥξοντι συμπλακήσασθαι λοιπὸν δυνηθῆτε, οὐ βίᾳ χειρῶν, ἀλλ' ἐνεργείᾳ λόγου. Μισεῖται γάρ μοι νικᾶν ἡττωμένῳ, καὶ μάρτυς ἡ πρᾶξις ἤδη. σαφέστατα γὰρ περιυβρισμένος, ὥσπερ ὁρᾶτε, ἐπέχω τὴν ἄμυναν. καί τοι ἔδει μὴ ἐν γωνίαις ὑμᾶς ταῦτα διασύρειν. τίς γὰρ ὑμᾶς καὶ ἐβιάσατο; ἢ τίς τὴν παρρησίαν ἀφεῖλε; πότε μοι πρὸ τοῦ βήματος ἀπεώθητε λέγοντες; τί κερδανῶ αὐτὸς, δόξῃ περίσταμαι ἀλλοκότῳ. ἄρα ὡς μὴ τὴν περὶ λόγους μοι δόξαν αἰσχυνῶ, ὅπερ ἤδη πολλοὶ τῶν καθ' ὑμᾶς ἐπεπόνθεσαν (καὶ μὴν οὐδέποτε τηλικαῦτα ἐπήγγελμαι) λείπεται πάντως, ἵνα μὴ περὶ θείου δόξαν καταπροδῶ. Εἰ δέ τις μεταδιδάξαι με σχοίη, τὴν γνώμην συμφώνως γραφαῖς λαλῶν ταῖς ἱεραῖς, οὐ μία μοι πάντως αἰσχύνη ἐπ' ἐκεῖνα μεταθέσθαι. ἓν δὲ μόνον τοῦτο τετηρήσθω, ἀνύβριστος Θεός. ὑπὲρ τούτου γὰρ μυριάκις αὐτὸς ὑβριζόμενος ὑπενέγκω. Ταῦτα μὲν τῇδε ἐχώρησαν. Ἡμερῶν δὲ ὀλίγων ὕστερον, βίβλους τε, ὅσαι τι περὶ τούτων τερθρεύουσιν, ἐκόμιζε συχνάς, κἀπὶ κοινοτέρας τὸ

A *les vos & quomodo de Deo sentientes, probra ingeratis mihi (ego autem contumeliam istam transmitto, ne rectam veramque doctrinam rigidiori aliqua actione coinquinem: bonorum enim operum cum malis commixtiones ad animos etiam, unde utraque proficiscuntur, corrumpendos valent) agite arma capite, ut mecum tandem, solo contra vos venturo, non manuum vi, sed pondere & efficacia verborum, depugnare poßitis. Victus enim ego,*
B *odi vicisse videri; & testis est mihi hac actio: manifestißima quippe affectus contumelia, abstineo, uti videtis, ultionem. Quamquam non oportebat, vos in angulis hac sermonibus differre. Quis enim coëgit? quis libertatem vobis eripuit? quando vos pro tribunali audire recusavi? Ego autem quid lucri referam, monstrosa opinione circumventus? Ne igitur sententiam meam pudeat me in medium proferre, sicuti vestrum multi fecerunt (neque tamen*
C *isto nomine quemquam accusavi) reliquum est omnino, ne ab opinione, quam de Deo habeo, recedam. Sin autem aliter me imbuere quisquam posset, rationibus sacra scriptura consentaneis; nihil utique vererer in illius sententiam vel pedibus transire. Unum hoc interea fixum animo immotumque sedeat, non esse obnoxium contumeliis Deum: cujus gratia millies illatas mihi injurias patientia feram.* Hæc tum ibi acta. Paucis post diebus libros

πρᾶγμα προὐτίθει ζητήσεως. Ὑπέρρεον οὖν ἑκάστοτε συχνοὶ τῆς ἀντιθέτου μοίρας, ἕως ἅπαντες ἅμα Πατριάρχαις τοῖς ἄλλοις ὁμοφρονήσαντες, καὶ τὸν βασιλέα τῆς τῶν γραφῶν μᾶλλον ξυνιέναι ὁμολόγουν διανοίας. Τῷγε μὴν Λουκᾷ ἐχαλέπαινόν τι περιφανῶς, καὶ σκώμματα προσῆγον, δι᾽ ἃ τοῦ θρόνου κατασπᾶν ἐπεβοῶντο τὸν ἄνθρωπον, πάνυ ἀμαθῶς τοῖς πράγμασιν ἐφιστάναι εἰδότες. Τῆς Λουκᾶ γὰρ ἡττῆσθαι ὁμολογήσαντες γνώμης, ὅτι καὶ τῆς βασιλέως πολλῷ πρότερον, ἁλώσιμοί τε αὐτοῖς ἐς τὴν θρησκείαν γεγονότες. Οἱ δὲ ἐγκλημάτων ἑτέρων ἐγράφοντο τοῦτον. Ἐφ᾽ οἷς οἶμαι καὶ βασιλεὺς αὐτῶν καταγνοὺς, σὺν ἐπιπαθεῖ τινὶ λογισμῷ τῷ Λουκᾷ ἐπιφυομένων· ἀλλὰ τοῦτο μὲν, ἔφη, τέως ἀποκείσθω. ὁπηνίκα δὲ τέλος ἕξει τὸ τῶν παρόντων, βασανισθήσεται καὶ ταῦτα, καὶ τέλος αὐτοῖς ἐπιθήσομεν τὸ προσῆκον. ἐφ᾽ οἷς ἀποκρουσθέντες, ἐκύρουν ἤδη τὰ δεδογμένα. βασιλεὺς δὲ ὑπεσημήνατο τούτοις, καὶ τὸ λοιπὸν λίθοις ἐγκολαψάμενοι τὴν γραφὴν, ἐπὶ τοῦ Σοφίας ἱεροῦ, ἀριστερᾷ εἰσιόντι, φέροντες ἔστησαν. Καὶ τέλος ἤδη εὕρετο τὰ τῆς ζητήσεως. Ἐγὼ δὲ ἐκεῖνο περὶ τῶν τοιούτων ἀεὶ φρονῶν διατετέλεκα, ὅτι δὴ φύσιν Θεοῦ πολυπραγμονεῖν ἀνθρώπῳ γε ὄντι οὐκοῦν ἀνέγκλητον. Ὅγε μὴν θαυμάζειν ἔχω τῷ αὐτοκράτορι τούτῳ

A plures, quotquot ad prædicta illustranda vel confirmanda facerent, produxit, totumque negotium frequentiori conventui examinandum dedit. Multi ergo in dies à parte adversa desciscere; donec universi cum cæteris patriarchis eadem sentientes, imperatorem maxime intelligentem esse Scripturarum uno ore confiterentur. Lucæ autem indignabantur propalam, & maledicta B intendebant, & deturbandum eum throno inclamabant, rerum agendarum prorsus improvidi: quippe qui se Lucæ sententia victos professi erant, ut & imperatoris multo ante, iisque velut capti in religione cesserant. Jamque aliis eum criminibus insectabantur: ex quibus, opinor, cum advertisset princeps, ab animo eos affectibus præoccupato incessere hominem; *sed hæc*, inquit, *tantisper differantur: ubi res* C *exegerimus præsentes, & ista examinabimus & finem iis decentem imponemus*. Quibus illi repulsi, confirmatunt dictam opinionem, & imperator ejus se auctorem ferebat: tandem lapidi inscriptam in templo Sophiæ, à sinistris ingredientes, monumentum posuere. Et hunc invenit finem ea disceptatio. Illud equidem semper hujusmodi in rebus sensi ac credidi, naturam Dei inquirere nefas utique mor-

τῳ

τω, αὐτίκα μοι λελέξεται. Συζητοῦντι A ποτὲ περὶ τούτων αὐτῷ, ἐπὶ ἓξ καὶ γὰρ ἐνιαυτῶν παρετέτατο κύκλοις τὰ τῆς ἀμφισβητήσεως, τῶν τις περὶ τὴν βασιλικὴν ἀμφιπονουμένων ἐγένετο ἐσίαν, ἀγγέλλων σὺν αὐτῷ ἡσυχῇ, ἠμβλωκέναι τὴν βασιλίδα, εἶτα ὅτι ἄρρεν. Ὁ δὲ οὐδ᾽ ὅσον ἐν σχήματι τὸ πάθος ἐπιδεξάμενος, καθῆστο προσανέχων τοῖς λεγομένοις. Ἐπεὶ δὲ τέλος εἶχε τὰ τῆς τηνικάδε ζητήσεως, ὄρθιος ἀναστὰς, ῥίπτει πρὸ τοὺς τῶν ἱερέων πόδας ἑαυτόν· καὶ ἄρτι μοι, ἔφη, πα- B τέρες ἱεροὶ, λόγος ἐκ τῆς γυναικωνίτιδος ἦλθεν, ἐκτετρῶσθαι παῖδά μοι λέγων ἄῤῥενα, μεγίστην ἐλπίδα ἐμοίγε. Ἀλλ᾽ αἰτοῦμαι δὴ τὴν ὑμετέραν ἁγιότητα, πέμψατέ ἵνα πρὸς θεὸν ἱκετηρίαν, πέμψατε ἀντιβολῶ. καὶ μὲν οὐκ ὀρθῶς ἔγωγε περὶ τοῦτον δὴ τὸν ἱερὸν ἐκονισάμην ἀγῶνα, μηκέτι μηδ᾽ εἰσέπειτα μοι πληροφορηθείη σπέρμα γένους ἑκατέρου μηδὲν, μηδ᾽ ὀναίμην ἐλπίδων τῶν ἐμαυτοῦ. εἰ δ᾽ ἀρεστὰ Θεῷ τὰ τῆς ἐμῆς γνώμης ἐστὶν, C οὐκ εἰς μακρὰν μοι τὴν ἐλπίδα παρέξοιτο ταύτην. Ὁ μὲν τοσαῦτα εἰπὼν, ἀνίστατο γῆθεν. οἱ δὲ ἐς γόνυ κλιθεὶς ἕκαστος, σὺν δάκρυσι θεὸν ἐπεκαλοῦν. τότε μὲν οὖν ἐπὶ τούτοις ἀπηλλάγησαν. Οὔπω δὲ χρόνος ἐξῆκε συχνὸς, καὶ τεκνοῖ παῖδα βασιλεὺς, γλύμμα χαρίτων, φύσεως ἄνθος. ἀλλὰ τοῦτον μὲν ὁποῖός τις ἐστὶν ἰδεῖν, ὁ λόγος ἐν δέοντι διαγράψει μοι. Τὰ δὲ τῶν αἱρέσεων ἐκείνων ἐν τούτοις ἐτελεύτα. Λου-

tali esse. Cæterum quod in principe hoc dignũ mihi admiratione videtur, nunc exponam. Disceptanti aliquando super hoc ipso (sex enim totos annos agitata est in circulis ea quęstio) accurrens quidam è domesticis ministris, Augustam fecisse abortum primo, mox prolis quidem masculæ, in aurem insusurrat. Sed ille nec vultu dolorem prodens, in dicta disputatione perseverat: inde ea finita surgit, seque ante pedes projiciens sacerdotum, *Modo*, inquit, *Patres sancti, adfertur ex gynaceo mihi, filiã, spem maximam meam, abortu periisse. Sed oro vestram sanctitatem, allegate ad Deum preces propitiatorias, allegate oro vos. nisi enim recte atque ordine me hoc in certamine gessi, nunquam deinceps mihi ad fœcunditatem proveniet utriusq; semen generis; nunquam votorum meorum potens fiam: sin autem grata Deo nostra fuit sententia, lentam minime seramque spem hanc nostram esse sinit.* Sub hæc dicta tollit se humo: illi autem in genua quisque flexi, cum lacrimis Deum invocant; iisque peractis precibus, digrediuntur. Neque ita multo post puerum imperator genuit, Gratiarum imaginem, florem naturæ. sed is quali forma fuerit, in tempore memorabimus. Et hic constitutus est controversiarum finis. Lucas au-

κᾶς

κοῖς δὲ, ἐπειδὴ μηδὲν ὅτι καὶ λόγου ἄξιον πρὸς τῶν κατηγορούντων αὐτοῦ προσετρίβετο, ἐπὶ τοῦ θρόνου ἔμεινεν αὖθις. Ἰωάννης δὲ ὁ τὴν Κερκυραίων λαχὼν, καὶ μοναχῶν τις, ὃν ἐπεκάλουν Εἰρηνικὸν, τῇ προτέρᾳ ἐπιμείναντες δόξῃ, ἀναθέματι ὑποβέβληνται. ἄλλοι τε ἐξῆς τῶν Ἐκκλησιαστικῶν ἐξωστρακίσθησαν καταλόγων. Ὁ δὲ τῶν Οὔννων Ῥὴξ τὰ καθεστῶτα πάλιν κινήσας, Διονύσιόν τινα, τῶν παρ' αὐτῷ ἐπιφανῶν, ἄνδρα πολέμων πολλῶν ἔμπειρον, στρατεύματι μεγάλῳ Σιρμίου καὶ πάλιν ἀντιποιηθῆναι ἔπεμψεν. ὃ πυθόμενοι οἱ τῶν Ῥωμαίων στρατηγοὶ, βουλευτήρια σφίσι περὶ τούτου ἐποίουν. προὔβαινε μὲν τὰ τῆς βουλῆς οὐκ ἐπὶ τὸ Ῥωμαίοις ξυνοῖσον, ὁρώντων τῶν βουλευτῶν, ἀλλ' ὡς ἄντις παραλογίσαιτο τὸν ἕτερον. Μάλιστα μὲν ἄμφω τὼ Μιχαὴλ, ὅτι Γαβρᾶς ἐπεκέκλητο, δοὺξ τῆς τῆδε χώρας τελῶν, καὶ ὁ Βρανᾶς, στρατεύματος ἰδίᾳ κατάρχων καὶ αὐτὸς, ἀμφοτέρω μὲν πολεμιωτάτω. ἀλλ' ὁ Βρανᾶς ἐκράτει μᾶλλον. Βουλομένοις τοίνυν ἐπειδήπερ ἐδόκει νύκτωρ ἐπιθέσθαι Διονυσίῳ, ἄραντες πανστρατὶ πρόσω ἐχώρουν. Γεγονότες δ' ἔνθα Διονύσιον στρατοπεδεύεσθαι συνέβαινεν, ἐπειδὴ παντάπασιν ἀνδρῶν ἔρημον τὸ στρατόπεδον εὗρον, ὑποδειλιᾶν ἤρξαντο. ἱκανὸν γὰρ εἴπερ τι χῶρος ἔρημος, καὶ ἀήθης διατελῶν, ψυχὴν ἐπὶ πολεμίας καταστῆσαι στρατιωτικήν. Ἰχνοσκοποῦντες δ' ὅμως ἐπορεύοντο. καὶ

A tem, postquam nihil adeo memoratu dignum ab adversariis inflictum esset, in throno permansit: at Joannes Corcyræorum episcopus & monachus alius cognomento Eirenicus, prioris utpote sententiæ tenaces, ex communione rejecti sunt; & alii insuper ex albo Ecclesiasticorum deleti. Cæterum Hunnorum rex, rupto iterum fœdere, Dionysium quendam è nobilissimis suorum, multis exercitum B bellis virum, cum agmine ingenti ad Sirmium oppugnandum mittit. quod ubi cognitum est ducibus Romanis, conventum ad rem consultandam instituunt; sed parum conducentem rei Romanæ, utpote in id intentis consiliariis, ut alius alium deciperet; utroque imprimis Michaele, (Gabra nimirum, qui istius regionis dux erat, & Brana, qui & ipse proprii exercitus moderator) infestissimis altero alteri: C sed Branas æmulum superavit. Posteaquam ergo in consilio placuit, noctu Dionysium adoriri; omnibus moti viribus procedunt: ubi ad castra illius ventum est, deserta ea ac prorsus vacua nacti, metuere sibi cœperunt. Si quid enim aliud, locus certe hostili in solo incognitus & solitarius, ad commovendos militum animos plurimum valet. Nihilominus vestigia eorum observantes ibant; & haud dubie ali-

τύχα-

τάχα ἄν τι καὶ ἔπραξαν, εἴγε πρωϊαίτερον τοῖς Οὔννοις ἐπέθεντο. Τότε δὲ ἐπεὶ ἡμέρα ἤδη διαφανῶς ἦν, αἰσθόμενοι Οὖννοι, τούς τε ἵππους εἰσελαύνειν ἐπὶ τὸ στρατόπεδον ἤρξαντο (ἐτύγχανον γὰρ ἐπὶ νομὴν ἀναθέντες) καὶ τοῖς πρὸ τῶν σκηνῶν ἐξ ἔθους ἀεὶ ἑστῶσιν, ἐπιβαίνοντες, φαλαγγηδὸν ἐτάττοντο. Ῥωμαίους τε σὺν ἀκοσμίᾳ πολλῇ φερομένους ἰδόντες, τοὺς γὰρ τὴν ἵππον ἐλαύνουσιν ἐπιθέμενοι Οὔννοις, οἱ πλείους ἐσκεδάσθησαν, ἐπήλασάν τε αὐτοῖς, καὶ τρεψάμενοι εἰς τοὺς κατόπιν ἰόντας τῆς Ῥωμαϊκῆς φάλαγγος συνελάσαι ἴσχυσαν. ἐφ' οἷς συνταραχθέντες ἐκεῖνοι, ἐς ὑπαγωγὴν ἔκλιναν. Καὶ τὸ λοιπὸν ἀνακρατὸς Ῥωμαῖοι ἔφευγον, οἰηθέντες πολλῷ πλείονα τῆς Ῥωμαίων ἐπιθέσθαι σφίσι στρατιάν. Τὴν γὰρ τῶν ἀληθῶς γνῶσιν τε καὶ διάκρισιν κομιδῇ ὀλίγοις ἀνθρώπων ἐν τοῖς τοιούτοις ἐστὶν εὑρεῖν. ὅθεν καὶ ταχύ, πάντων ἀπαγορευσάντων, μέχρι μέν τινος ἔστησαν ἀμφοτέρω τὼ στρατηγὼ σὺν τοῖς σημείοις καὶ ὀλίγοις τῶν ἀμφ' αὐτούς, οἰομένω ἐπισυστήσεσθαι αὖ Ῥωμαίων τινάς· ὡς δ' οὐδεὶς οὐδαμόθεν συνίστατο τούτοις, νῶτα λοιπὸν ἔδοσαν καὶ αὐτοί. Ἀλλ' ὁ μὲν Βρανᾶς μεταξὺ ἐπιστραφείς, τῶν τινὰ πολεμίων δόρατι ἔπαισεν. ὅτε δὴ καὶ ἀφανῶς ἔγνωστο τὰ τῆς ἐν βουλῇ πρότερον αὐτοῖς διαφορᾶς. Ὁ γάρ τοι Βρανᾶς ἐπειδὴ φεύγοντι αὖθις συνέμιξε τῷ Γαβρᾷ, ἐπιτωθάζων μάλα καὶ ἐνδιαθρυπτόμενος, ἄγε, ἔφη, συνεβάλου μοι, ὦ Σεβαστέ, ὅπως ἰσοσθενὴς τοῖς πολεμίοις ἀντικαταστῶ,

A quid boni operis fecissent, si maturius oppressissent Hunnos. Tum vero clara luce simul eos Hunni conspexere, pars equos ex pascuis in castra agunt; pars alios, qui de more semper in repentinos usus ante tentoria parati stabant, conscendunt & phalangem ordinant: utque nullo ferri ordine Romanos vident (nam hi cogentes equitatum Hunnos invaserant seque plurimum eo dispaserant) irruere
B in eos, & postquam avertissent, impetum etiam in reliquum, quod à tergo sequebatur, agmen facere. quo consternati illi, cedunt primum; mox, longe majorem suo instare exercitum rati, effuse fugiunt. Veritatem enim aut cognoscere ejusmodi temporibus, aut discernere, pauci admodum mortales sciunt. Protinus ideo, omnibus discedentibus, cum signis & paucis reliquis aliquamdiu dux u-
C terque restitere, & alios secum permansuros sperantes; sed ubi nemo usquam apparuit, terga & ipsi tandem dederunt. Interea autem, dum alter fugit, conversus Branas unum de hostibus hasta percussit: ibique manifeste apparuit, quod in consilio prius dissidium inter se habuerant. Postquam enim fugientem Gabram assecutus est Branas, deridens illudensque illi, *Nunc*, inquit, *adjuva me, ô Sebaste, ut iterum*

ἀπὸ δόρατός τε αὐτοῖς προσενεχθῆν. Τοῦ δὲ καταφρονήσαντος, ἀλλ' ἔγωγε εἶπεν, μὰ τὴν βασιλέως εἶδόν σε κεφαλὴν, ὅτι μὴ ἀπιόντα. Οὕτως οἱ νῦν Ῥωμαῖοι οὐκ ἐπὶ τῷ κοινῇ συμφέροντι οὐδὲν πεπραγμάτευται ἕκαστος, ἀλλ' ὡς ἄν τις αὐτὸς καλὸς καὶ ἀγαθὸς εἶναι δόξῃ, πάντα ἀναδέχεται πόνον. Οὖννοι δὲ κατὰ νώτου διώξαντες οὐ σφόδρα πολλοὺς Ῥωμαίων ἔκτειναν, εἷλον δὲ καὶ οὐ συχνούς. δειλίᾳ γὰρ ἔτι πολλῇ εἴχοντο. τεκμηριώσαι τόδ' ἄν τις ἐντεῦθεν. Τῶν γάρ τις ἐκ πεζικῶν καταλόγων φυγὰς ἄχρι καὶ ἐπὶ Ζεύγμινον ἦλθε, πρὸς οὐδενὸς Ῥωμαίων καταληφθείς. οὕτω σχολῇ τὴν ὁδὸν ἐποιοῦντο. Ὅτε δὴ πρὸς ὄγκον ἐπάραι τὸ πραχθὲν ἐννοησάμενος Διονύσιος, ὀλίγα τῶν πεπτωκότων συναγαγὼν σώματα, χοῦν ἐπ' αὐτὰ ὅτι πλεῖστον ἤγειρε τῷ τοῦ χώματος μεγέθει, καὶ τὰ νεκριμαῖα συμμετρεῖσθαι διανοηθείς. Ταῦτα μὲν οὖν οὕτω συνηνέχθη γενέσθαι. Βασιλεὺς δὲ ἐσφάδαζε μὲν διὰ ταῦτα, καὶ ἤθελεν αὐτὸς καὶ πάλιν ἐπὶ Οὐννικῆς ἰέναι. ἐπίδειξιν δὲ μᾶλλον τῆς Ῥωμαίων ἰσχύος ποιεῖσθαι θέλων αὐτοῖς, τοιάδε τινὰ ἐνενόει. Ἀλέξιον μὲν, ᾧ τὴν θυγατέρα ἠγγύα, στρατεύμασιν ἅμα πολλοῖς, ὧν Ἀλέξιος ἦρχεν, ὃς πρωτοστράτωρ ἐτύγχανεν ὤν, ἐπὶ τὸν Ἴστρον ἔπεμπεν, ἐμποιήσοντα δόκησιν Οὔννοις, ὡς ἐκ τῶν συνήθων καὶ πάλιν αὐτοῖς ἐπιθήσεται χωρίων. Λέοντα δέ τινα, Βατάτζην

A *resistam hostibus eosque hasta feriam:* illo se paratum dicente, *Enimvero per caput*, ait, *imperatoris, non vidi te nisi fugientem.* Sic quoque Romani nunc ad commune egregium nihil faciunt: ut autem bonus quisque vir & strenuus videatur, omnem movent lapidem. Hunni à tergo insequentes, non adeo multos Romanorum cæcidere, nec plures ceperunt, utpote & ipsi jam magno metu perturba-
B ti. id quis inde colligat: ex pedestribus quidam numeris ad Zeugmen usque fuga delatus est, & à nullo prehensus Romanorum: tam segne illi iter faciebant. Tum quidem Dionysius in immensum attollere rem gestam cogitans, paucis in unum collectis occisorum cadaveribus, humum iis pro latitudine sepulchri plurimam superingessit: eo ratus magnitudinem cędis comparari. In hunc modum res
C ibi peractæ. Quas indignatus imperator, ipse iterum in Hunnicam ducere voluit: & ut majus ei fortitudinis Romanæ documentum daret, rem ejusmodi facere instituit. Alexium, cui filiam junxerat, cum multis copiis, quibus Protostrator Alexius præfuerat, Istrum versus misit, speciem præbiturum Hunnis, velut ex consuetis rursum locis in eos facturus esset impetum: Leonem autem Batatzen nomine,

ἐπικλη-

ἐπίκλησιν, ἑτέρωθεν στράτευμα ἐπαγόμενον ἄλλοτε συχνόν, καὶ δὴ καὶ Βλάχων πολὺν ὅμιλον, οἳ τῶν ἐξ Ἰταλίας ἄποικοι πάλαι εἶναι λέγονται, ἐκ τῶν πρὸς τῷ Εὐξείνῳ καλουμένῳ πόντῳ χωρίων ἐμβαλεῖν ἐκέλευεν εἰς τὴν Οὐννικήν, ὅθεν οὐδεὶς οὐδέποτε ἐκ τοῦ παντὸς αἰῶνος ἐπέδραμε τούτοις. Ἀλέξιος μὲν οὖν καὶ τὸ ἄλλο Ῥωμαίων στράτευμα ἐπὶ τοῦ Ἴστρου γεγονότες, δέος ὑπετείνον Οὔννοις, ὡς ἐκεῖθεν αὐτίκα περαιωσόμενοι. ὁ Βατάτζης δὲ ὅθεν εἴρηται προσβαλὼν, ἐκφέρετέ τε ἀφειδῶς πάντα καὶ ξυνεπάτει τὰ παραπίπτοντα. Ἀνθρώπων τε οὖν πολὺν εἰργάσατο φόνον, καὶ ἀνδραποδισμὸν οὐκ ἐλάσσω πεποίηται. πρὸς δὲ καὶ ζώων ἀγέλας, ἵππων τε καὶ ἄλλων παντοδαπῶν ἐκεῖθεν ἐλάσας, ἐπὶ βασιλέα ἦλθεν. Ὁ δὲ καὶ δευτέραν ἐπιθεῖναι σφίσι θέλων πληγὴν, στράτευμα καὶ πάλιν ἐπ᾽ αὐτοὺς ἔπεμψεν, ἐπιστείλας ἄνωθέν ποθεν, ἐς τοὺς προσοικοῦντας τὴν Ταυροσκυθικὴν ἐμβαλεῖν Οὔννους. Ἡγοῦντο δὲ τοῦ στρατεύματος τούτου Ἀνδρόνικός τε ὁ Λαμπαρδᾶς, καὶ Νικηφόρος ὁ Πετραλοίφας, ἄλλοι τε ἱκανοί. Πᾶσι μέντοι ἐφίστατο Ἰωάννης, οὗ πολλάκις ἤδη ἐμνήσθην, ὁ Δούκας. Οἳ καὶ οὐκ εἰς μακρὰν δολιχάς τινας καὶ δυσεμβόλους διαμείψαντες χώρους, ἀνθρώπων τε παντάπασιν ἔρημον διελθόντες γῆν, ἐμβάλλουσι τῇ Οὐννικῇ. κώμαις τε πολυανθρωποτάταις ἄγαν ἐντετυχηκότες πολλαῖς, μέγα τι τὸ λαφύρων περιεβάλλοντο χρῆμα, καὶ ἀνθρώπων

A aliunde cum exercitu alio magno, & Blachorum ingenti numero, qui quondam fuiſſe coloni Italorum memorantur, ex locis ponto Euxino vicinis irrumpere Hunnicam jubet, unde nullo quiſquam ſeculo eos invaſerat. Alexius itaque & alius Romanorum exercitus cum ad Iſtrum venerant, quaſi continuo inde trajecturi, metum Hunnis incuſſerunt: & Batatzes alia, uti diximus, irrumpens, B omnia depopulatus, obvia quæque proſternit, hominum ingentem cædem edit, nec pauciores captivos ducit; ad hæc pecorum equorumque & aliorum inde animalium greges agens, ad imperatorem revertitur. Sed ille alteram quoque iis inferre plagam ſtatuens, novum eo exercitum miſit; cum manditis, ut ſuperiora loca adirent & qui Scythiæ Tauricæ accolunt Hunnos. Præerant iſtis co- C piis Andronicus Lampardas & Nicephorus Petraloiphas, aliique egregii homines: ſumma autem rerum penes Joannem Ducam, cujus ſæpenumero in prioribus mentionem fecimus. Nec diu cunctati, loca longa atque inacceſſa, terraſque hominibus prorſus vacuas emenſi, Hunnicam invadunt: & in vicos incidentes frequentiſſimos complures, ingenti præda potiuntur, homines mul-

πολλοὺς ἔκτειναν, πλείστους δὲ καὶ ἀνδραποδίσαντο. Μέλλοντές τε ἤδη ἐκεῖθεν ἀπαίρειν, σταυρὸν χαλκοῦ πεποιημένον ἐνταῦθα ἀναστήσαντες, τοιά δέ τινα ἔγραψαν.

A tos cædunt, plurimos bello capiunt. tamque inde decessuri, factam ex ære crucem istic loci constituunt, cum hujusmodi inscriptione:

Ἔνθαδε Παννονίης ποτὲ ἄκριτα φῦλα γενέθλης
Δεινὸς ἀρηϊκὴ χεὶρ ἔκτανεν Αὐσονίων.
Ῥώμης ὁππότε κλεινῆς δῖος ἄνασσε Μανουήλ,
Κομνηνῶν κρατόρων ἔξοχος ἀριστονόμων.

Pannonica quondam numerosa hic germina stirpis
Mars & dura manus sustulit Ausonium;
Imperium Manuel Roma cum divus habebat,
Comnenum Augusta gloria prima domus.

Ἐν ᾧ δὲ ταῦτα ἐγίνετο, Ἐρρίκος ὁ Στριχίων δοὺξ σὺν τῇ γυναικὶ Θεοδώρᾳ τῇ βασιλέως ἀδελφιδῇ ἐπὶ Σαρδικὴν ἦλθε, Φρεδερίκον τε τὸν Ἀλαμανῶν ῥῆγα τῷ βασιλεῖ διαλλάξων, καὶ πολέμων ἐκεχειρίαν Οὔννοις ἐξαιτησόμενος. Φρεδερίκος γάρ, ὡς ἐν τοῖς ἔξωθεν μοι δεδιήγηται λόγοις, βασιλέως ἀντιπράττοντος αὐτῷ, τήν τε Ῥώμης ἀρχὴν παραμικρὸν ἀφῃρῆσθαι ἦλθεν, ἐς τὸ πάλαι ἔθος ἀνακεχωρηκέναι τοῦ ἐν Ῥώμῃ ἀρχιερέως συνομολογήσαντος, καὶ ἄλλα τῶν οὐ κατὰ γνώμην ὑπέστη πολλά, τῶν τῇδε ἐθνῶν ἐκπολεμουμένων αὐτῷ, ταῖς ἐκ βασιλέως συνωθήσεσι. δι᾽ ἃ καὶ ὀλίγῳ μὲν πρότερον, ὁπηνίκα ἔτι ἐν κακοῖς ἦν, ὑποποιεῖσθαι τὸν βασιλέα θέλων, πέμψας φίλια διελέξατο, κατὰ Οὔννων τε, ὥσπερ εἴρηται, συνάρασθαι αὐτῷ ὡμολόγει. Ἐπειδὴ δὲ τὰ ἀμφὶ

B Inter hæc Strichiorum dux Henricus, cum uxore Theodora imperatoris sororis filia, in Sardicam venit, partim ut Fredericum Alamannorum regem principi conciliaret, partim ut belli inducias pro Hunnis expeteret. Fredericus enim, ut supra commemoravimus, imperium Romæ, quantumvis obniteretur princeps, fere occupave- C rat, consentiente ibi pontifice, ut ad normam id antiquam rediret; & alia multa contra spem fiduciamque molitus est, quod gentes istę, ab imperatore ad hoc impulsę, bello ei resisterent. Propter quę paullo ante, cum in arcto adhuc res ejus essent, placare imperatorem volens, per legatos amicitiam ejus amplexus est, seque belli contra Hunnos participem fore promisit.

τῇ

τῇ Ῥώμης ἀρχῇ τῷ Πάπᾳ διωμολογημένα ἀναπετράφθαι συνέβη, ἅτε δὴ βασιλέως μὲν ἐπὶ Βυζάντιον τὴν Ῥώμης καὶ αὖθις μεῖναι ἰσχυριζομένου βασιλείαν, τοῦ δὲ Πάπα τοῦτο μὲν οὐ καταδεχομένου, ἐν Ῥώμῃ δὲ βασιλεύειν αὐτὸν ἀξιοῦντος. διὰ ταῦτα ἀναθαρσήσας Φρεδερίκος, αὖθις τὴν δυσμένειαν ἐξεδείκνυ. Εἴς γε ὥστε τὴν Ῥωμαίων εἰσβαλεῖν διανοούμενος, βαρβαρικῇ τινι ἀπονοίᾳ ἤδη καὶ διαμερίζειν αὐτὴν τοῖς περὶ αὐτὸν ἤρξατο. Ἐπεὶ δὲ, τοῦ βασιλέως ἀντιπεριισταμένου, ἐπινοίαις ἑτέραις ἄπρακτος ἦν, ἐπὶ τὴν δι' Ἐρρίκου τούτου, καὶ Βλαδισγράτζου ἐπεῖδε πρεσβείαν, μηχανώμενος, ὅπως ἂν ἐν φιλίας προσχήματι ἀποσχέσθαι τῶν κατ' αὐτοῦ ἐγχειρουμένων ἀναπείσας τὸν βασιλέα, αὐτὸς οὕτω ἐς τὸν κατὰ Ῥωμαίων εὐχερῶς ἀποδύσηται πόλεμον. Ἀλλὰ βασιλεὺς ταῦτα ἐννοησάμενος, Ἐρρίκον μὲν σὺν εὐμενείᾳ εἶδεν, ἄνεσίν τε πολέμου Οὔννοις αἰτησαμένῳ ἐπένευσε. Τῶν δὲ ἀμφὶ τῷ Φρεδερίκῳ πέρατι δέδωκεν οὐδέν. Ἀλλ' Ἐρρίκος ἐπὶ οἶκον ἀναχωρῶν, ἐπειδήπερ ἐν Παιονίᾳ ἐγένετο, Στέφανον ἀναπείθει, τὴν Ταυροσκυθίδα διωσάμενον κόρην, θυγατέρα τὴν αὐτοῦ ἀγαγέσθαι. Γέγονε δὴ ταῦτα. Καὶ Οὔννοι οὐ πολλῷ ὕστερον Δαλματίαν αὖθις ἀφελέσθαι διενοήθησαν, ἄλλα τε οὖν στρατεύματα παρ' αὐτὴν ἦλθον, καὶ ὁ παρ' αὐτοῖς τὴν Ζουπάνου ἔχων ἀρχὴν

A Posteaquam vero ea, quæ Papa de imperio Romano pepigerat, in irritum ceciderunt, principe nimirum Byzantii etiamnum manere imperii Romani ſedem contendente, idque non admittente Papa, ſed Romæ eum imperare jubente; elatus his rebus Fredericus, iterum facere hoſtilia cœpit. & in fines tranſcendere Romanos cogitans, eos etiam barbarica quadam amentia dividere inter ſuos inſti- B tuit. Ubi ergo, principe obviam eunte, nihil alteris conſiliis proficeret; legationem Henrici hujus & Bladiſgratzi reſpicere; machinatus ſcilicet, ut, poſtquam amicitiæ prætextu ab incepto contra ſe opere principem abduxiſſet, ipſus ſe facilius ad bellum Romanis inferendum accingeret. Sed ubi id imperatori compertum eſt, Henricum quidem multa comitate excipit, inducias pro Hunnis petenti C concedit; cæterum eorum, quæ ad Fredericum attinebant, nihil exequitur. Henricus autem domum rediens, ubi in Pæoniam venit, Stephano perſuadet, ut, repudiata Tauroſcythica virgine, filiam ſuam in matrimonium duceret: idque factum eſt. Et Hunni non multo poſt occupare iterum Dalmatiam animos induxerunt: unde & alii eo miſſi exercitus, & ipſe etiam qui Zupani dignitate inter

(βούλεται δὲ τοῦτο τὸν μετὰ τὸν ῥῆγα παρὰ τῷ ἔθνει δεδυνημένον) ἀλλὰ πολέμῳ μὲν τῶν τῇδε περιγενέσθαι οὐδαμῇ ἴσχυσαν. Τὸν Χαλούφην δὲ ὑπὸ χερσὶ θέμενοι ἀνεχώρησαν. ὅπως γε μὴν Νικηφόρῳ τοῦτο συνέβη, αὐτίκα μοι λελέξεται. Οὗτος στράτευμα Οὐννικὸν ἐπὶ χώρας γενέσθαι πυθόμενος, ὀλίγους τῆς περὶ αὐτὸν ἐπιθέμενος στρατιᾶς, ἐξῄει τοῦ Σπαλάθου. ἐν ᾧ δὲ τὴν πορείαν ἐτίθετο, οἱ πλείους τῶν αὐτοῦ ἑπομένων κατ᾽ ὀλίγους ἀπορρέοντες ἀεὶ, εὐχείρωτον τοῖς πολεμίοις τὸν ἄνθρωπον ἔθεντο. περιστάντες οὖν αὐτὸν ἔργα χειρὸς ἐργασάμενον ἁδρὰ, αἰχμάλωτον ἦγον. Ὁ βασιλεὺς δὲ τούτων ἀκούσας, ἐς Βυζάντιον ἦλθεν, ἔαρος σὺν μείζονι ἄλλῃ παρασκευῇ κατ᾽ αὐτῶν ἀφικέσθαι διανοούμενος. Οὐ μέντοι καὶ ἠδυνήθη περὶ τὴν στρατεύσιμον ἐνταῦθα παραγενέσθαι ὥραν, τύχης ἐμποδὼν αὐτῷ χωρησάσης τινός. ἥτις ὁποία ποτὲ ἦν, ὁ λόγος δηλώσει. Ἐξῆκε δὲ ὁ χειμὼν, ἀνακεθαμένου δὲ τοῦ ἀχλυώδους, ἐπί τι σωφρονικὸν καθίειν γυμνάσιον ἑαυτὸν, εἰθισμένον ὂν βασιλεῦσι καὶ παισὶ βασιλέων ἀνέκαθεν. Ἔστι δὲ τὸ τοιοῦτον. Νεανίαι τινὲς εἰς ἴσα διαιρεθέντες ἀλλήλοις, σφαῖραν σκύτους μὲν πεποιημένην, μήλῳ δὲ ἐμφερῆ τὸ μέγεθος, εἰς χῶρόν τινα ὕπτιον ἀφιᾶσιν, ὅς ἂν δηλαδὴ συμμετρησαμένοις αὐτοῖς δόξῃ, ἐπ᾽ αὐτὴν οἷον τι ἆθλον ἐν μεταιχμίῳ κειμένην,

A ipsos fungebatur (quod nomen proximam à rege in ea gente potestatem significat) sed ubi nihil ibi superare bello potuissent, solo capto Chaluphe redierunt. id quomodo Nicephoro acciderit, memorabimus. Ille, cognito venisse in regionem istam Hunnorum exercitum, paucis militum suorum assumtis, Spalatha egreditur; dumque iter faciunt, plerique sequentium paullatim desciscentes, eum B captu facilem hostibus præbuere. circumstantes igitur illum fortia manu opera edentem, tandem captivum abducunt. Postquam ea princeps accepit, Byzantium proficiscitur, vere primo majori cum apparatu redire ad ipsos cogitans: neque tamen opportuno militiæ tempore adesse ibi potuit, fortuna interveniente; quæ cujusmodi fuerit, expediam. Jam circumacta erat hiems & discussa cœli caligo, cum C se honesto exercitio dedit, imperatoribus eorumque liberis antiquitus proprio ac solenni. Est vero id ejusmodi. Juvenes aliquot æquo inter se numero divisi, factam ex corio pilam, magnitudine autem malo similem, in loco quodam, ad id prius dimenso descriptoque, sublimem jaciunt, atque ad eam, velut præmium in medio positam, plenis inter se habenis contendunt: singuli in dextris virgam ha-

νην, ἀπὸ ῥυτῆρος ἀντιθέουσιν ἀλλήλοις. ῥάβδον ἐνδέξια χειριζόμενος ἕκαστος, συμμέτρως μὲν ἐπιμήκη, ἐς δὲ καμπύλην τινὰ πλατεῖαν ἄφνω τελευτῶσαν, ἧς τὸ μέσον χορδαῖς ἐκ χρόνῳ μὲν ἀνανθείσαις, ἀλλήλαις δὲ δικτυωτόν τινα ξυμπεπλεγμέναις διαλαμβάνεται τρόπον. σπουδὴ μέντοι ἑκατέρῳ πεποίηται μέρει, ὅπως ἂν ἐπὶ θάτερον προτερήσαντες μεταγάγωσι πέρας, ὃ δηλονότι ἀρχῆθεν αὐτοῖς ἀποδέδεικται. Ἐπειδ᾽ ἂν γὰρ ταῖς ῥάβδοις εἰς ὁποτερονοῦν ἐπειγόμενος, ὁ σφαίρης ἀφίκηται πέρας, τοῦτο ἡ νίκη ἐκείνῳ τῷ μέρει γίνεται. Ἡ μὲν παιδιὰ τοιάδε τίς ἐστιν, ὀλισθηρὰ πάντη καὶ κινδυνώδης. Ὑπτιάζειν τε γὰρ ἀεὶ, καὶ ἰσχιάζειν ἀνάγκη τὸν ταύτην μετιόντα, ἐν κύκλῳ τε τὸν ἵππον περιελίσσειν, καὶ παντοδαποὺς ποιεῖσθαι τοὺς δρόμους, τοσαύταις τε κινήσεων ὑπενηνέχθαι εἴδεσιν, ὅσαις δήπου καὶ τὴν σφαῖραν ξυμβαίνει. Ἡ μὲν δὴ παιδιὰ τοιάδε τίς ἐστιν. Τῷ δὲ βασιλεῖ, δαιμονίως περὶ ταύτην στρεφομένῳ, πανσώμον εἰς γῆν ἐνεχθῆναι συνέβη τὸν ἵππον. ὁ δὲ νέρθεν ὑπενεχθεὶς, ἔκαμνε μὲν, καὶ πολλὰ ἐβιάζετο τοῦ πτώματος ἀνανδῦναι. Οὐκ ἔχων δ᾽ ὅπως τὸν ἵππον διωθήσαιτο ὁλόσωμον, ὥσπερ ἔφην, αὐτῷ κατενηνεγμένον, μηρόν τε καὶ χεῖρα τῇ ἐκ τῆς ἐφεστρίδος ἐπιλήψει διετέθη κακῶς. οὕτω μέντοι μεγαλοψύχως ἤνεγκεν, ὡς καίτοι χαλεπώτατα πεπονθὼς, ἀναστῆναι τε ταχέως, πολλῶν ἤδη περιεστάντων αὐτὸν, καὶ τὸν ἵππον αὖθις ἀναθορεῖν, διαύλους τέ τινας σχολῇ ποι-

A bentes, mediocriter longam, sed mox in orbem incurvatam ibique fidibus paulum distantibus, cæterum retis in modum inter se connexis, distentam. operam vero dant utraque pars, ut alius alium prævertentes, alteram ultra metam, quam initio præfixere, pilam transmittant: fusa enim ea ubi alterius partis terminum superavit, id alteri victoria est. Hujusmodi quidem ludus iste, dubius plane ac B periculosus: eo namque qui se exercet, supinare se continuo necesse est, inque latus utrumque flecti, & in orbem equum circumagere, & omni modo cursum instituere, totque motuum generibus, quot pila fundi potest, esse versatilem. Atque hoc se modo id exercitium habet. in quo dum se minifice imperator gerit, equus in terram totus corruit, ipseque subter effusus, magno labore ut se à C casu illo erigeret annititur. Cum vero equum, toto uti diximus incumbentem corpore, removere non posset, femur manumque, qua parte ex vestibus prominet, graviter læsit: tantoque id malum animo pertulit, ut, quantumvis letalia passus, & confestim assurrexerit, multis jam circumstantibus, & equum rursus conscenderit, & cursus aliquot citra laborem expedite satis fecerit: usque dum, au-

ησα

εἶσθαι ἐφ' ἱκανόν. Ἕως ἤδη σφοδροτέ- A ρων αἰσθόμενος τῶν ὀδυνῶν, ἐπὶ τὴν κλίνην ἦλθε. Τὸ δὲ ἐντεῦθεν οὕτω δὴ τοῦ πάθους ἡττεῖτο, ὡς ἐκ τῆς περιχυθείσης αὐτὸν τότε ἀθυμίας τῇ ὑστεραίᾳ μηδεμίαν τῶν τότε λελαλημένων, ἢ πεπραγμένων μνήμην ἴσχειν τινά. Τοῦτο μὲν δὴ τοιοῦτον ἐγένετο. Ὁ δὲ δυοῖν ὕστερον ἡμέραιν ῥάων γεγονὼς, ἐπὶ Ἀπάμειαν ἐφέρετο. Οἷα δὲ εἰκὸς, συντάσεως ἐκ τῆς ὁδοιπορίας γεγενημένης τινός, οἶδος αὖθις ἀνέβη, καὶ ὀδύναι τοῦτον ἐκίνουν συχναί. καὶ δὴ ἀμ- B φὶ πόλει Σηλυβρίᾳ τὰς πασχαλίους διαγωγὰς, ἐπειδήπερ ᾔσθετο ἐν καλλίονι γεγονὼς, ἐπὶ τὴν Φιλίππου ἐφέρετο. Ἔνθα δὴ πρέσβεσι χρηματίσας ἐκ Παιόνων ἀφιγμένοις, ἐπειδὴ μηδὲν ὑγιὲς αὐτοὺς ἀπαγγέλλειν ἔγνω, ἐκεχειρίαν δὲ μόνον καὶ ἀνοχήν τινα πολέμου ἐκ παντὸς τρόπου πειρῶντας λαβεῖν, αὐτοὺς μὲν ἀπράκτους ἀπεπέμψατο. συνεκπέμψας αὐτοῖς καὶ Ῥωμαίων τινὰ, ἐφ' ᾧ τὴν Χαλούφην αἰτήσαιτο, καὶ εἰ μὴ τοῖς δεδογμένοις C ἀγαπῶμεν αὐτίκα, καὶ πάλιν ἀπειλῆσαι βασιλέα καὶ τὸν Ῥωμαίων στρατὸν ὄψεσθαι. Ὁ δὲ ἐπὶ Σαρδικῆς γεγονὼς, ἐνταῦθα τὰς δυνάμεις ἤθροισεν. Ἔνθα διατριβὴν ποιουμένου, συνέπεσέ τι τοιοῦτον. Ἀλέξιος ὃς τὴν Πρωτοστράτορος τότε, ὡς πολλάκις μοι ἐρρέθη, διεῖπεν ἀρχὴν, ἐκ πολλοῦ μὲν ἀποστασίαν ὤδινε. τότε δὲ καταφανὴς γεγονὼς, τὴν τρίχα ἐκάρη, καὶ ἐς τοὺς μοναχοὺς μεταθέμενος, ἐπί τι τῶν ὀρεστέρων ἀπέχ-

gescere dolores cognito, ad lectum sese contulit. Deinceps vero ita superatus à malo est, ut ex animi deliquio, nullum postridie eorum, quæ dixerat aut fecerat, habuerit memoriam. id quidem hujusmodi fuit. Biduo post cum meliuscule haberet, Apamiam proficiscitur: utque haud mirum est, orta ex itinere nervorum distensione, tumor iterum rediit, & multi eum dolores corripuere. quapropter in urbe Selybria diebus Paschalibus transactis, simul se firmatiorem sensit, ire ad Philippopolin pergit. Pæonum hic legatos conveniens, ubi nihil eos sani adferre cognovit, sed belli modo inducias omni modo sollicitare, rebus infectis dimisit: addiditque Romanum quendam, qui & Chaluphen repeteret, & nisi mox imperata facerent, imperatorem rursus Romanorumque exercitum præsto fore, minaretur. ipse autem Sardicam progressus, copias ibi contrahit. Interea dum hic agit, hujuscemodi quid accidit. Alexius, qui Protostratoris ea tempestate, uti supius à me narratum, munere fungebatur, jamdudum quidem defectionem molitus, tum vero manifestus ejus facinoris, resectis crinibus monachus factus est, seque in monasterium quoddam eorum, quæ in Strymonis monte Papicio pluri-

θη σεμνείων,

θη σεμνείων, ἅπερ ἐπὶ Στρυμόνος ἐν ὄρει Παπικίῳ ἵδρυνται πλεῖστα. Ἔνθα ἐφ' ἱκανὸν διαγαγὼν ἀπεβίω. ἀλλ' ὅθεν τε, καὶ ἀπ' αἰτίας τίνος ἐς τοῦτο τύχης ὁ ἄνθρωπος ἦλθεν, ἤδη λέγομεν. Οὗτος ὁπηνίκα τὴν ἐπὶ Κιλικίας ἐστέλλετο πρότερον, αὐτοκράτωρ τοῦ πολέμου ἐκείνου πρὸς βασιλέως ἀναδειχθεὶς, ἐπίτηδες εἰς Ἰκόνιον συγγεγονὼς τῷ Σουλτάν, εἴς τε φιλίαν αὐτὸν ἐπηγάγετο, καὶ τῶν εἰς τυραννίδα τεινόντων διελέξατο τούτῳ πολλά. Γράμματά τε τὰ μὲν λαβὼν παρ' αὐτοῖς, τὰ δ' ἀντιδοὺς, ἐν οἷς τὰ δεδογμένα σφίσιν ἐγέγραπτο, τότε μὲν ἐπὶ Κιλικίαν ἦλθε. χρόνῳ δ' ὕστερον ἐς Βυζάντιον ἐπανιὼν, ἐπειδήποτε γραφαῖς ἐπαγλαΐσαι τῶν προαστείων αὐτοῦ δωματίων ἠβουλήθη τινὰ, οὔτε τινὰς ἑλληνικὰς παλαιοτέρας ἐνέθετο πράξεις αὐτοῖς, οὔτε μὴν τὰ βασιλέως, ὁποῖα καὶ μᾶλλον τοῖς ἐν ἀρχαῖς εἴθισται, διεξῆλθεν ἔργα, ὅσα ἔν τε πολέμοις καὶ θηροκτονίαις αὐτὸς εἴργαστο. Τοσούτοις γὰρ αὐτὸν ξυμπλακῆναι συνέβη, καὶ τοιοῖς δὲ φύσιν ἀντικαταστῆναι θηρίοις, ὅσοις οὐδένα τῶν πώποτε γεγονότων ἠκούσαμεν. καὶ εἴ τι μὴ νόμων ἀποφέρομαι ἱστορικῶν, ὁποιονοῦν τι ἄρτι ἐκ τούτου ἐξελθεῖν. Ἦν μὲν περὶ τροπὰς ἤδη χειμερινὰς, καὶ χιὼν κατὰ γῆς τοσαύτη ἐπεστοίβαστο, ὡς φάραγγας μὲν, καὶ τὰς ἐν ὄρεσι σήραγγας πάσας ἀποκεκρύφθαι μονονουχί. Ὑπερβολῇ δὲ τῇ ἐκ τοῦ ψύχους μικροῦ καὶ πεπῆχθαι τὰ σώματα, ἀμέλει καὶ θηρία μὲν πάντα οὐκ ἔχοντα ὅπη

A ma sita sunt, condidit. Hic postquam diu satis supervixisset, moritur: sed unde & qua caussa ad hanc fortunam homo pervenerit, nunc reddemus. Is cum primum in Ciliciam mittebatur, summus belli dux ab imperatore constitutus, de industria Sultanum Iconii adiit, amicitiam cum ipso instituit, quæque ad tyrannidem spectabant, multa pactus est: literasque accipiens ab iis, & vicissim
B mittens, quibus voluntatem suam declarabant, in Ciliciam tum quidem venit. Interjecto deinde tempore reversus Byzantium, cum monumentis inscribere suburbana quædam ædificia vellet, neque antiquiora gentis suæ opera consignavit, neque imperatoris, id quod solitum maxime in dignitate constitutis, facta percensuit, quæ tum in bellis, tum venationibus manu sua edidisset. Tam mul-
C ta enim gessit, tot ferarum impugnavit genera, quot neminem, qui unquam vixere, hominum audivimus. & ni leges transgredior historicas, unum ex his exemplum producam. Bruma erat, densaque adeo in terram nix ceciderat, ut omnes prope montium convalles obduxerit: frigus intolerabile omnium fere corpora constringebat, cunctaque animalia, cum nidos suos occultare amplius non

κρύψαιντο τὰς λόχμας, ἐξαναδύντα A ἀθρόα ὑπὲρ τῆς χιόνος ἐφέροντο. πτηνῶν δὲ ἀγέλαι οὐκέτι τοῖς πτηνοῖς κεχρῆσθαι δεδυνημέναι (συνεῖχε γὰρ ταῦτα ὁ κρύσταλλος, καὶ οἷον τις δεσμὸς αὐτοῖς ἐπικάθιζεν, ὡς ἐπὶ τῶν ἰξευτῶν ἔστιν ἰδεῖν,) πεζαὶ λοιπὸν ἀντὶ πτηνῶν ᾔεσαν, θηρσὶ καὶ ἀνθρώποις ἑτοιμότατον θήραμα κείμεναι. Βασιλεὺς δὲ θηρευσόμενος ἐπί τι τῶν ἑῴων ἐξῄει χώρων, Δάματρις ἡ κλῆσις ἐστίν. Ἐπὶ δὲ ἔργου τούτῳ γεγονότι μέγα τι χρῆμα θηρὸς ὑπαντᾷ, οὔπω μὲν λέοντος, οὐ γὰρ ξυ- B νεχώρει λέγειν, ἡ παρδαλή. Τοῦτο δὲ ἀφῃρεῖτο τὸ μέγεθος ἂν, καὶ ἡ πρὸς λέοντα ὁμοιότης. Ἦν οὖν διπλῆ τις καὶ ἐπ' ἀμφότερα ἕλκουσα φύσις, πάρδαλις ἐν λέοντι, καὶ λέων ἐν παρδάλει, περιέστιόν τι μίγμα ποιοτήτων. ἐν τῷ γενναίῳ τὸ γοργὸν, τὸ θυμικὸν ἐν τῷ βλοσυρῷ, καὶ καθάπαξ πάντα δι' ἀλλήλων ἥκοντα τὰ ἀμφοῖν ἴδια. Ὁ μὲν δὴ θὴρ τοιοῦτος ἦν. Τῶν δὲ βασιλεῖ ἑπομένων, ἐπειδὴ τοῦτον εἶδον, ἀπερρύησαν οἱ πλείους. ἦν γὰρ οὐδὲ ἰ- C δεῖν τοῖς πολλοῖς ἀνεκτός. Ὡς δὲ καὶ ἀγχοῦ ἤδη ἐγένετο, οὐδεὶς ἦν τὸ λοιπὸν, ὃς τούτῳ ξυνίστατο. Ἀλλὰ βασιλεὺς φευγόντων ὃ περιῆπτο ξίφος ἑλκύσας, τὸν θῆρα πατάξων ἐφέρετο, πληγήν τε αὐτοῦ τῷ μετώπῳ κατενεγκὼν, ἄχρι καὶ ἐπὶ στέρνα διέλασεν. Ὁ μὲν δὴ βασιλεὺς τοιός δέ τις ἐπὶ θηροκτονίαις ἐγένετο. Ἀλέξιος δὲ, ἐπάνειμι γὰρ ὅθεν τὴν ἐκβολὴν τοῦ λόγου ἐποιησάμην, τούτων ἀφέμε-

possent, palam magno numero super nivem ferebantur; ad hæc avium greges, alis inutilibus, quas tanquam vinculum astrinxerat glacies, ut videre in aucupiis est, alarũ loco pedibus ibant, feris hominibusque paratissima præda. Exiit autem venatum princeps in regionem ad orientem versam, cui Damatris nomen: isti operi intento obviam venit ingentis magnitudinis fera, tantum non leonis, (dicere enim absurdum est) pardus: hujus namque magnitudo erat, similitudo leonis. Duplex ergo & utriq; cõveniens natura, pardus in leone, inque pardo leo; mira affectuum commixtio: generositati inerat atrocitas, iracundia gravitati, omnesq; adeo diversę inter se utriusque feræ qualitates. Et talis quidem ista. quam simul videre qui imperatorem sequebantur, diffugere plerique: quippe ne aspectu quidem multis tolerabilis erat. Ubi vero appropinquare jam cœpit, nemo tandem committere se illi ausus est: sed imperator, fugientibus illis, quem suspensum habebat gladium stringens, ad percutiendum belluam accurrit, ictumque capiti illatum usque ad pectus adegit. Talem se quidem princeps in venationibus gerebat. Cæterum Alexius (redeo enim unde eram digressus) his omissis, res bello ge-

νος,

νος, τὰς τοῦ Σουλτὰν ἀνεστήλου στρατηγίας. νήπιος ὥσπερ ἐν σκότῳ φυλάσσειν ἐχρῆν, ταῦτα ἐπὶ δωμάτων αὐτὸς δημοσιεύων κατὰ τὴν γραφήν. Ὧν αἰσθόμενος βασιλεὺς, ἐν ἰδιαζούσαις πολλάκις παραλαμβάνων αὐτὸν διατριβαῖς, παραινέσεις προσῆγε, ὅπως ἂν ἀπόσχῃ τῶν μελετωμένων αὐτὸν προθυμούμενος. Ὁ δὲ τοῦ σκοποῦ καὶ πάλιν ἀπρὶξ εἴχετο. Καὶ δὴ ἄνδρα Λατῖνον μὲν γένος, γόητα δὲ καὶ πολλοὺς τὰ δαιμόνια πράγματα θαμὰ συγκαλῶν ὡς ἑαυτὸν, διωμιλεῖτο τε αὐτῷ γνησιώτατα, καὶ ἀπορρήτων ἐκοινώνει σκεμμάτων. Τὸ δὲ ἦν, ὅπως ἂν βασιλεὺς ἐς ἀεὶ ἀπαιδίαν δυστυχοίη· φάρμακά τε πρὸς τοῦ κακοδαίμονος ἐπὶ τοῖς εἰρημένοις ἐλάμβανε πολλὰ, καὶ οὐκ ἔληγε τὰ τοιαῦτα ἐνεργολαλῶν ὁ ταλαίπωρος. Δι' ἃ καὶ πάλιν ὠνείδιζέ τε αὐτὸν βασιλεὺς, καὶ τὴν παράνοιαν ἤλεγχεν. Ὁ δὲ μεταμελῆ γεγονέναι δόξας, ὁ αὐτὸς καὶ πάλιν ἦν. ὀλίγον γὰρ διαλειπὼν χρόνον, προσελάμβανεν αὖθις τὸν δαιμονιώδη ἐκεῖνον, καὶ περὶ τῶν αὐτῶν ἐκοινώνει. Κωνσταντίνῳ δέ ποτε τῷ Δούκᾳ συγγεγονὼς, ὃς καὶ αὐτὸς βασιλέως ἔγημεν ἀδελφιδῆν, Ὦ βέλτιστε, ἔφη, εἴ σοι βουλητὸν ἔσται, γνώμης κοινωνήσειν μιᾶς, οὐκ ἄν τις ἔφη, ἴσθι περιγενέσθαι ἡμῶν σχοίη. Ἀλλὰ τοῦτο μὲν οὔπω σφόδρα καταφανὲς εἴρηται. Ἕτερον δὲ πολλῷ τούτου ἐναργέστερον. Ἀλέξιος ποτε ὁ Κασιανὸς, ἐπειδὴ πέρα τοῦ προσήκοντος ἀναπίπτοντα

A stas Sultani describere: quæque adeo silentio premi & abscondi oportebat, stolide ædibus insculpta publico ostentare. Hæc ubi principi comperta sunt, sępenumero in secreta eum colloquia adsumsit, admonens contendensque, uti illum ab incepto deduceret. Sed obstinatus iste in proposito perdurare; quin & hominem Latini nominis, præstigiatorem inque magicis artibus mire versatum, crebro ad se B vocans, familiarissime cum eo agere, & nec dicenda illi consilia aperire. Erant autem ea, ut liberorum semper penuria laboraret imperator; multaq; in hunc effectum pharmaca ab homine infelici accipiebat, neque cessavit illis uti miser: propter quæ increpare iterum & amentiam ejus imperator arguere. Verum ille resipiscere primum visus, mox antiquum obtinuit: parvo enim interjecto tempore, super C iisdem rursum rebus advocatum magum consuluit. Aliquando cum Constantino Duca congressus, qui & ipse filiam sororis imperatoris duxerat, *ô optime virorum*, inquit, *si animus est tibi, unum nobiscum consilium capere, neminem nos superaturum scito.* Sed illud non adeo quidem aperte dictum; alterum vero longe hoc manifestius. Casianus Alexius, postquam præter decorum torpescere illum ad inferendum Hunnis

τοῦτον ἐς τὸν κατὰ Οὔννων πόλεμον ἑώρα, ἡνίκα ξὺν τῷ Βελᾷ ἐπὶ Οὐννικῆς ἐστράτευε, προσελθὼν αὐτὸν ἐς τοῦτο ἐπεχείρει. Ὁ δὲ παραλαβὼν ἰδίᾳ τὸν ἄνθρωπον, πυνθάνῃ, ἔφη, οὗ ἕνεκα πολέμων αὐτὸς ἀνέχομαι τὰ πολλά; ὅτι φειδὼ τοῦ ἀνθρωπίου πολλὴν ἴσχω γένους πέρι ἐμαυτοῦ. τοῦ δὲ καί τι πρὸς τὸν λόγον τοῦτο ἐπενεγκόντος, ἔφη ἐκεῖνος, ὅτι βασιλεὺς ἐκτρίψαι θέλων τὸ Ῥωμαϊκὸν, ἀπροορεάτως ὅπερ ἂν τύχῃ ἐπὶ μάχας αὐτὸ εἰσωθεῖν ἐκέλευέ μοι ἰσχυράς. σὺ δὲ εἴμοι τὸν λόγον τηρήσῃς τοῦτον, φίλος ἡμῖν ἔσῃ. Ὁ μὲν τοσαῦτα εἶπεν. Ὁ δὲ Κασιανὸς βασιλεῖ ταῦτα ἐμήνυσεν. ἀλλὰ ταῦτα μὲν πρότερον. ὁ δὲ πάντων ὕστατον εἴργαστο, τοιόνδε τι ἐγένετο. Σκυθῶν ὅμιλος ἐπὶ συμμαχίᾳ Ῥωμαίοις ἀφικόμενοι, περὶ τῶν συντάξεων πολλὰ πολυπραγμονήσαντες πρότερον, εἶτα δὴ κατέθεντο. Ἀλλ' ὁ Πρωτοστράτωρ ἰδίᾳ τούτοις ἐντετυχηκὼς, χρήμασιν ἀναπείθει προσποιήσασθαι μὲν εἰς ἤθη τὰ πάτρια παλινοστεῖν. ἐπειδὰν δὲ ἀμφὶ τῶν νυκτῶν ἤδη γένηται, ἀθρόους τῇ βασιλείᾳ ἐπιθέσθαι σκηνῇ, ἔργου τε ἔχεσθαι. Τέθειτο δὴ ταῦτα καὶ βεβούλευτο. Ἀλλὰ παιδάριόν τι τῶν ἐπὶ σκηνῆς αὐτῷ ὑπηρετουμένων, ἐπειδήπερ ἔγνω τὴν ἐπιβουλὴν, σπουδῇ ἐς τὸν ἐκτομίαν Θωμᾶν παρελθὸν, ὃς εὐνούστατος βασιλεῖ τηνικάδε ἐτύγχανεν ὢν, ἐμήνυσεν αὐτῷ τὸ σκέμμα. Ὁ δὲ εἰς βασι-

A bellum vidit, quo tempore in Hunnica cum Bela militabat; adhortationibus incitare ad id animum ejus voluit. Cæterum hic in secretum, aliis remotis, eum ducens, *Quaris*, ait, *quam ob caussam à bellis ego abstinere ut plurimum soleam? quia me generis nimirum cum maxime mortalis miseret.* Altero deinde rationem porro roganti, subjicit is; *Quod imperator, delere Romanum nomen volens, inopportuno tempore, quotiescumque modo illi lubitum est,* B *eos me in atrocissima educere prælia imperat. Tu vero hunc si sermonem servaveris, amicus nobis eris.* Ita quidem is locutus. Sed Casianus omnia ea imperatori retulit. & hæc quidem primum: novissime quod factum ab eo est, hujusmodi fuit. Scytharum multitudo Romanis auxilio venientes, postquam acriter primo de loco atque ordine certassent, tandem acquievere. hos C Protostrator occulte aggressus, pecuniis inducit, ad patrias uti sedes redirent; nocte autem concubia tabernaculum imperatoris frequentes peterent impugnarentque. Hęc sic decreta & consulta sunt. Cæterum puerulus quidam eorum, qui tentorium ejus administrabant, simul consilia ipsorum intellexit, confestim ad Thomam eunuchum, principi ea tempestate fidissimum, properat, indicatq; commentum:

λία

λέα τὸν πάντα λόγον διαγαγών, εἶτα παρέστησε καὶ αὐτῷ καὶ τὸ παιδάριον. Οὐ μὲν ἔτι τοῖς λεγομένοις βασιλεὺς πιστεύειν ἤθελεν, ἕως ἕωθεν οἱ Σκύθαι ἀπ' αἰτίας οὐδεμιᾶς ἀποχωρεῖν ἤρξαντο. αὐτοὺς μὲν οὖν ὑποσχέσεσιν ὑπελθών, ἐπισχεῖν ἠδυνήθη. Ἐπὶ δὲ Ἀλέξιον τοὺς αὐτὸν ἤδη συλληψομένους ἔστελλε. καὶ ταχὺ δεσμώτης ἦν ὁ ταλαίπωρος. Μετ' οὐ πολὺ καί, βασιλέως κελεύσαντος, ἄνδρες τῶν ἐπὶ δόξης παρ' αὐτὸν ἦλθον, Ἰωάννης τε ὁ Δούκας, καὶ Μιχαήλ, ὃς λογοθέτης ἐκείνου τοῦ χρόνου ἦν, πρὸς δὲ καὶ Θωμᾶς ὁ ἐκτομίας, Νικηφόρος τε τῶν ἐκ τοῦ βήλου κριτῶν εἷς ὢν καὶ αὐτός, ἐπώνυμον Κάσπαξ. ἐκόμιζον δὲ αὐτῷ ἐγκλήματα τρία, ὧν ὁποτέρῳ ἐπαγωνίσασθαι δύναιτο ἐκέλευον ἀντειπεῖν. Ὁ δὲ ἐπειδὴ τούτων ἤκουσεν, ἅπασιν ἑαυτὸν ὑπεδίκαζε. παρεκάλει τε ἀποθριξαμένῳ πρότερον, τῶν θείων τε μεταλαβόντι μυστηρίων χρῆσθαι λοιπὸν αὐτῷ, ὅτι ἂν τῇ δίκῃ δοκῇ. Ἐφ' οἷς οἰκτισάμενος αὐτὸν βασιλεύς, μοναχὸν ἔκειρε. Τὰ μὲν δὴ κατὰ τὸν Ἀλέξιον ἐνταῦθα τύχης ἐτελεύτησε. Βασιλεὺς δέ, Οὐννικῶν στρατευμάτων ἐπὶ Σίρμιον διαβάντων, δυνάμεις ἐνταῦθα ἔπεμψεν, ὧν ἦρχον ἄλλοι τε τῶν Ῥωμαίων στρατηγῶν, καὶ δὴ καὶ Ἀνδρόνικος, ὁ βασιλέως ἀδελφιδοῦς, ᾧ Κοντοστέφανος ἐπώνυμον ἔκειτο, αὐτοκράτωρ τοῦ πολέμου τοῦδε πρὸς βασιλέως καταστάς. ἀπέσταλτο δὲ αὐτῷ, ὅπως παρατάξασθαι χρεών, καὶ ὅπῃ τὸν πό-

A isque omnem eum sermonem principi retulit, & mox ipsum quoq; ei puerum stitit. Necdum etiam tum fidem dictis habere imperator potuit, donec mane Scythæ nulla ab caussa secedere cœperunt: tum quidem obtestatus eos, vix etiam retinuit. Ad Alexium vero misit qui eum comprehenderent: statimque in vincula miser conjectus. Haud multo post venere ad eum viri honorati, Joannes Ducas & Michael B ejus temporis Logotheta, Thomas item ille eunuchus, & Nicephorus unus è judicibus domesticis, cognomine Caspax. proposuere autem tria illi crimina, & quodcumq; etiam eorum diluere posset, jusserunt proloqui. Sed ubi ista audivit, omnium se reum confiteri, rogareque, uti integrum esset, depositis primum capillis, divinis se mysteriis dedere, si ita judicio videretur. propter quæ miseratus ho- C minem princeps, monachum fecit. Hunc fortunæ exitum res Alexii habuerunt. Imperator autem, euntibus Sirmium Hunnorum legionibus, copias eodem mittit, quibus præposuit tum alios Romanorum ducum, tum Andronicum fratris sui filium, cognomento Contostephanum, summum ejus belli moderatorem electum: ostenditque ei, quo modo acies instruenda foret, & qua ratione bellum con-

 λεμον

λεμον τόνδε διαθέσθαι, καθάπερ ἐν πίνακι ἀνεζωγράφηται. Ἀνδρόνικος οὖν ἐπὶ Σάον διαβὰς, ἐπειδὴ ἄγχιστα τῶν Οὔννων ἐγένετο τοῦ στρατοπέδου, τοιάδε τινὰ ἐποίει. κατασκόπους μὲν καὶ σκοποὺς, ὁποῖα εἴθισται, εἰς τὸ τῶν πολεμίων καθιέναι στράτευμα, ἥκιστα σύμφορον ἔγνω. Τῶν δέ τινας Ῥωμαίων ἐκέλευε περὶ τοῦ στρατοπέδου ἐλθόντας, πειρᾶσθαι, ὅπως ζωγρείαν τινὰ πολεμίων ἑλόντες ἀπάγοιεν. Οἱ μὲν οὖν κατὰ τὸ κελευσθὲν ἐν χερσὶ πολέμιον ἔχοντες ἐπανῆλθον. Ὁ δὲ ἀνεπυνθάνετο τοῦτον, ὅπως τι δυνάμεως ἔχοντες ἐπὶ Σίρμιον ἀφίκοντο Οὖννοι· καί τι ποτε βουλομένοις αὐτοῖς ἐστί. Πάντα τοίνυν ἐς τὸ ἀληθὲς ἐκεῖνος διεξῄει. Ἄρχουσι μὲν, ἔφη, τῆς στρατιᾶς ἑπτὰ καὶ τριάκοντα τῶν παρ' ἡμῖν στρατηγούντων ἀνδρῶν. Τὸ δὲ ἐφ' ἅπασι κράτος Διονύσιος ἔχει. Ἥ γε μὴν στρατιὰ ἐς πεντεκαίδεκα τὰς πάσας ἤθροισται χιλιάδας, ἀνδρῶν καταφράκτων ἱππέων, τοξοτῶν τε, καὶ πελταστῶν. Οὕτω δὲ θάρσους περίεστιν αὐτοῖς, ὡς μηδὲ τὴν πρώτην Ῥωμαίους ὑποστήσεσθαι κατὰ νοῦν ἔχειν. Τούτων Ἀνδρόνικος ἀκούσας, αὐτὸν μὲν ἀφῆκε πορεύεσθαι, Διονυσίῳ ἀγγελοῦντα, ὡς βασιλεὺς οὐκέτι φέρειν δεδυνημένος, ὅσα εἰς Ῥωμαίους σφίσι διημάρτηται, ἰδοὺ πάρεστι, δίκην ἀπαιτήσων τὴν δέουσαν. Τὸν δὲ Ῥωμαίων στρατὸν ὅπλα περιθέμενον ἐξῆγε τοῦ χάρακος. Ἐτάξατο δὲ ὧδε. Σκύθας μὲν καὶ τὸ πλεῖστον τοῦ Περσικοῦ ἡγεῖσθαι ἐκέ-

A ficiendum, tanquam in tabella delineavit. Andronicus ergo Saum ubi transisset castrisque appropinquasset Hunnorum, talia facere instituit. speculatores quidem exploratoresque, uti vulgo solet fieri, hostium intrare exercitum, minime consultum putabat: cæterum Romanos quosdam succedere ad eorum castra jussit, operam dantes, ut captivum inde aliquem abducerent. illi igitur, sicuti imperatum B erat, manibus hostem tenentes rediere. Hunc percunctatur, *quantis ad Sirmium Hunni viribus accesserint; & quid demum in animo ipsis esset?* Omnia itaque iste secundum viritatem enarrans, *Præsunt*, inquit, *exercitui huic septem & triginta militiæ apud nos duces; sed in omnes habet imperium Dionysius. Totum vero agmen quindecim ad summum millibus hominum constat, partim equitum cataphractorum, partim sa-* C *gittariorum & peltastarum. quos tanta fiducia occupavit, ut ne primum quidem impetum sustinere posse Romanos credant.* His auditis, dimittit eum Andronicus, nunciaturum Dionysio; imperatorem, cum ferre amplius non queat ejus contra Romanos delicta, præsto esse, pœnam ipsi decentem irrogaturum. Inde milites arma capere jussos castris educit, atque in hunc modum ordinat: Scythas & maximam Per-

λεύειν,

λθεῖν ἱππόταισιν ἅμα ὀλίγοις, οἱ σὺν A τοῖς δόρασι μάχονται. ἑξῆς δὲ ἑκατέρωθεν Ῥωμαίων εἵποντο φάλαγγες, ὧν Κοκκοβασίλειος ἦρχε καὶ Φιλοκάλης, πρὸς δὲ καὶ Ταΐκιος, καὶ ὃν Ἀσπιέτην ἐκάλουν. κατὰ νώτου δὲ αὐτοῖς ὁπλῖται ἐπορεύοντο ἀναμὶξ τοξόταις, καὶ Περσῶν φάλαγξ ὁπλοφορῆσα· μετὰ δὲ τούτους ἀμφοτέρωθεν Ἰωσὴφ τε ὁ Βρυέννιος ἐπορεύετο, καὶ Γεώργιος ὁ Βρανᾶς, Δημήτριός τε ὁ τούτου ἀδελφὸς, καὶ Κωνσταντῖνος ὁ Ἀσπιέτης, ἀνὴρ σεβαστός. B Ἑξῆς δὲ Ἀνδρόνικος ὃς χαρτουλάριος τε βασιλεῖ ἦν, ἐπίκλησιν Λαμπαρδᾶς, καὶ * ἐπιλέκτοις ἅμα Ῥωμαίοις καὶ Ἀλαμανοῖς, ἔτι δὲ καὶ Πέρσαις. κατόπιν δὲ Ἀνδρόνικος ὁ στρατηγὸς ἐπορεύετο, σὺν ἄλλοις τε πολλοῖς ὀνόματος ἀξιουμένοις ἀνδράσιν, (οἷς ἔθος ἀεὶ ὑπὸ βασιλεῖ πολεμοῦντι παρέπεσθαι ἦν) καὶ Ἰταλοῖς τοῖς ἐκ τοῦ μισθοφορικοῦ, καὶ δὴ καὶ Σερβίοις, οἳ κατὰ νώτου αὐτοῦ εἵποντο, δόρατά τε περιβεβλημένοι, καὶ ἐπιμήκεις ἀσπίδας. Οὕτω ταξάμενοι Ῥωμαῖοι C ὁδοῦ ἐχώρουν. ἐπειδὴ δὲ εἰς τὸν χῶρον ἦλθον, ἔνθα Διονύσιος τὸν τύμβον ἐγείρας ἔτυχε, τῶν ἵππων ἀποβάντες, ἀνῴμωξάν τε θερμῶς, καὶ πίστεις ἀλλήλοις ἔδοσαν ὑπὲρ τοῦ ὁμοφύλου τεθνάναι καὶ συγγενοῦς ἕκαστον. Διονύσιος δὲ ἐπειδὴ προσιέναι Ῥωμαίους ἐπύθετο, θάρσους ὑποπλησθεὶς, σὺν εἰρωνείᾳ πολλῇ ἀκρατίζεσθαι Οὔννους ἐκέλευεν, εἰς

A sarum partem, hastis pugnantium, præcedere cum paucis equis jubet: inde à lateribus Romanorum sequebantur phalanges, ducibus Coccobasilio & Philocale & Taticio & quem Aspieten vocabant: horum à tergo gravioris armaturæ milites ibant, sagittariis intermixti, cum Persarum gravis armaturę phalange: post istos utroque à latere Josephus Bryennius & Georgius Branas incedebant; item Deme- B trius ejus frater, & Constantinus Aspietes, Sebastus; inde Andronicus, qui principis Chartularius erat, cognomento Lampardas, & * cum delectis Romanorum, Alamannorum, Persarum: postremo ducebat loco Andronicus imperator, cum aliis multis incliti nominis viris (quales principi in bellum eunti adesse semper moris est) & Italis mercenariorum, itemque Serviis, qui pone sequebantur, hastis armati clypeisque longis. Isto in- C structi ordine Romani, iter faciunt: ubi vero ad locum venere, in quo occisorum militum tumulum fecerat Dionysius, equis descendentes graviter excandescere; & fide data obstringere se invicem, pro contribulibus ac consanguineis se quemque suis moriturum. Dionysius vero ubi adventare Romanos audivit, fiduciæ plenus, cum multa irrisione & contemtu vinum

ὑγιείαν

ὑγιείαν τὴν Ῥωμαίων προσιεμένους τὸ ἔκπωμα. Οἱ δὲ ἀναστάντες, ἔπινόν τε σπουδῇ, καὶ ἐπὶ τοῖς ὅπλοις ἐγίνοντο, τρόπῳ τε τῷ συνήθει ἐτάττοντο. Ἔθος γὰρ αὐτοῖς ἐστὶν ἀεὶ, τοὺς ἐν σφίσι λογάδας τὴν ἐμπροσθίαν πληροῦν φάλαγγα. ὃ πάλαι βασιλεὺς εἰδὼς, ἀνάπαλιν Ἀνδρονίκῳ τὴν παράταξιν ποιεῖσθαι ἐκέλευσεν. Ἐπειδὴ γοῦν ἐγγὺς ἀλλήλων ἐγένοντο τὰ στρατεύματα, ἐκέλευεν Ἀνδρόνικος τοῖς ἐμπροσθίοις τῶν ταγμάτων ἐπιτοξεύεσθαι Οὔννοις. Ἐπειδὰν δὲ κατ᾽ αὐτῶν ὁρμηθέντας ἴδοιεν, φεύγειν λοιπὸν, οὐ μέντοι κατ᾽ εὐθὺ τοῦ Ῥωμαίων στρατεύματος, ἀλλὰ κατὰ τὰ πλάγια μᾶλλον, ὡς ἂν οὕτως ἐπὶ θάτερα χισθέντες Οὖννοι, κενὴν τὴν μέσην τῆς φάλαγγος ἀπολείπειεν χώραν. Ἀλλ᾽ ἐκεῖνοι ἅμα τῇ προσβολῇ νῶτα δόντες, ἔφευγον ἀνὰ κράτος, ἕως ἐπὶ Σάον ἦλθον. Ὑπηνέχθη δὲ Ῥωμαίοις τέλεον μὲν δύο τῶν ἐν ἀριστερᾷ ταγμάτων, ὧν Κοκκοβασίλειος καὶ Ταтίκιος ἦρχον. τὰ λοιπὰ δὲ προκεκίνηνται ἤδη· καὶ Δημήτριος μὲν ὁ Βερνᾶς, τῶν σὺν αὐτῷ ἐσκεδασμένων, σὺν ὀγδοήκοντα ἀπολειφθεὶς, τοῖς πολεμίοις συνέμιξεν. Ἡρωικῶς τε ἀγωνισάμενος, αὐτοῦ ἔπεσε καιρίαν κατὰ τοῦ προσώπου πληγεὶς, αἰχμάλωτός τε γεγονὼς εἰς τὸ Οὔννων ἀπηνέχθη στρατόπεδον. Ὁ δέ γε ἀδελφὸς αὐτοῦ Γεώργιος πρὸς τὸ ὑπερβάλλον τοῦ πλήθους διευλαβηθεὶς, οὐκ ἐθάρρησε τὴν συμπλοκήν. Τὰ

A haurire Hunnos jubet, inque Romanorum incolumitatem evacuare popula: illi surgentes, mero se ingurgitant, sumtisque armis solito ordine in aciem descendunt. Mos enim apud eos semper obtinet, ut præcipui optimique omnium prima in phalange locentur. quod jam longo à tempore edoctus imperator, contrario aciem modo instituere Andronico præceperat. Postquam igitur sibi invicem appropinquarunt agmina, iis qui in B fronte stabant mandat Andronicus, conjicerent in Hunnos tela; simul eos acurrere cernerent, terga non recta ad exercitum, sed oblique magis in latera, darent, ut sic utramque in partem distracti Hunni, medium phalangis locum nudarent. Sed illi, facto impetu, statim effuse fugiunt, usque dum ad Saum pervenere. Perstitere denique Romanorum duæ in sinistra ala cohortes, quas Coccobasilius & Taticius regebant: cæteræ C omnes jam modo inclinatæ & Demetrius, aliis disparsis, cum octoginta relictus, hostes aggreditur, & fortissime pugnans, accepto in capite letali vulnere, concidit, captusque ab Hunnis in castra eorum fertur. Frater autem ejus Georgius, hostium multitudine conterritus, conserere certamen non ausus est: sic quidem sinistra Ro-

μὲν

μὲν δὴ εὐώνυμα τῶν κεράτων οὕτω A Ῥωμαίοις πρὸς ὑπαγωγὴν ἔκλινε. Τὰ δὲ τῶν δεξιῶν τοῖς ἐν ἀριστερᾷ ἐπιθέμενα Οὔννοις, ἐτρέψαντο τούτους περιφανῶς. Διονύσιος οὖν ἐπειδὴ ταῦτα εἶδε, τοῖς περὶ τὸν στρατηγὸν Ἀνδρόνικον ἐπιθέσθαι διενοήθη. Ἀλλὰ τῶν σὺν αὐτῷ πολλοὶ ἀποδειλιᾶν ἤρξαντο. ὅθεν καὶ ἀνεσείραζον σφίσι τὴν ἵππον. Γνοὺς δὲ ὁ Διονύσιος, ὠνείδιζε μὲν τὴν ἀνανδρείαν αὐτοῖς, παρεκάλει δ' ὅμως αὐτῷ ἵστασθαι, ὡς μὴ καταφανῆ τὴν δειλίαν Ῥωμαίοις B ποιήσωσιν. Ἀνδρόνικος δὲ ὁ Λαμπαρδᾶς τὰ πρασσόμενα καθορῶν, δείσας τε μὴ σὺν τῷ Διονυσίῳ πλῆθος, αὐτοῦ ἐφ' ἕτερα χωρήσαντος, Ἀνδρονίκῳ λοιπὸν ἐμπέσοιτο τῷ στρατηγῷ· δεῖν ἔγνω Διονυσίῳ πρότερον αὐτὸς συμπλακῆναι. ἐμπεσόντων δὲ ἀλλήλοις, θροῦς ἠγέρθη, καὶ πάταγος ἐπεῖχε πάντα, καὶ τὰ δόρατα πρὸς ταῖς ἀσπίσιν ἀποκαυλιζόμενα, χαμαὶ ἔπιπτον. Ῥωμαῖοι δὲ καίτοι τῶν ὑπὸ θατέρῳ Βρανᾷ τῷ Γεωργίῳ ταττομένων συνελθόντων αὐτοῖς, C ἔκαμνον ὁμοῦ. Ἀνδρόνικος τοίνυν ὁ στρατηγὸς ἐπειδὴ τοῦτο συνεῖδεν, ὡς μὴ κατὰ κράτος καὶ τῶν σὺν τῷ Λαμπαρδᾷ ἡττημένων, ἐπ' αὐτοῦ ἡ ἀγώνησις στήσεται πᾶσα, συρρήγνυται τοῖς πολεμίοις, καὶ γίνεται καρτερὰ προσβολή, ὡς παρὰ τὴν πρώτην Ῥωμαίων μὲν ὀγδοήκοντα πεσεῖν, βαρβάρων δὲ πολλῷ τούτων πλείους. Ἀλλὰ Ῥωμαῖοι σὺν ἀφα-

manorum ala inclinavit in fugam: dextra vero sinistram Hunnorum invadens, manifeste totam avertere. Postquam ea Dionysius advertit, impetum facere in eos, qui circa Andronicum imperatorem, cogitat: sed militum plerique corripi metu cœperunt, eoque ad se equitem advocare. Quod ubi cognitum Dionysio, vecordiam ipsis exprobrat simulque obtestatur, secum uti restarent, neve timorem suum Romanis proderent. Andronicus autem Lampardas quæ parabantur videns, metuensque, ne, se ad alia verso, Dionisii copię Andronicum ducem obruerent; necessarium duxit, cum ipso primum Dionysio manus conferre: jamque concurrentibus inter se, sublatus clamor est, cuncta strepitus implevit, præfractaque in clypeis cuspide hastæ decidebant in terram. Romani autem, quantumvis & illi jam, qui sub Georgio altero Brana militabant, accessissent, laborabant tamen. quod ubi imperator cognoscit Andronicus, ne & iis, qui cum Lamparda stabant, robore superatis, tota in se belli moles incumberet, vadit in hostem: adeoque atrox concitatur pugna, ut prima collisione Romanorum quidem octoginta, barbarorum autem multo plures, ceciderint. Sed enim Romani incredibili constantia susti-

τῷ ἑνὶ καρτερίᾳ τὸν ἀγῶνα ὑφιστάμενοι, πέλος ἐτρέψαντο τούτους ἀρετῇ τῇ σφετέρᾳ. Τοσοῦτος μέντοι βαρβάρων φόνος ἐγένετο, ὡς τὰς ἐνταῦθα πεδιάδας μικροῦ περιεστρωθῆναι τοῖς θνησιμαίοις. Τῶν γὰρ δοράτων σφίσι κλασθέντων καὶ θρυβέντων ἤδη τῶν ξιφῶν ταῖς κορύναις, ἠλόων τοῖς κακοδαίμοσι τὰς κεφαλάς. ὅτε δὴ τότε σημεῖον ἠρέθη, ὃ πάμμεγα τοῖς βαρβάροις τούτοις ἐπὶ ἁμάξης ἐφέρετο, καὶ ὁ Διονυσίου ἵππος σὺν τῇ πανοπλίᾳ, μόλις ἐκείνου καὶ τρόπῳ, ᾧπερ αὐτὸς ἐρεῖν οὐκ ἔχω, τὸν κίνδυνον πεφευγότος. Ὅσοι μέντοι βαρβάρων διαδρᾶναι πως ἴσχυσαν, παρὰ τὸν ποταμὸν ἰόντες, ἡλίσκοντο πρὸς τοῦ Ῥωμαίων ναυτικοῦ. Ἑάλωσαν τοίνυν ζωγρείᾳ στρατηγῶν μὲν, οὓς αὐτοὶ ζουπάνους καλοῦσι, πέντε, στρατιωτῶν δὲ ἀμφὶ τοὺς ὀκτακοσίους. πολλοὶ δὲ ἦσαν καὶ ἐν αὐτοῖς τῶν εὖ τε γεγονότων καὶ ἄλλως διαφανῶν. Ἔπεσον δὲ καὶ πλεῖσται χιλιάδες ἐν τούτῳ τῷ πόνῳ. Οὐκ ἦν οὐδεὶς Ῥωμαίων, ὃς οὐ πολλῶν αὐτόχειρ ἐγένετο ἀριστέων. Πάντων γε μὴν μάλιστα Ἰωάννης τε ὁ Κοντοστέφανος, καὶ Ἀνδρόνικος ὁ Λαμπαρδᾶς. Ταῦτα κατορθωκὼς ὁ Ῥωμαίων στρατὸς, ἐπειδήπερ ἀωρὶ τῶν νυκτῶν ἦν, ἐπὶ τὸ στρατόπεδον ἀνεχώρησαν, ἄγοντες τούς τε τῶν Οὔννων αἰχμαλώτους, καὶ θώρακας ἐς δισχιλίους. Κράνη γε μὴν καὶ ἀσπίδας καὶ ξίφη, οὐδ' ἂν ἀριθμεῖν ἠδυνήθη τις. Τὴν μὲν οὖν νύκτα ἐκείνην ἐπὶ τοιαύ-

A nentes certamen, ad ultimum eos virtute sua averterunt: tanta quidem edita barbarorum strage, ut cōtecta prope occisorum cadaveribus camporum ibi planicies fuerit. Fractis namque jam hastis & obtusa gladiorum acie, miserorum capita contundebantur: signum ad hæc captum est, quod curru à barbaris propter magnitudinem vehebatur, ipseque Dionysii equus cum omni armatura, postquam is ægre,

B nec dicere possum quo modo, periculum evitasset. Quotquot barbarorum evadere etiamnum potuere, ubi ad flumen pervenerant, à classe Romana capti sunt. Vivi ergo in manus nostras venere quinque ducum, quos ipsi Zupanos vocant; milites octingenti, & plerique eorum illustri loco nati & aliis rebus clari; aliquot autem millia in hoc prælio occisi sunt. Nemo fuit Romanorum, qui non fortia ma-

C nu opera ediderit; ante omnes vero Joannes Contostephanus & Andronicus Lampardas. His bene gestis rebus, exercitus Romanus, quoniam adulta nox erat, in castra redierunt, agentes pro se Hunnorum captivos, & thoraces ad duo millia: galeas autem & scuta & enses haud facile quisquam numerasset. Eam quidem noctem quieti transigunt: producta jam die, arma iterum capientes, ire ad hostium ca-

τοις

σοις ἠυλίσαντο. Ἀνυγαζούσης δὲ ἤδη A τῆς ἡμέρας, τοῖς ὅπλοις ἐνδεδυκότες, εἰς τὸ τῶν Οὔννων ἀφίκοντο χαράκωμα. Ἐπεὶ δὲ ἀνδρῶν ἔρημον εὗρον αὐτὸ, σκυλαγωγήσαντες ἀνέστρεφον. Ὁ μὲν δὴ κατὰ Οὔννων πόλεμος ἐνταῦθα τέλος ἔσχεν. Ὁ δὲ βασιλεὺς τῶν τε τειχέων τῆς Κωνσταντινουπόλεως ἐπιμελῆτο μέρεσι πολλοῖς ὑπὸ χρόνου καμνόντων, καὶ ὑδάτων ἐνδείας κατεχούσης αὐτὴν, ἀνεκάθηρέ τε σὺν ἐπιμελείᾳ τοὺς ὀχετούς· καὶ ἐπειδὴ τὰς παλαιτάτους B στοὰς, αἳ τὸ ὕδωρ ἐπὶ Βυζάντιον ἦγον πάλαι, πεπτωκυίας ἀνεγείρειν δύσεργόν τε, καὶ χρόνου πολλοῦ δεόμενον ἔργον, σκεψάμενος περί τινα χῶρον, οὐ πολλῷ Βυζαντίου διέχοντα, ὃς Πέτρα καλωνόμασται, δεξαμενὴν τινὰ ὑπόνομον ἐδομήσατο, ἥπερ βουνῶν ἑκατέρων ἐν κοιλότητι κατὰ μέσον ἱδρυμένων ἐπιμήκης, στόμασι πολλοῖς ἐφ' ἑαυτὴν τὸ ὕδωρ ἐπιχάσκουσα δέχεται, ὡς ἐκ μυρίων ὀχετῶν διὰ τῶν φαραγγῶν περιάγγων ἐπ' αὐτὴν καταβαῖνον. Ἡ δὲ διὰ τῶν ἐξ ἔθους C αὖθις ὑπονόμων ἐπὶ τὴν πόλιν τοῦτο παρέχησιν. Οὗτος ὁ αὐτοκράτωρ καὶ ἔθος τι τῶν ἀτοπωτάτων μικροῦ καὶ εἰς νόμον τελέσαι δεῆσαν, ἐκ μέσου τῆς Ῥωμαίων ἐποιήσατο πολιτείας. Ὁποῖον δὲ τοῦτο ἦν, ἤδη λέγομεν. Ἡ τοῦ ζῆν ἀπαραίτητος τοῖς ἀνθρώποις ἀνάγκη πολλά τε κατὰ τὸν βίον ἐκαινοτόμησεν ἄλλα, καὶ δὴ καὶ μισθοῦ τὴν ἐλευθερίαν ἀποδόσθαι πολλοὺς ἀναγκάζει. Θη-

A stra pergunt. sed ubi vacua hominibus invenere, direptis iis, ad sua rediunt. Ita quidem bellum adversus Hunnos confectũ est. Ceterum imperator mœnium civitatis Constantinopolitanæ multis partibus vetustate collapsorum curam habuit, & aquarum inopia laborante civitate, rivos omnes diligentissime purgavit: cumque videret vetustissimos fornices, per quos olim aqua Byzantium transmittebatur, B diffractos instaurare difficile omnino & longi temporis opus fore; locum quendam haud procul Byzantio, quem Petra appellant, ad id eligens, subterraneum ibi castellum vel conceptaculum fecit, quod satis amplum de circumjectis tumulis, quorum in medio convexo situm est, multis in se aquam ostiis recipit, velut millenis rivulis è convallibus defluentem, atque ita per usitatos canales ad civitatem defert. Idem hic impera- C tor iniquissimum morem, & jam prope in necessitatem legis versum, è media republica exterminavit. is autem qualis fuerit, memorabimus. Victus quærendi inexorabilis necessitas tum alia, quæ ad vitam pertinent, immutavit, tum autem mercede ipsam vendere libertatem multos mortales adegit. Operas itaque suas locant in fastigio ac dignitate constitutis hone-

τεύουσι τοίνυν τοῖς ἐν ὑπεροχαῖς τε A καὶ ἀξιώμασι καὶ τῶν εὖ γεγονότων, ἂν οὕτω τύχῃ, μὴ ὅτι ἀγελαῖοί τινες καὶ ὀχλικοί. ὁποῖον τοίνυν ἡ ἀνθρωπίνη κακὸν πλεονεξία; περιλαμβάνοντες τοὺς ἀθλίους οἱ τὴν σφῶν ἐωνημένοι δουλείαν, ὥσπερ καὶ ἀργυρωνήτοις αὐτοῖς προσεφέροντο. καὶ ἦν τὸ τριώβολον ἴσως καταβαλλόμενον μίσθωμα ἐλευθέρων ἀνθρώπων ὠνή, καὶ συμβόλαιον οὕτω κακοτυχές. Ἀμέλει καὶ εἴποτε τῇ ἐκ τῆς θητείας ἀχθόμενοι ἐργασίᾳ, ἀπωθεῖσθαι βουληθεῖεν αὐτήν, οἱ δὲ καθάπερ δραπέτας συσχόντες αὐτοὺς, καὶ δίκας ἐπετίθουν τῆς τόλμης. B καὶ ἦν τότε κατὰ τὸ Αἰσώπου μυθάριον, ἐν ᾧ λέων ἐπὶ τοῦ σπηλαίου νοσεῖ, καὶ ζῶα παρ' αὐτὸν εἴσεισιν. ἐλευθέρων μὲν εἰσιόντων ἀνθρώπων ἴχνη καὶ μάλα πολλά, ἐξιόντων γέμειν ἐπὶ τῇ αὐτῇ ἥκιστα οὐδενός. Τό μὲν δὴ ἔθος οὕτω δεινὸν ἦν. Βασιλεὺς δὲ πρόρριζον ἀπὸ μέσης ἐξεληλακέναι τῆς πόλεως αὐτὸ βουληθεὶς, γράμμασι τὴν ἐλευ- C θερίαν, οἷον φύσει τὸ ἐλεύθερον, ἐπεψήφιστο. Ἐλευθέρων γὰρ ἄρχειν Ῥωμαίων, οὐ μέντοι γε ἀνδραπόδων, αὐτὸς ἤθελεν. Ὁ αὐτὸς ἔτει τῆς βασιλείας αὐτοῦ * ἐψήφιστο τοῖς ἀνὰ τὸ Βυζάντιον ἱεροῖς σεμνείοις πολυπραγμοσύνην ἐπάγεσθαι οὐδ' ἡντινοῦν, ἐφ' αἷς ὁπουδήποτε κλήσεσιν ἔσχον. Τὴν μέντοι δωρεὰν καὶ τόμῳ ἐκύρωξεν, ὃν ἅτε χρυσῷ ἐνσεσημασμένον, Χρυσόβουλον ἔθος καλεῖν ἐστίν. Ὅ-

A sto etiam loco nati, ita si fortuna fert; nedum viles & proletarii homines. Quantum igitur malum humana avaritia est! Accipientes miseros, eorum qui servitutem emerunt, ipsis tanquam pretio addictis utebantur. & triobolum constitutum erat liberorum hominum pretium, mala utique & dira negotiatio. Ad ultimum, si qui onere servitutis pressi, subducere se conarentur, hos tanquam fugitivos B retrahere, audaciamq; eorum pœnis coërcere: similem Æsopicæ rem fabulæ, ubi ægrotantem in spelunca leonem alia accedunt animalia; nam & hic ingenuorum hominum ingredientium vestigia multa admodum, exeuntium vero nullum prorsus reperias. Tam prava gravisque hæc consuetudo: quam funditus exstirpare è civitate volens imperator, edictis libertatem, haud aliter atque à natura innatam, o- C mnibus donavit. Liberis enim imperitare Romanis, non servitute oppressis, cupiebat. Idem anno imperii sui * edicto vetuit, sacris apud Byzantium locis vel monasteriis negotium exhiberi de ulla re, quam ubi demum cumque possiderent: eamque donationem confirmavit libello, quem, quia in auro sigillum imperatoris subnexum habet, Auream bullam, vel Chrysobullon appellari mos est. Ex eo tem-

θεν οὐδένα μοναχῶν θυροκοποῦντα νῦν ἐπὶ δικαστηρίου ἰδεῖν, ἅτε μηδὲ παρόντος ἐφ' ᾧ τις δημοσίᾳ σφίσι δικάσαιτο. τοῦτο μὲν δὴ τοιοῦτον. Νόμου δὲ παλαιοῦ τὰς πλείστας ἀκυροῦντος τῶν ἡμερῶν, καθ' ἃς δηλονότι ἢ τῶν δεσποτικῶν τι Χριστιανοῖς τελοῖτο μυστήριον, ἢ γοῦν τῶν μεγάλων τινὸς ἄγοιτο μνήμη ἀνδρῶν, συνέβαινε τὰς ἐν τῇ πολιτείᾳ δίκας εἰς ἀπέραντον ἐξικνουμένας, τυγχάνειν οὐδέποτε τελευτῆς. Ἐντεῦθεν εἶδον ἀνθρώπους ἐγὼ δίκαις καταγηράσαντας, καὶ μέντοι καὶ ἐπαποθανόντας αὐταῖς. Ἀλλὰ καὶ τοῦτο τὸ κακὸν θέσπισμα τι νεαρᾶς τῆς Ῥωμαίων ἀπήλλαξε πολιτείας. Λέγει γὰρ τὸ βασιλέως διάταγμα, μήτε τὰς ἑορτάδας παντάπασι κοινοῦσθαι τῶν ἡμερῶν, μήτ' αὐταῖς ἑκάστοτε ἀναβολαῖς δίκας ἐᾶν παρείρεσθαι. ἀλλ' εἶναι μὲν ἐς τὸ παντελὲς ἀπειρολογίας ἀδέκτους δικανικῆς ἡμέρας ἐκείνας, καθ' ἃς τι Θεὸς δωρεῖται τοῖς ἀνθρωπίνοις ἐνεργητικῶς. Τῶν δ' ἄλλων τὰς μὲν παντάπασι δικασίμους ἐκκεῖσθαι, τὰς δὲ πρωῒ μὲν ἀποκεκλεῖσθαι τοῖς δικολάβοις, δείλης δὲ ἅπασιν ἀνεῷχθαι, καὶ συγχωρεῖν εἰσιέναι τοὺς θέλοντας. Οὗτος καὶ τὸν ἐν Ἐφέσῳ παλαιοῦ τοῦ χρόνου κείμενον λίθον ἱερὸν μεγαλοπρεπῶς ἐς Βυζάντιον ἀναγὼν, τοῖς τῇδε λοιποῖς ἀπέδωκεν ἁγίοις. Ὅστις δὲ ὁ λίθος οὗτος, καὶ ὅθεν εἰς Ἐφεσίων ἦλθε τὴν γῆν, ὁ λόγος ἑξῆς διηγήσεται. Τέλος ἤδη τὸ κατὰ τὸν σταυρὸν εἶχε τῷ

A pore neminem monachum judicum foras pulsantem videas, quia nihil habent, quod litium calumniæ sit obnoxium. Et hęc quidem sic se constitutio habuit. Cum verò omnium plerique dierum lege exciperentur, quibus nimirum vel Domini à Christianis mysteria peragebantur, vel magni alicujus viri colebatur memoria; factum est, ut judicia in republica in immensum prolatata, nunquam ad exitum

B pervenirent. Exinde vidi ego homines in litibus senescentes, imo & immorientes iisdem. Sed pessimum illud statutum novo decreto in republica abolitum est. Lex enim imperatoris egregio temperamento vult neque dies festos omnino profanari, neque tamen dilationibus ejusmodi trahi in infinitum judicia: sed religiosos & forẽsium rerum immunes illos, quibus aliquando Deus singulare in

C homines beneficium contulisset: cæterorum alios totos fastos esse, alios intercisos vel nefastos priores, ita ut matutinis horis lege nil ageretur, pomeridianæ autem integræ partibus admittendis vacarent. Idem hic imperator sacrum lapidem, qui à longo tempore Ephesi fuerat, Byzantium magnifice translatum cæteris ibi ejusdem generis monumentis apposuit. Qualis autem hic fuerit lapis, quo-

